Σημειώσεως ἄξιον εἶναι καὶ ἡ πολυμάθεια, τὴν ὁποίαν ἀπέκτησεν ὁ Νικόλαος κατὰ μίμησιν τοῦ Ἀριστοτέλους. Πολυμάθεια, ἥτις ὀλίγον ἤθελε δοξάσει καὶ τοὺς δύο, ἂν δὲν προσήρμοζον εἰς ἕκαστον μέρος τῆς Ἐγκυκλοπαιδείας (πάλιν τὸ λέγω) τὴν Φιλοσοφίαν· διότι καθ᾽ ἑαυτὸ τὸ νὰ ἔχῃ τις πολλὰς ἐπιςήμας, ἢ τέχνας, εἶναι πρᾶγμα ἄχρηστον, καὶ καθὼς ἔλεγεν ὁ Ἡράκλειτος, « Πολυμαθίη νόον οὐ διδάσκει ». Μόνος ὅςις ἀκολουθεῖ τὴν Φιλοσοφίαν ὁδηγὸν, ἐξεύρει πῶς ἔχει νὰ ὠφεληθῇ ἀπὸ τὴν πολυμάθειαν αὐτὸς, πῶς νὰ ὠφελήσῃ τοὺς ἄλλους.

Εἶχε πατρίδα ὁ Νικόλαος τὴν Δαμασκὸν τῆς Συρίας· κατήγετο ὅμως ἀπὸ Ἕλληνας. Τοῦτο φαίνεται καὶ ἀπὸ τὸ ὄνομα αὐτοῦ τε καὶ τοῦ πατρὸς αὐτοῦ, καὶ ἀπὸ τὴν τότε πολιτικὴν κατάστασιν τῆς Συρίας, ἥτις, περάσασα ἀπὸ τοὺς Σελευκίδας διαδόχους τοῦ Μακεδόνος Ἀλεξάνδρου, εἰς τὴν ἐξουσίαν τῶν Ῥωμαίων, κατὰ τὸ ἑξηκοστὸν πρῶτον (1) ἔτος πρὸ Χριστοῦ (τὸ ὁποῖον συμπίπτει μὲ τὴν γέννησιν τοῦ Αὐγούςου Καίσαρος, καὶ μὲ χρόνον ἴσως ὄχι πολλὰ μακρὸν πρὸς τῆς γεννήσεως τοῦ

(1) Σιμσων. Χρονικ. ἔτ. 3942.

Νικολάου), ἦτον ἀπὸ μέγα πλῆθος Ἑλλήνων κατοικημένη. Ὁ Νικόλαος ἐχρημάτισε φίλος Αὐγούστου τοῦ Καίσαρος, καὶ τοῦ Ἡρώδου, Βασιλέως τῶν Ἰουδαίων. Μόνος Κωνσταντῖνος ὁ Πορφυρογέννητος (1) προσθέτει (δὲν ἐξεύρω πόθεν μαθὼν) ὅτι ἦτο καὶ ὑπογραφεὺς τοῦ Ἡρώδου.

Τὰ συγγράμματα τοῦ Νικολάου, ἀφανισμένα καὶ αὐτὰ κατὰ δυστυχίαν ἀπὸ τὸν χρόνον, ἦσαν πολλότατα. Τὸ πάντων ὅμως ἀξιολογώτερον ἦτον ἡ Καθολικὴ ἱστορία, γραμμένη εἰς βιβλία τὸν ἀριθμὸν, ὄχι, ὡς λέγει ὁ Σουΐδας (2), ὀγδοήκοντα, ἀλλὰ ἑκατὸν καὶ τεσσαράκοντα τέσσαρα, κατὰ τὴν μαρτυρίαν τοῦ Ἀθηναίου (3). Εὔκολον δὲν εἶναι νὰ κρίνῃ τις, ἐὰν ἡ Ἀσσυριακὴ ἱστορία, τῆς ὁποίας συγγραφέα ὀνομάζει τὸν Νικόλαον ὁ Φώτιος (4), ἦτο μέρος καὶ αὐτὴ τῆς Καθολικῆς ἱστορίας, ἢ χωρισμένη βίβλος περιέχουσα μόνα τὰ χρονικὰ τῶν Ἀσσυρίων. Πιθανώτερον ὅμως εἶναι ὅτι ἡ Ἀσσυριακὴ ἱστορία περιείχετο εἰς τὰ πρῶτα πέντε, ἢ ἓξ, ἢ καὶ περισσότερα βιβλία τῆς Καθολικῆς ἱστορίας, κατὰ τὸ παράδειγμα τοῦ Κτησίου, τοῦ ὁποίου τῆς ἱστορίας ἐπιγραφομένης, Περσικὰ, καὶ διῃρημένης εἰς εἰκοσιτρία βιβλία, τὰ πρῶτα ἓξ, καθὼς μαρτυρεῖ ὁ Φώτιος (5), περιεῖχον τὰ Ἀσσύρια. Πιθανὸν ὡσαύτως εἶναι ὅτι κατὰ τοὺς χρόνους τοῦ Φωτίου δὲν ἐσώζοντο πλὴν ταῦτα τὰ πρῶτα βιβλία τῆς Καθολικῆς ἱστορίας, τὰ περιέχοντα τὴν Ἀσσυριακὴν ἱστορίαν· ἐπειδὴ ταύτην μόνον ὀνομάζει ὁ Φώτιος, ὡς συνταχθεῖσαν ἀπὸ τὸν Νικόλαον, καὶ δὲν

(1) Σελ. 263 τῆς παρούσης ἐκδόσεως.
(2) Σελ. 222 τῆς αὐτῆς.
(3) Σελ. 265 τῆς αὐτῆς.
(4) Σελ. 224 τῆς αὐτῆς.
(5) Κώδ. ρπθʹ.

ἀναφέρει ποσῶς τῆς Καθολικῆς ἱςορίας τὄνομα. Ὅπως ἂν ἦναι τὸ πρᾶγμα εἰς τὴν Ἀσσυριακὴν ἱςορίαν ταύτην ἀνήκουσι τὰ ἱςορούμενα περὶ τῶν Ἀσσυρίων καὶ Μήδων βασιλέων (1), ἴσως καὶ τὰ περὶ τοῦ Μόξου, Καμβλίτου, Γύγου, Σαδυάττου, Ἀλυάττου καὶ Κροίσου, τῶν Λυδῶν (2). Ὅλα ταῦτα τῆς Καθολικῆς ἱςορίας, μεγάλου σώματος μικρότατα λείψανα, εὑρίσκονται εἰς τὴν συλλογὴν Κωνσταντίνου τοῦ Πορφυρογεννήτου, Αὐτοκράτορος τῶν Ῥωμαίων, ἐπιγραφομένην, Περὶ Ἀρετῆς καὶ κακίας, ἐκ τῆς ὁποίας τὰ ἐξέδωκε πρῶτος ὁ Οὐαλέσιος, κατὰ τὸ 1634 ἔτος ἀπὸ Χριστοῦ.

Εἰς τὴν αὐτὴν συλλογὴν περιέχονται καὶ δύο τεμάχια τῆς ἱςορίας τῶν Ῥωμαίων (3), τὰ ὁποῖα ὡς πόνημα τοῦ Νικολάου συγκατέλεξε μετὰ τοῦ Νικολάου ὁ Κωνσταντῖνος, καὶ ὡς τοιαῦτα ἐξέδωκε καὶ ὁ Οὐαλέσιος. Ἀλλ' αὐτὰ εὑρίσκονται αὐτολεξεὶ καὶ σχεδὸν ἀπαραλλάκτως εἰς τὴν σωζομένην Ῥωμαϊκὴν Ἀρχαιολογίαν τοῦ Διονυσίου τοῦ Ἁλικαρνασσέως· ὅθεν συμπεραίνεται, ἢ ὅτι τὰ ἔκλεψεν ὁ Νικόλαος ἀπὸ τὸν Διονύσιον, ἢ ὅτι ὁ Κωνσταντῖνος, ἢ ὁ ἀντιγράψας τὴν συλλογὴν τοῦ Κωνςαντίνου, ἐσύγχυσε τὰ τοῦ Διονυσίου μὲ τὰς ἀπὸ τὸν Νικόλαον παρεκβολάς. Οἱ συμπεραίνοντες τὸ πρῶτον, συμπεραίνουσι πρᾶγμα ἀπίθανον. Ἡ κλοπὴ εἶναι τόσον πλέον ἀναίσχυντος, ὅσον εἶναι ὀλιγωτέρα ἡ ἀνάγκη της, καὶ περισσότερος ὁ κίνδυνος τῆς φανερώσεως. Ὁ Νικόλαος ἦτον ἄνθρωπος πολυμαθέστατος, ἴσως καὶ ἀπ' αὐτὸν τὸν Διονύσιον πολυμαθέςερος· καὶ ἂν εἶχε χρείαν νὰ δανεισθῇ τὸ περὶ τῆς Ῥώμης ἀπὸ

(1) Σελ. 229-235 τῆς παρούσης ἐκδόσεως.

(2) Σελ. 238, 242-247 τῆς αὐτῆς.

(3) Σελ. 247-250 τῆς αὐτῆς.

τὸν Διονύσιον (καθὼς εἶναι πιθανὸν ὅτι καὶ ἄλλα πάμπολλα ἐδανείσθη ἀπ' ἄλλους), διὰ νὰ τὸ βάλῃ εἰς τὴν Καθολικὴν ἱςορίαν αὐτοῦ, ἔπρεπεν, ἐπειδὴ ὁ Διονύσιος ἦτο σύγχρονος, ἢ νὰ τὸ μεταμορφώσῃ εἰς λόγου χαρακτῆρα ἀνάλογον τῆς ἱςορίας του, ἢ νὰ φανερώσῃ κἂν τὴν πηγὴν ὅθεν τὸ ἔλαβεν. Ἂν δὲν τὸ ἔκαμε, ἔγινεν ἔνοχος κλοπῆς αἰσχρᾶς, καὶ διότι πλούσιος ὢν δὲν εἶχεν ἀνάγκην νὰ κλέψῃ, καὶ (τὸ περισσότερον) ὅτι ἔκλεπτεν ἀπὸ σύγχρονον, καὶ πιθανὸν ὅτι καὶ ζῶντα ἔτι, τὸν Διονύσιον (2), ἤγουν κατ' ὀφθαλμοὺς τοῦ συγγραφέως, κατ' ὀφθαλμοὺς ὅλων ἐκείνων, εἰς ὅσους ἦτο γνωστὴ τοῦ Διονυσίου ἡ Ῥωμαϊκὴ ἀρχαιολογία. Ὅθεν πρέπει νὰ συμπεράνωμεν, ὡς εἶπα, ὅτι ἢ αὐτὸς ὁ Πορφυρογέννητος Κωνσταντῖνος, ἢ ὁ ἀντιγραφεὺς τοῦ Κωνσταντίνου, ἔθηκαν ἐξ ἀπροσεξίας μεταξὺ τῶν λειψάνων τοῦ Νικολάου τὰ τεμάχια τῆς Ῥωμαϊκῆς ἱστορίας τοῦ Διονυσίου. Ἔτι πιθανώτερον γίνεται τοῦτο ἀπ' αὐτὴν τῆς συλλογῆς τοῦ Κωνσταντίνου τὴν διάταξιν, ἥτις περιέχει καὶ ἄλλας τοῦ Διονυσίου παρεκβολάς, τὰς ὁποίας ἀμέσως μετὰ τὰς παρεκβολὰς τοῦ Νικολάου ἐξέδωκεν ὁ Οὐαλέσιος. Δι' ἄλλο λοιπὸν δὲν ἐμιμήθην τοὺς πρὸ ἐμοῦ ἐκδότας, ἀφήσας τὸ νομιζόμενον τοῦτο κλέμμα εἰς τὸν Νικόλαον, πλὴν διότι συντρέχει καὶ αὐτὸ εἰς πλήρωσιν τῆς Ποικίλης ἱςορίας τοῦ Αἰλιανοῦ, τοῦ Ἡρακλείδου, καὶ αὐτοῦ τοῦ Δαμασκηνοῦ Νικολάου.

Τὸ περὶ τῆς Καίσαρος ἀγωγῆς κομψὸν συγγραμμάτιον

(1) Διονύσιος ὁ Ἁλικαρνασσεὺς ἐξέδωκεν εἰς τὴν Ῥώμην τὴν ἱστορίαν του ἐπιγραφομένην Ῥωμαϊκὴν Ἀρχαιολογίαν, περὶ τὸ ἕβδομον ἔτος πρὸ Χριστοῦ. Μετὰ δύο ἔτη (ἤγουν τὸ πέμπτον πρὸ Χριστοῦ) ἐστάλη πρέσβυς ὁ Νικόλαος εἰς τὴν Ῥώμην ἀπὸ τὸν Ἡρώδην πρὸς τὸν Αὔγουστον Καίσαρα.

τοῦ Νικολάου (1), τὸ ὁποῖον ἀναφέρει καὶ ὁ Σουΐδας, ἂν καὶ κολοβὸν καὶ αὐτὸ, καθὼς τἄλλα, περιέχει τινὰ εἰδήσεως ἄξια, τὰ ὁποῖα δὲν εὑρίσκονται μήτ' εἰς αὐτοὺς τοὺς Ῥωμαϊκοὺς συγγραφεῖς. Εἰς τοῦτο περισσότερον, παρὰ εἰς ὅσα κατηγορήθη ἀπὸ τὸν Ἰώσηπον διὰ τὸν Ἡρώδην, ἤθελέ τις εὐλόγως μεμφθῆ τὸν Νικόλαον ὡς κόλακα τῶν δυνατῶν, ἐπειδὴ καταριθμεῖ μόνας τοῦ Αὐγούστου τὰς ἀρετὰς, καὶ σιωπᾷ τὰ ἐλαττώματα τοῦ ἀνδρὸς, ὄχι ὀλίγα, ὡς φαίνεται ἀπὸ τοὺς Ῥωμαίους Ἱστορικούς. Ἀλλ' ὅμως, ὅστις παρατηρήσει, ὅτι ὅλαι τοῦ ἀνδρὸς τούτου αἱ κακίαι, γεννήματα τῆς ἀγρίου φιλοδοξίας, μετεβλήθησαν, ἀφ' οὗ ἐμονάρχησεν, εἰς πραότητα καὶ φιλανθρωπίαν ἀνυπέρβλητον, εἰς πρόνοιαν τῆς ἡσυχίας καὶ εὐτυχίας τῶν Ῥωμαίων, εἰς ἕνα λόγον, ὅτι ὁ φονικὸς καὶ ἄγριος τύραννος, μετεμορφώθη εἰς νόμιμον βασιλέα, καὶ ἠξιώθη νὰ ὀνομασθῇ ἀπ' αὐτοὺς τοὺς Ῥωμαίους, πατὴρ τῆς πατρίδος, θέλει στοχασθῆ ὅσα λέγει περὶ αὐτοῦ ὁ Νικόλαος, ὡς φωνὰς ἀληθινῆς φιλίας, μὲ τὰς ὁποίας, ὑπερεπαινῶν αὐτὸν, ἐζήτει περισσότερον νὰ τὸν ἐμποδίσῃ νὰ ἐπιστρέψῃ εἰς τὴν προτέραν του θηριωδίαν, παρὰ νὰ τὸν κολακεύσῃ. Εἶναι περιστάσεις, εἰς τὰς ὁποίας ὁ ἀληθὴς φιλόσοφος πρέπει καὶ τὸν ἀνόμως κατέχοντα τὴν ἀρχὴν, ὅταν δὲν δύναται νὰ τὸν παύσῃ τῆς ἀνομίας, νὰ τὸν μαλάσσῃ μὲ τὸν ἔπαινον τῶν προτερημάτων του, ἐὰν ἔχῃ προτερήματα. Τοιουτοτρόπως μετεχειρίσθη κατ' ἀρχὰς ὁ Πλάτων τὸν τύραννον τῆς Σικελίας Διονύσιον· τοιουτοτρόπως

(1) Σελ. 251 - 259 τῆς παρούσης ἐκδόσεως. Τοῦτο ἐξεδόθη χωριστὰ, μετὰ τὴν ἔκδοσιν τοῦ Οὐαλεσίου, καὶ ἀπὸ τὸν Φαβρίκιον, κατὰ τὸ 1727 ἔτος ἀπὸ Χριστοῦ.

ἄλλοι φιλόσοφοι τοὺς ἡγεμόνας τῆς πατρίδος των (1). Κόλαξ εἶναι ὅςις μετασχηματίζει τὰς κακίας τῶν δυνατῶν εἰς ἀρετὰς, διὰ τὸ ἴδιον συμφέρον, ὄχι ὅςις τὰς σιωπᾶ, ὅταν ὁ θεατρισμὸς αὐτῶν ἐμπορῆ νὰ βλάψῃ περισσότερον παρὰ νὰ ὠφελήσῃ. Ὁ Καῖσαρ εἶχεν ἀληθῆ προτερήματα, ὁποῖα δύναται νὰ ἔχῃ ἡ ἀνθρώπινος φύσις· καὶ ταῦτα ἐπαίνεσεν ὁ Νικόλαος. Ἀλλὰ δὲν εἶπε, καθὼς ὁ Σύγχρονος αὐτοῦ ποιητὴς Οὐΐργίλιος, ὅτι,

Divisum imperium cum Iove Cæsar habet,

Μοιρασμένην μὲ τὸν Δία Καῖσαρ ἔχει τὴν ἀρχήν.

Ἔπειτα, πρέπει νὰ σημειωθῇ καὶ τοῦτο, εἰς ἀπόκρισιν πρὸς τοὺς κατηγόρους τοῦ Νικολάου. Κρίνονται δικαίως τῶν ἀνθρώπων οἱ λόγοι, ἀλλ' ὄχι καὶ ἡ σιωπή. Εἰς τὸ περὶ Αὐγούςου Καίσαρος μικρὸν τοῦτο συγγραμμάτιον, ὄχι μόνον λείπουσιν εἰς τὸ ἀναμεταξὺ δύο σελίδες, ἀλλὰ καὶ τὸ διήγημα τελευτᾷ εἰς ἐκείνην τοῦ χρόνου τὴν περίοδον, ὁπόταν ὁ Αὔγουςος δὲν εἶχεν ἀκόμη λάβει τὴν Αὐτοκρατορικὴν ἀρχήν· εἴτε, διότι ὁ Νικόλαος ἔκρινε νὰ τὸ τελειώσῃ ἐκεῖ, διὰ νὰ μὴ ἀναγκασθῇ νὰ διηγηθῇ καὶ τὰς παρανόμους σφαγὰς, διὰ τῶν ὁποίων τὴν ἔλαβεν, εἴτε, διότι ὁ χρόνος, καθὼς ἄλλα πολλὰ, ἀφάνισε καὶ τοῦτο τὸ μέρος τοῦ διηγήματος. Μήτε δυνατὸν λοιπὸν, μήτε δίκαιον εἶναι, νὰ κριθῇ ὁ Νικόλαος ἀπὸ τὸν κολοβὸν τοῦτον τοῦ Αὐγούςου Καίσαρος βίον.

(1) « Ὅθεν οὐδὲ τοὺς ἐπαινοῦντας εὐθὺς ὡς κολακεύοντας ὑφορατέον. » ἔπαινος γὰρ οὐχ ἧττον ἐν καιρῷ ψόγου φιλίᾳ προσήκει. μᾶλλον δὲ τὸ μὲν » δύσκολον ὅλως καὶ μεμψίμοιρον ἄφιλον καὶ ἀνομίλητον· τῆς δ' ἀφθόνως » καὶ προθύμως τὸν ἐπὶ τοῖς καλοῖς ἀποδιδούσης ἔπαινον εὐνοίας καὶ τὸ » νουθετοῦν αὖθις καὶ παῤῥησιαζόμενον ἐλαφρῶς καὶ ἀλύπως ὑπομένομεν » κ. τ. λ. » Πλούταρχ. Πῶς ἄν τις διακρίν. τὸν κόλακα τοῦ φίλ. §. 4.

Παρὰ τὰ εὑρεθέντα εἰς τὴν συλλογὴν τοῦ Κωνςαντίνου, ἐπρόσθεσεν εἰς τὴν ἐκλογήν του ὁ Οὐαλέσιος, ὅσα εὑρίσκονται εἰς ἄλλους σωζομένους συγγραφεῖς λείψανα ἀπὸ βιβλία τῆς Καθολικῆς ἱςορίας ὠνομασμένα (1), ἢ ἀνώνυμα (2), καὶ τέλος, τὰ ἐγκατεσπαρμένα εἰς τὸν Στοβαῖον λείψανα τῆς Συναγωγῆς τῶν παραδόξων ἐθῶν (3). Ὅλα ταῦτα τὰ ἐνόμισεν ἀποσπάσματα καὶ μέρη τῆς Καθολικῆς Ἱςορίας· ἀλλ' ὅμως, μήτε τὸ Περὶ τῆς Καίσαρος ἀγωγῆς ἀνήκει εἰς τὴν Καθολικὴν ἱςορίαν, διὰ τὴν μαρτυρίαν τοῦ Σουΐδα, ὅςις τὸ ὀνομάζει ὡς χωριςὸν ἀπ' ἐκείνην σύνταγμα, μήτε τὰ εὑρισκόμενα εἰς τὸν Στοβαῖον ἀποσπασμάτια, τὰ ὁποῖα καὶ ὁ Στοβαῖος μὲ τὴν ἐπιγραφὴν, « Παραδόξων ἐθῶν » μνημονεύει, καὶ εἶναι σχεδὸν βέβαιον, ὅτι ἀνήκουσιν εἰς τὸ αὐτὸ ἐκεῖνο σύνταγμα, τὸ ὀνομαζόμενον ἀπὸ τὸν Φώτιον « Παρα» δόξων ἐθῶν συναγωγή »· Καὶ ἐνταῦθα μὲν καταπαύει ἡ ἔκδοσις τοῦ Οὐαλεσίου.

Ὁ δὲ δεύτερος ἐκδότης, ὁ πρὸ ἐμοῦ (κατὰ τὸ 1804 ἔτος), ἐπρόσθεσεν εἰς αὐτὰ καὶ τὸ περὶ Παρασίτων μικρὸν ποιημάτιον (4), ἐρανισμένον καὶ αὐτὸ ἀπὸ τὸν Στοβαῖον· τὸ ὁποῖον φαίνεται νὰ ἀπεσπάσθη ἀπὸ διεξοδικώτερον ἄλλο, ἴσως ἀπὸ κάμμίαν Κωμῳδίαν, ἐπειδὴ, κατὰ τὴν μαρτυρίαν τοῦ Σουΐδα, ἐσύνταξε καὶ Κωμῳδίας καὶ τραγῳδίας ὁ πολυμαθέστατος Νικόλαος, τοῦ ὁποίου ὁ Εὐστά-

(1) Σελ. 260-266 τῆς παρούσης ἐκδόσεως.

(2) Σελ. 267-270 τῆς αὐτῆς.

(3) Σελ. 271-280 τῆς αὐτῆς. Αὕτη ἡ Συναγωγὴ παραδόξων ἐθῶν εἶχεν ἐκδοθῆ πρὸ τοῦ Οὐαλεσίου, κατὰ τὸ 1593 ἔτος καὶ ἀπὸ τὸν Κράγιον, ὁμοῦ μὲ τὸ Περὶ πολιτειῶν τοῦ Ἡρακλείδου.

(4) Σελ. 281-282 τῆς αὐτῆς.

θιος (1) ὀνομάζει καὶ δρᾶμα ἓν ἐπιγραφόμενον, Σωσανίς.

Ἔξω ἀπὸ τὰ καταριθμηθέντα συγγράμματα ἔγραψεν ὁ Νικόλαος καὶ περὶ τοῦ ἰδίου βίου, ὡς λέγει ὁ Σουΐδας, καὶ φιλοσοφικὰ ἄλλα διάφορα, καθὼς μαρτυροῦσιν ἄλλοι (2), ἀπὸ τὰ ὁποῖα τίποτε δὲν σώζεται κατὰ δυςυχίαν. Λέγω ὅτι δὲν σώζεται τίποτε, διότι εἶναι ἀδύνατον νὰ πεισθῶ, ὅτι ὁ εὑρισκόμενος εἰς τὴν συλλογὴν τοῦ Κωνσταντίνου βίος τοῦ Νικολάου (3) εἶναι αὐτὸς ἐκεῖνος, τὸν ὁποῖον ἔγραψεν ὁ Νικόλαος, ὡς τὸ ἐφαντάσθησαν ὁ Οὐαλέσιος καὶ ὁ Σευῖνος, καὶ μάλιστα ὁ Σευῖνος, ὅστις, ἐναντίον εἰς τοὺς κανόνας τῆς κριτικῆς ἐπιςήμης, ἐτόλμησεν εἰς τὴν κατ' ἐπιτομὴν μετάφρασιν τοῦ βίου τούτου (4), καὶ νὰ παραστήσῃ τὸν Νικόλαον ὡς ἐκ πρώτου προσώπου λαλοῦντα. Πιστεύω μᾶλλον, ὅτι εἶναι συγγραμμένος ἀπὸ κανένα φίλον, ἢ μαθητὴν τοῦ Νικολάου, ὡς ἔκρινε καὶ ὁ πρὸ ἐμοῦ ἐκδότης, Ὀρέλλιος (1). Τίποτε δὲν ἐμποδίζει νὰ γράψῃ τις τὸν ἴδιον βίον· ἀλλ' οἱ σοφισταὶ μόνοι καὶ

(1) Παρεκβολ. εἰς Διον. τὸν Περιηγ. στίχ. 980.

(2) Ἴδε τὸν τρίτον τόμον τῆς νέας ἐκδόσεως τῆς Ἑλληνικῆς Βιβλιοθήκης τοῦ Φαβρικίου, σελ. 500.

(3) Σελ. 224-228 τῆς παρούσης ἐκδόσεως.

(4) Ἴδε τὰ ὑπομνήματα τῆς ἐν Παρισίοις Φιλολογ. Ἀκαδημ. Τομ. ϛ', σελ. 486-499.

(5) Ἡ κρίσις αὕτη τοῦ Ὀρελλίου εἶναι ὀρθή, ἀλλὰ δὲν εἶναι σύμφωνος μὲ τὴν κρίσιν, τὴν ὁποίαν ἀλλαχοῦ κάμνει περὶ τοῦ Νικολάου ὀνομάζων αὐτὸν « Τῶν κολάκων ἀχρειέστατον ». Αἱ κακίαι, καθὼς αἱ ἀρεταί, σώζουσι μεταξύ των ἁρμονίαν. Ὅςις πράττει τὸ χειρότερον καλὸς εἶναι νὰ πράξῃ καὶ τὸ ὀλιγώτερον κακόν· καὶ δὲν εἶναι πλέον παράδοξον νὰ κολακεύῃ ἑαυτὸν ὅστις κολακεύει ἀναισχύντως τοὺς ἄλλους, ἀπὸ τὸ νὰ κλέψῃ ὅςις ἐτόλμησε νὰ γένῃ ἱερόσυλος, ἢ νὰ πορνεύσῃ ὅστις ἔμαθε νὰ ἦναι μοιχός.

γόητες τολμοῦν νὰ προφέρωσι τὸν ἴδιον ἔπαινον τόσον ὑπέρογκα· καὶ τοιοῦτου βέβαια δὲν ἦτον ὁ Νικόλαος.

Μετὰ τὸν Οὐαλέσιον καὶ τὸν Ὀρέλλιον, τρίτη ἔκδοσις εἶναι ἡ ἡμετέρα, τὴν ὁποίαν μετέγραψα ἀπὸ τὴν Οὐαλεσιανὴν ἔκδοσιν, διορθώσας αὐτὴν ὅπου ἔκρινον ὅτι εἶχε χρείαν διορθώσεως, ὡς γίνεται φανερὸν ἀπὸ τὰς σημειώσεις μου, εἰς τὰς ὁποίας δὲν ἠμέλησα νὰ μνημονεύσω εἴ τι χρήσιμον εὕρηκα εἰς τὰς σημειώσεις τοῦ Οὐαλεσίου καὶ τοῦ πρὸ ἐμοῦ ἐκδότου.

Παρ' ὀλίγον ἐλησμόνησα νὰ εἴπω τι καὶ περὶ τοῦ Χαρακτῆρος τοῦ λόγου τοῦ Νικολάου. Ἂν καὶ δὲν ἔζησεν, ὅταν ἤκμαζεν ἡ γλῶσσα τῶν Ἑλλήνων, ὁ Νικόλαος, ἔζησεν (1) ὅμως εἰς περίοδον χρόνου (λέγω τὴν περίοδον τοῦ Αὐγούστου Καίσαρος), ὁπόταν ἡ Ἑλλὰς ἔσωζεν ἔτι μέγα μέρος τῆς αἰσθήσεως ἐκείνης τοῦ καλοῦ, ἡ ὁποία εἰς τὴν ὁλοκληρίαν αὐτῆς εἶχε γεννήσει τόσ' ἀθάνατα συγγράμματα. Ὅθεν δὲν εἶναι παράδοξον ἐὰν ὁ Νικόλαος γράφῃ ὡς ἐπὶ τὸ πλεῖστον μὲ σαφήνειαν, ἀφέλειαν, καὶ τὸν ἀπερίεργον ἐκεῖνον στολισμὸν, χωρὶς τοῦ ὁποίου, καλὸν τί ποτε, ἢ νόστιμον, εἰς καμμίαν τέχνην, καθὼς μήτ' εἰς αυτὴν τὴν φύσιν, δὲν εἶναι δυνατὸν νὰ γεννηθῇ. Διηγεῖται, διὰ νὰ διηγηθῇ, καὶ ὄχι διὰ νὰ δείξῃ ὅτι ἐξεύρει νὰ διηγῆται· καὶ ἡ δύναμις τῆς φράσεως αὐτοῦ ἐξέρχεται ἀπ' αὐτὴν τὴν δύναμιν τῆς ψυχῆς του. Ὅταν ἡ ψυχὴ συλλάβῃ χωρὶς σύγχυσιν τὰ πράγματα, καὶ τὰ διαθέσῃ εἰς τὴν φυσικὴν αὐτῶν ἀκολουθίαν καὶ τάξιν, εἰς τὴν αὐτὴν τάξιν, καὶ μὲ τὴν αὐτὴν ἀκολουθίαν, δύναται καὶ νὰ

(1) Ἦτο δηλαδὴ νεώτερος τοῦ Ἡρακλείδου τρεῖς σχεδὸν ἑκατονταετηρίδας, καὶ δύο ἀρχαιότερος τοῦ Αἰλιανοῦ.

τὰ παραστήσῃ εἰς τοὺς ἄλλους· καὶ τότε ἡ διήγησις, ὡς ἀληθινὴ ζωγραφία, δὲν ἀκούεται, ἀλλὰ βλέπεται. Τοιαύτη ζωγραφία εἶναι εἰς τὸν Νικόλαον τὰ περὶ τοῦ Παρσώνδου, καὶ περὶ τοῦ Κροίσου διηγήματα, εἰς τὰ ὁποῖα κατέμιξεν ὅλην τῆς Μυθιστορίας τὴν ἡδύτητα μὲ τὴν ὠφέλειαν, ἥτις γεννᾶται ἀπὸ τὴν ἱστορίαν τῶν μεγάλων τῆς τύχης μεταβολῶν.

Μ' ὅλον τοῦτο, τοῦ Νικολάου ὁ χαρακτὴρ τοῦ λόγου δὲν πρέπει νὰ κρίνεται μήτ' ἀπὸ τὴν Καθολικὴν ἱστορίαν, μήτ' ἀπὸ τὴν Συναγωγὴν τῶν παραδόξων ἐθῶν, τῶν ὁποίων πολλὰ μέρη ἐνδεχόμενον, ἢ τοιαῦτα ἀπαράλλακτα, ὡς τὰ εὕρηκεν εἰς τοὺς ἀρχαιοτέρους συγγραφεῖς, ὅθεν τὰ ἔλαβε, καὶ νὰ ταφῆκεν, ἢ τοὐλάχιστον μὲ πολλὰ μικρὰν τῆς φράσεως παραλλαγὴν νὰ τὰ μετέγραψε (1). Δικαιότερον εἶναι νὰ κριθῇ ἀπὸ τὸ Περὶ τῆς Καίσαρος ἀγωγῆς σύνταγμα, καὶ ἀπὸ τὸ Περὶ παρασίτων ποιημάτιον. Τὸ πρῶτον δὲν εἶναι ὑποδεέστερον εἰς τὴν ἀρετὴν τοῦ λόγου ἀπὸ τὰ προειρημένα τῆς Καθολικῆς ἱστορίας μέρη· τὸ δεύτερον εἶναι καὶ κατὰ τὴν φράσιν

(1) Τὸ περὶ Παρσώνδου μάλιστα διήγημα μὲ βάλλει εἰς ὑποψίαν μὴν εἶναι σχεδὸν αὐτολεξεὶ γραμμένον ἀπὸ τὸν Ἰωνικὸν συγγραφέα τῶν Περσικῶν Κτησίαν τὸν Ἰατρόν. Ὁ Φώτιος ὀνομάζει τὸν χαρακτῆρα τοῦ Κτησίου, « σαφῆ, » ἀφελῆ καὶ ἡδονῇ σύγκρατον »· τὰ διηγήματά του « παθητικά, καὶ πολὺ τὸ » ἀπροσδόκητον ἔχοντα, καὶ ἐγγὺς τοῦ μυθώδους ». Εἰς ταῦτα πρόσθες καί τινας Ἰωνισμοὺς, τοὺς ὁποίους, ἢ λησμονήσας, ἢ ἐξεπίτηδες, ἀφῆκεν εἰς τὸ προειρημένον διήγημα ὁ Νικόλαος. Πρόσθες ἔτι ὅτι ἱστόρησε καὶ τὰ περὶ τοῦ Ναναροῦ ὁ Κτησίας. Τέλος πάντων πρέπει νὰ συλλογισθῇ τις καὶ τοῦτο, ὅτι εἰς ἱστορίαν ἑκατὸν τεσσαράκοντα τεσσάρων βίβλων, τὴν ὁποίαν συνήθροισε περισσότερον δι' ὠφέλειαν παρὰ πρὸς ἐπίδειξιν ὁ Νικόλαος, μήτε δύναμιν μήτε καιρὸν ἱκανὸν εἶχε νὰ μεταβάλλῃ πάντοτε εἰς ἴδιον χαρακτῆρα λόγου ὅσα ἐξ ἀνάγκης ἐδανείζετο παρὰ τῶν ἄλλων.

ὀρθὸν, καὶ μὲ τοσαύτην κωμικὴν ἡδύτητα συγκερασμένον, ὥστε ἂν τὸ ἀπέδιδέ τις εἰς τὸν Μένανδρον, ἢ τὸν Φιλήμονα, πολλοὺς ἤθελε κάμει νὰ πιστεύσωσιν ὅτι ἀληθῶς ἐςιχουργήθη κατὰ τοὺς χρόνους τοῦ Φιλήμονος, ἢ τοῦ Μενάνδρου.

Ταῦτα εἶχον νὰ εἴπω περὶ τῶν τριῶν συγγραφέων, τοὺς ὁποίους διὰ σᾶς ἐξέδωκα, ὦ φιλόμουσοι νέοι τῆς Ἑλλάδος. Προθυμήθητε νὰ ὠφεληθῆτε ἀπὸ τοὺς μικρούς μου κόπους, καὶ τὴν μεγάλην τῶν φιλογενῶν ΖΩΣΙΜΑΔΩΝ χορηγίαν. Τότε δὲ θέλετ' ἀληθῶς ὠφεληθῆ, ἐὰν σπουδάζετε νὰ συλλέξετε ὄχι τὰ ἄνθη τῆς Ἑλληνικῆς παιδείας, ἀλλὰ πολὺ περισσότερον τοὺς καρπούς, ὡς ἔλεγεν ἐξ ἰδίας του πείρας, ὅστις εἶχε καὶ τὴν ἀρετὴν νὰ τοὺς μεταδίδῃ εἰς τοὺς ἄλλους (1).

Σεῖς δὲ, φίλοι ΖΩΣΙΜΑΔΑΙ, ὅσην χάριν σᾶς ἔχει ἡ Ἑλλὰς, διὰ τὰς καθημερινὰς εἰς αὐτὴν εὐεργεσίας, τόσην ἄλλην χρεωστεῖτε εἰς τὴν Ἑλλάδα ὄχι μόνον ὅτι δέχεται μετὰ χαρᾶς ὅσα καθ' ἡμέραν ἐξοδεύετε διὰ τὴν ὠφέλειαν αὐτῆς, ἀλλ' ὅτι σᾶς ἔβαλε καὶ εἰς τὴν τάξιν τῶν πλέον ἀγαπητῶν αὐτῆς τέκνων. Τοιαύτην τιμὴν ἐμποροῦν νὰ ἀποκτήσωσι καὶ ὅσοι σᾶς μιμηθοῦν εἰς τὸ ἑξῆς· ἀλλὰ νὰ σᾶς τὴν ἀφαιρέσῃ κανεὶς δὲν θέλει δυνηθῆ.

(1) Πλούταρχος, Γαμικ. παραγγέλμ. « Ἂν μὴ τῶν ῥόδων, ἀλλὰ τῶν » καρπῶν μετέχῃς, ὧν αἱ Μοῦσαι φέρουσι καὶ χαρίζονται τοῖς παιδείαν καὶ » ΦΙΛΟΣΟΦΙΑΝ θαυμάζουσιν ».

# ΑΙΛΙΑΝΟΥ

## ΠΟΙΚΙΛΗ ΙΣΤΟΡΙΑ.

# ΑΙΛΙΑΝΟΥ ΒΙΟΣ

Ἐκ τῶν Φιλοςράτου Βίων Σοφιςῶν (Βιβλ. Β, λα, σελ. 624).

Αἰλιανὸς δὲ, Ῥωμαῖος μὲν ἦν, ἠττίκιζε δὲ, ὥσπερ οἱ ἐν τῇ μεσογείᾳ Ἀθηναῖοι. Ἐπαίνου μοι δοκεῖ ἄξιος ὁ ἀνὴρ οὗτος· πρῶτον μὲν ἐπειδὴ καθαρὰν φωνὴν ἐξεπόνησε, πόλιν οἰκῶν ἑτέρᾳ φωνῇ χρωμένην· ἔπειθ' ὅτι προσρηθεὶς Σοφιςὴς ὑπὸ τῶν χαριζομένων τὰ τοιαῦτα, οὐκ ἐπίςευσεν, οὐδὲ ἐκολάκευσε (1) τὴν ἑαυτοῦ γνώμην, οὐδὲ ἐπήρθη ὑπὸ τοῦ ὀνόματος οὕτω μεγάλου ὄντος, ἀλλ' ἑαυτὸν εὖ διασκεψάμενος, ὡς μελέτῃ οὐκ ἐπιτήδειον, τῷ συγγράφειν ἐπέθετο, καὶ ἐθαυμάσθη ἐκ τούτου. Ἡ μὲν ἐπίπαν ἰδέα τοῦ ἀνδρὸς ἀφέλεια, προσβάλλουσά τι τῆς Νικοστράτου ὥρας· ἡ δὲ ἐνίοτε πρὸς Δίωνα ὁρᾷ, καὶ τὸν ἐκείνου τόνον. Ἐντυχὼν δέ ποτε αὐτῷ Φιλόστρατος ὁ Λήμνιος βιβλίον ἔτι πρόχειρον ἔχοντι, καὶ ἀναγινώσκοντι αὐτὸ σὺν ὀργῇ, καὶ ἐπιτάσει τοῦ φθέγματος, ἤρετο αὐτὸν, ὅ, τι σπουδάζοι. Καὶ ὃς, ἐκπεπόνηταί μοι, ἔφη, κατηγορία τοῦ Γύννιδος· καλῶ γὰρ οὕτω τὸν ἄρτι καθῃρημένον (2) τύραννον, ἐπειδὴ ἀσελγείᾳ πάσῃ τὰ Ῥωμαίων ᾔσχυνε. Καὶ ὁ Φιλόςρατος, Ἐγώ σε, εἶπεν, ἐθαύμαζον ἂν, εἰ ζῶντος κατηγόρησας· εἶναι γὰρ δὴ τὸ μὲν ζῶντα τὸν τύραννον ἐπικόπτειν, ἀνδρός· τὸ δὲ ἐπεμβαίνειν κειμένῳ, παντός. Ἔφασκε

(1) Ἐξ ἑτέρων διορθώσεως, ἀντὶ τοῦ, Ἐκόλασε.

(2) Ἐξ ἡμετέρ. διορθ. ἀντὶ τοῦ, Καθήμενον. λέγει δὲ τὸν Ἡλιογάβαλον τὸν ὑπὸ τῶν στρατιωτῶν ἀναιρεθέντα, ἔτει ἀπὸ Χριστοῦ 222.

δὲ (1) ἀνὴρ οὗτος, μηδ' ἀποδεδημηκέναι πη τῆς γῆς ὑπὲρ τὴν Ἰταλῶν χώραν, μηδὲ ἐμβῆναι ναῦν, μηδὲ γνῶναι θάλατταν. Ὅθεν καὶ λόγου πλείονος κατὰ τὴν Ῥώμην ἠξιοῦτο, ὡς τιμῶν τὰ ἤθη. Παυσανίου μὲν οὖν ἀκροατὴς ἐγένετο· ἐθαύμαζε δὲ τὸν Ἡρώδην ὡς ποικιλώτατον ῥητόρων. Ἐβίω δὲ ὑπὲρ τὰ ἑξήκοντα ἔτη, καὶ ἐτελεύτα οὐκ ἐπὶ παισί· παιδοποιΐαν γὰρ παρῃτήσατο, τῷ μὴ γῆμαί ποτε. Τοῦτο δὲ εἴτε εὔδαιμον, εἴτε ἄθλιον, οὐ τοῦ παρόντος καιροῦ φιλοσοφῆσαι.

Ἐκ τοῦ Σουΐδα (λέξ. Αἰλιανός).

Αἰλιανὸς ἀπὸ Πραινέστου τῆς Ἰταλίας, Ἀρχιερεὺς, καὶ Σοφιστὴς, ὁ χρηματίσας Κλαύδιος· ὃς ἐπεκλήθη Μελίγλωσσος, ἢ Μελίφθογγος. Καὶ ἐσοφίστευσεν ἐν Ῥώμῃ αὐτῇ ἐπὶ τῶν μετὰ Ἀδριανὸν χρόνων.

(1) Γράφε δ' ὁ.

ΑΙΛΙΑΝΟΥ

# ΑΙΛΙΑΝΟΥ
## ΠΟΙΚΙΛΗΣ ΙΣΤΟΡΙΑΣ.
### ΒΙΒΛΙΟΝ ΠΡΩΤΟΝ.

### ΚΕΦ. α΄.

Περὶ πολύποδος.

ΔΕΙΝΟΙ κατὰ κοιλίαν οἱ πολύποδες, καὶ πᾶν ὁτιοῦν φαγεῖν ἄμαχοι. Πολλάκις οὖν οὐδὲ ἀλλήλων ἀπέχονται· ἀλλὰ τῷ μείζονι ὁ βραχύτερος ἁλοὺς, καὶ ἐμπεσὼν τοῖς ἀνδρειοτέροις θηράτροις, τοῖς καλουμένοις τοῦ ἰχθύος πλοκάμοις, εἶτα αὐτῷ γίνεται δεῖπνον. Ἐλλοχῶσι δὲ οἱ πολύποδες καὶ τοὺς ἰχθῦς τὸν τρόπον τοῦτον. Ὑπὸ ταῖς πέτραις κάθηνται, καὶ ἑαυτοὺς εἰς τὴν ἐκείνων μεταμορφοῦσι χροιὰν, καὶ τοῦτο εἶναι δοκοῦσιν, ὅπερ οὖν καὶ πεφύκασιν αἱ πέτραι. Οἱ τοίνυν ἰχθῦς προσνέουσιν οἱονεὶ τῇ πέτρᾳ, τοῖς πολύποσιν, οἱ δὲ ἀφυλάκτους ὄντας αὐτοὺς περιβάλλουσι ταῖς ἐξ ἑαυτῶν ἄρκυσι, ταῖς πλεκτάναις.

### ΚΕΦ. β΄.

Περὶ φαλάγγων.

Ὑφαντικὴν, καὶ ὑφαίνειν, καὶ δῶρα Ἐργάνης Δαίμονος, οὔτε ἴσασιν αἱ φάλαγγες, οὔτε εἰδέναι βούλονται. Ἢ τί ποτ᾽ ἂν καὶ χρήσαιτο τῷ τοιῷδε ἐσθήματι τὸ τοιοῦτον θηρίον; Τὸ δὲ ἀράχνιον πάγη, καὶ οἱονεὶ κύρτος ἐστὶ τοῖς ἐμπίπτουσι. Καὶ ἡ μὲν ἀρκυωρεῖ, πάνυ σφόδρα ἀτρεμοῦσα, καὶ ἔοικεν ἀκινήτῳ. Καὶ τὸ μὲν ἐνέπεσεν, ὅ, τί ποτέ ἐστι τὸ ἐμπεσὸν, ἡ δ᾽ ἔχει δαῖτα. Τοσοῦτον δ᾽ ἐμπίπτει, ὅσον καὶ τὸ ὕφασμα κατέχειν δυνατόν ἐστι, καὶ ἐκείνῃ δειπνεῖν ἀπόχρη.

## ΚΕΦ. γ΄.

### Περὶ Αἰγυπτίων βατράχων.

Σοφόν τι ἄρα χρῆμα ἦν γένος βατράχων Αἰγυπτίων, καὶ οὖν καὶ τῶν ἄλλων ὑπερφέρουσι κατὰ πολύ. Ἐὰν γὰρ ὕδρῳ περιπέσῃ, Νείλου θρέμματι, βάτραχος, καλάμου τρύφος ἐνδακὼν, πλάγιον φέρει, καὶ ἀπρὶξ ἔχεται, καὶ οὐκ ἀνίησι κατὰ τὸ καρτερόν. Ὁ δὲ ἀμηχανεῖ καταπιεῖν αὐτὸν αὐτῷ τῷ καλάμῳ· οὐ γὰρ οἱ χωρεῖ περιλαβεῖν τοσοῦτον τὸ στόμα, ὅσον ὁ κάλαμος διείργει. Καὶ ἐκ τούτου περιγίνονται τῆς ῥώμης τῶν ὕδρων οἱ βάτραχοι τῇ σοφίᾳ.

## ΚΕΦ. δ΄.

### Περὶ κυνὸς Αἰγυπτίου.

Καὶ ἐκεῖνο δὲ κυνὸς Αἰγυπτίου σοφόν. Οὐκ ἀθρόως, οὐδὲ ἀνέδην, οὐδὲ ἐλευθέρως ἐκ τοῦ ποταμοῦ πίνουσιν, ἐπικύπτοντες ἅμα, καὶ ὅσον διψῶσι λάπτοντες· ὑφορῶνται γὰρ τὰ ἐν αὐτῷ θηρία. Παραθέουσι δὲ τὴν ὄχθην, καὶ παρακλέπτοντες, πίνουσιν, ὅσον ἁρπάσαι, πάλιν καὶ πάλιν. Εἶτα οὕτως ἐκ διαλειμμάτων ἐκορέσθησαν, οὐ μὴν ἀπώλοντο, καὶ οὖν καὶ ἠκέσαντο τὸ δίψος.

## ΚΕΦ. έ.

### Περὶ θαλαττίας ἀλώπεκος.

Ἡ ἀλώπηξ, οὐ μόνον τὸ χερσαῖον θηρίον δολερόν ἐςιν, ἀλλὰ καὶ ἡ θαλαττία πανοῦργός ἐστι. Τὸ μὲν γὰρ δέλεαρ οὐχ ὑφορᾶται, οὐδὲ μὴν φυλάττεται διὰ τὴν ἀκρασίαν τοῦτο· τοῦ δὲ ἀγκίστρου καταφρονεῖ καὶ πάνυ ἡ ἀλώπηξ. Πρὶν ἢ γὰρ τὸν ἀσπαλιέα σπάσαι τὸν κάλαμον, ἥδε ἀνέθορε, καὶ ἀπέκειρε τὴν ὁρμιὰν, καὶ νήχεται αὖθις. Πολλάκις δ᾽ οὖν καὶ δύο καὶ τρία κατέπιεν ἄγκιστρα· ὁ δ᾽ ἁλιεὺς ἐκείνην οὐκ ἐδείπνησε, ἀγροιοῦσαν τῆς θαλάσσης.

## ΚΕΦ. ϛ΄.

### Περὶ χελωνῶν θαλαττίων.

Αἱ χελῶναι αἱ θαλάσσιαι ἐν τῇ γῇ τίκτουσι. Τεκοῦσαι δὲ, παραχρῆμα κατέχωσαν ἐν τῇ γῇ τὰ ὠά· εἶτα ἐπιστρέψασαι ὀπίσω εἰς ἤθη τὰ ἑαυτῶν, νήχονται. Εἰσὶ δὲ εἰς τοσοῦτον λογιϛικαὶ, ὥστε ἐφ' ἑαυτῶν ἐκλογίζεσθαι τὰς ἡμέρας τὰς τεσσαράκοντα, ἐν αἷς τὰ ἔγγονα αὐταῖς, τῶν ὠῶν συμπαγέντων, ζῶα γίνονται. Ὑποστρέψασαι οὖν αὖθις εἰς τὸν χῶρον, ἐν ᾧ κατέθεντο κρύψασαι τὰ ἑαυτῶν βρέφη, ἀνώρυξαν τὴν γῆν, ἣν ἐπέβαλον, καὶ κινουμένους ἤδη τοὺς νεοττοὺς, καὶ ἕπεσθαι δυναμένους αὐταῖς ἀπάγουσιν.

## ΚΕΦ. ζ΄.

### Περὶ ἀγρίων συῶν.

Ἦσαν ἄρα οἱ σῦς οἱ ἄγριοι ἰατρικῆς οὐκ ἀπαίδευτοι, καὶ θεραπείας ἅμα. Οὗτοι γοῦν, ὅταν αὐτοὺς λαθόντες ὑοσκυάμου φάγωσι, τὰ ἐξόπισθεν ἐφέλκουσι, παρειμένως ἔχοντες οὕτως ἑαυτῶν. Εἶτα σπώμενοι, ὅμως ἐπὶ τὰ ὕδατα παραγίνονται, καὶ ἐνταῦθα τῶν καρκίνων ἀναλέγουσι, καὶ ἐσθίουσι προθυμότατα. Γίνονται δὲ οὗτοι τοῦ πάθους φάρμακον, καὶ ἐργάζονται ὑγιεῖς αὐτοὺς αὖθις.

## ΚΕΦ. ή.

### Περὶ φαλαγγίου.

Φαλάγγιον ἐλάφοις τοσοῦτόν ἐστι κακὸν, ὅσον καὶ ἀνθρώποις· καὶ κινδυνεύουσιν ἀπολέσθαι διὰ ταχέων. Ἐὰν μέντοι κιττοῦ γεύσωνται, ἐλύπησεν αὐτοὺς τὸ δῆγμα οὐδέν· δεῖ δὲ εἶναι τὸν κιττὸν ἄγριον.

### ΚΕΦ. θ'.

Περὶ λέοντος νοσοῦντος.

Λέοντα δὲ νοσοῦντα τῶν μὲν ἄλλων οὐδὲν ὀνίνησι· φάρμακον δέ ἐστιν αὐτῷ τῆς νόσου, βρωθεὶς πίθηκος.

### ΚΕΦ. ί.

Πῶς αἱ βεβλημέναι ἐν Κρήτῃ αἶγες θεραπεύονται.

Οἱ Κρῆτές εἰσι τοξεύειν ἀγαθοί· καὶ οὖν καὶ τὰς αἶγας βάλλουσιν ἐπ' ἄκροις νεμομένας τοῖς ὄρεσιν. Αἱ δὲ βληθεῖσαι παραχρῆμα τῆς δικτάμου βοτάνης διέτραγον, καὶ ἅμα τῷ γεύσασθαι, ὅλα ἐκείναις τὰ βέλη ἐκπίπτει.

### ΚΕΦ. ιά.

Ὅτι μαντικοὶ οἱ μῦες.

Ἦσαν δ' ἄρα μαντικώτατοι τῶν ζώων καὶ μῦες. Γηρώσης γὰρ οἰκίας ἤδη καὶ μελλούσης κατολισθαίνειν, αἰσθάνονται πρῶτοι· καὶ ἀπολιπόντες τὰς μυωπίας τὰς αὐτῶν, καὶ τὰς ἐξ ἀρχῆς διατριβὰς, ᾗ ποδῶν ἔχουσιν, ἀποδιδράσκουσι, καὶ μετοικίζονται.

### ΚΕΦ. ιϐ'.

Περὶ μυρμήκων.

Ἔχουσι δὲ καὶ οἱ μύρμηκες, ὡς ἀκούω, μαντικῆς τινα αἴσθησιν. Ὅταν γὰρ μέλλῃ λιμὸς ἔσεσθαι, δεινῶς εἰσι φιλόπονοι πρὸς τὸ θησαυρίσαι, καὶ ἑαυτοῖς ἀποταμειώσασθαι τοὺς πυροὺς, καὶ τα λοιπὰ τῶν σπερμάτων, ὅσα μυρμήκων δεῖπνόν ἐστι.

### ΚΕΦ. ιγ'.

Περὶ Γέλωνος.

Ὁ Συρακούσιος Γέλων κατ' ὄναρ ἐβέβλητο κεραυνῷ, καὶ διὰ τοῦτο ἐβόα, οὐκ ἀμυδρὸν, οὐδὲ ἀσθενὲς, ὡς ἐν ὀνείρῳ, ἀλλ' ἀν-

δρικῶς, ἅτε δεινῶς ἐκπλαγεὶς ὑπὸ τοῦ δέους. Ὁ δὲ κύων, ὥσπερ οὖν αὐτῷ παρεκάθευδεν, ἐκ τῆς βοῆς διεταράχθη, καὶ περιβὰς αὐτὸν, ὑλάκτει πάνυ σφοδρῶς ἀπειλητικὸν, καὶ σύντονον. Καὶ ἐκ τούτων ὁ Γέλων ἅμα τε ἀφυπνίσθη καὶ τοῦ δέους ἀφέθη.

## ΚΕΦ. ιδ'.

### Περὶ κύκνου.

Λέγει Ἀριστοτέλης τὸν κύκνον καλλίπαιδα εἶναι, καὶ πολύπαιδα· ἔχειν γε μὴν καὶ θυμόν. Πολλάκις γοῦν εἰς ὀργὴν καὶ μάχην προελθόντες, καὶ ἀλλήλους ἀπέκτειναν οἱ κύκνοι. Λέγει δὲ ὁ αὐτὸς, καὶ μάχεσθαι τοὺς κύκνους τοῖς ἀετοῖς· ἀμύνεσθαί γε μὴν αὐτοὺς, ἀλλ' οὐκ ἄρχειν ἀδίκων. Ὅτι δέ εἰσι φιλῳδοὶ, τοῦτο μὲν ἤδη καὶ τεθρύλληται. Ἐγὼ δὲ ᾄδοντος κύκνου οὐκ ἤκουσα, ἴσως δὲ οὐδὲ ἄλλος· πεπίστευται δ' οὖν, ὅτι ᾄδει. Καὶ λέγουσί γε αὐτὸν μάλιστα ἐκεῖνον εἶναι τὸν χρόνον εὐφωνότατόν τε, καὶ ᾠδικώτατον, ὅταν ᾖ περὶ τὴν καταστροφὴν τοῦ βίου. Διαβαίνουσι δὲ καὶ πέλαγος, καὶ πέτονται καὶ κατὰ θαλάσσης, καὶ αὐτοῖς οὐ κάμνει τὸ πτερόν.

## ΚΕΦ. ιέ.

### Περὶ περιστερῶν.

Ἐκ διαδοχῆς φασιν ἐπωάζειν τὰς περιστεράς. Εἶτα τῶν νεοττῶν γενομένων, ὁ ἄῤῥην ἐμπτύει αὐτοῖς, ἀπελαύνων αὐτῶν τὸν φθόνον, φασὶν, ἵνα μὴ βασκανθῶσι δἰ ἄρα τοῦτο. Τίκτει δὲ ὠὰ δύο ἡ θήλεια, ὧν τὸ μὲν πρῶτον, ἄῤῥεν ποιεῖ πάντως, τὸ δὲ δεύτερον, θῆλυ. Τίκτουσι δὲ αἱ περιστεραὶ κατὰ πᾶσαν ὥραν τοῦ ἔτους· ἔνθεν τοι καὶ δεκάκις τοῦ ἔτους ὠδίνουσι. Λόγος δέ τις περίεισιν Αἰγύπτιος, λέγων δωδεκάκις τὰς ἐν Αἰγύπτῳ τίκτειν. Λέγει δὲ Ἀριστοτέλης καὶ διάφορον εἶναι τῆς περιστερᾶς τὴν πελειάδα· τὴν μὲν γὰρ περιστερὰν εἶναι μείζονα, τὴν δὲ πελειάδα βραχυτέραν. Καὶ τὴν

μὲν περιστερὰν τιθασσὸν εἶναι, τὴν δὲ οὔ. Λέγει δὲ ὁ αὐτὸς, μὴ πρότερον ἐπιβαίνειν τὸν ἄῤῥενα τῇ θηλείᾳ, πρὶν ἢ φιλήσῃ αὐτήν· μὴ γὰρ ἀνέχεσθαι τὰς θηλείας τὴν τῶν ἀῤῥένων ὁμιλίαν, τοῦ φιλήματος ἔρημον. Προστίθησι τούτοις καὶ ἐκεῖνα, ὅτι καὶ αἱ θήλειαι ἀλλήλας ἀναβαίνουσιν, ὅταν τῆς πρὸς ἄῤῥενα μίξεως ἀτυχήσωσι· καὶ οὐδὲν μὲν εἰς ἀλλήλας προΐενται, τίκτουσι δὲ ᾠὰ, ἐξ ὧν νεοττοὶ οὐ γίνονται αὐταῖς. Εἰ δέ τι Καλλιμάχῳ χρὴ προσέχειν, φάσσαν, καὶ πυραλλίδα, καὶ περιστερὰν, καὶ τρυγόνα φησὶ μηδὲν ἀλλήλαις ἐοικέναι. Ἰνδοὶ δέ φασι λόγοι, περιστερὰς ἐν Ἰνδοῖς γίνεσθαι μηλίνας τὴν χρόαν. Χάρων δὲ ὁ Λαμψακηνὸς περὶ τὸν Ἄθω φανῆναι περιστερὰς λευκὰς λέγει, ὅτε ἐνταῦθα ἀπώλοντο αἱ τῶν Περσῶν τριήρεις, περικάμπτουσαι τὸν Ἄθω. Ἐν Ἔρυκι δὲ τῆς Σικελίας, ἔνθα ἐστὶν ὁ τῆς Ἀφροδίτης νεὼς, σεμνός τε, καὶ ἅγιος, ἔνθα κατά τινα καιρὸν θύουσιν οἱ Ἐρυκινοὶ τὰ Ἀναγώγια, καὶ λέγουσι τὴν Ἀφροδίτην εἰς Λιβύην ἀπὸ τῆς Σικελίας ἀνάγεσθαι, ἀφανεῖς ἐκ τοῦ χώρου αἱ περιστεραὶ γίνονται, ὡσπεροῦν τῇ θεῷ συναποδημοῦσαι. Κατά γε μὴν τὸν λοιπὸν χρόνον πάμπολύ τι πλῆθος τῶνδε τῶν ὀρνίθων ἐπιπολάζειν τῷ ναῷ τῆς θεοῦ ὡμολόγηται. Ἀχαϊκοὶ δὲ αὖ πάλιν λέγουσι λόγοι, καὶ τὸν Δία αὐτὸν μεταβαλεῖν τὴν μορφὴν εἰς περιστερὰν, ἐρασθέντα παρθένου, Φθίας ὄνομα. Ἐν Αἰγίῳ δὲ ᾤκει ἡ Φθία αὕτη.

## ΚΕΦ. ιϛ΄.

### Περὶ Σωκράτους, ὅτε τὸ κώνειον ἔπιεν.

Ὅτε ἧκεν ἡ ναῦς ἡ ἐκ Δήλου, καὶ ἔδει Σωκράτην ἀποθνήσκειν, ἀφίκετο εἰς τὸ δεσμωτήριον Ἀπολλόδωρος, ὁ τοῦ Σωκράτους ἑταῖρος, χιτῶνά τε αὐτῷ φέρων ἐρίων πολυτελῆ καὶ εὐήτριον, καὶ ἱμάτιον τοιοῦτο. Καὶ ἠξίου ἐνδύντα αὐτὸν τὸν χιτῶνα, καὶ θοἰμάτιον περιβαλόμενον, εἶτα οὕτω πιεῖν τὸ φάρμακον. Ἔλεγε γὰρ αὐτῷ, καλῶν ἐνταφίων μὴ ἀμοιρήσειν, εἰ ἐν αὐτοῖς ἀποθάνοι· καὶ γὰρ οὖν καὶ προκεῖσθαι σὺν τῷ κόσμῳ τὸν νεκρὸν οὐ πάνυ τι ἀδόξως. Ταῦτα τὸν Σω-

κράτην ὁ Ἀπολλόδωρος. Ὁ δὲ οὐκ ἠνέσχετο, ἀλλ' ἔφη πρὸς τοὺς ἀμφὶ τὸν Κρίτωνα, καὶ Σιμμίαν, καὶ Φαίδωνα, Καὶ πῶς ὑπὲρ ἡμῶν καλῶς Ἀπολλόδωρος οὕτω δοξάζει, εἴγε αὐτὸ πεπίστευκεν, ὅτι μετὰ τὴν ἐξ Ἀθηναίων φιλοτησίαν, καὶ τὸ τοῦ φαρμάκου πόμα, ἔτι οὕτως ὄψεται Σωκράτην; Εἰ γὰρ οἴεται τὸν ὀλίγον ὕστερον ἐῤῥιμμένον ἐν ποσὶ καὶ κεισόμενον γ' ἐμὲ εἶναι, δῆλός ἐστί με οὐκ εἰδώς.

## ΚΕΦ. ιζ'.

Περὶ τῶν σμικροτάτων τεθρίππων, καὶ ἐλεγείου.

Ταῦτα ἄρα ἐστὶ τὰ θαυμαζόμενα Μυρμηκίδου τοῦ Μιλησίου, καὶ Καλλικράτους τοῦ Λακεδαιμονίου, τὰ μικρὰ ἔργα. Τέθριππα μὲν ἐποίησαν ὑπὸ μυίας καλυπτόμενα, καὶ ἐν σησάμῳ δίστιχον ἐλεγεῖον χρυσοῖς γράμμασιν ἐπέγραψαν. Ὧν, ἐμοὶ δοκεῖν, ὁ σπουδαῖος οὐδέτερον ἐπαινέσεται· τί γαρ ἄλλο ἐστὶ ταῦτα, ἢ χρόνου παρανάλωμα;

## ΚΕΦ. ιή.

Περὶ τρυφωσῶν γυναικῶν.

Πῶς δὲ οὐ διέῤῥεον ὑπὸ τρυφῆς αἱ παλαιαὶ τῶν γυναικῶν; Ἐπὶ μὲν γὰρ τῆς κεφαλῆς στεφάνην ἐπετίθεντο ὑψηλὴν, τοὺς δὲ πόδας σανδάλοις ὑπεδοῦντο, ἐκ δὲ τῶν ὤτων αὐταῖς ἐνώτια μακρὰ ἀπεκρέμαντο· τῶν δὲ χιτώνων τὰ περὶ τοὺς ὤμους ἄχρι τῶν χειρῶν οὐ συνέῤῥαπτον, ἀλλὰ περόναις χρυσαῖς, καὶ ἀργυραῖς, συνεχέσι κατελάμβανον. Καὶ ταῦτα αἱ πάνυ παλαιαί. Τῶν δὲ Ἀττικῶν γυναικῶν τὴν τρυφὴν Ἀριστοφάνης λεγέτω.

## ΚΕΦ. ιθ'.

Περὶ τῆς τῶν Συβαριτῶν, καὶ Κολοφωνίων, καὶ Κορινθίων τρυφῆς.

Ὁ μὲν δημώδης λόγος καὶ εἰς πάντας ἐκφοιτήσας λέγει, Συβαρίταις καὶ αὐτῇ τῇ Συβάρει αἰτίαν τῆς ἀπωλείας γενέσθαι

τὴν πολλὴν τρυφήν. Ἃ δὲ οὐκ ἔστι τοῖς πολλοῖς γνώριμα, ταῦτ' ἐγὼ ἐρῶ. Κολοφωνίους φασὶ καὶ αὐτοὺς διὰ τὴν πάνυ τρυφὴν ἀπολέσθαι· καὶ γάρ τοι καὶ οὗτοι ἐσθῆτι πολυτελεῖ ἐθρύπτοντο, καὶ τραπέζης ἀσωτίᾳ καὶ ὑπὲρ τὴν χρείαν χρώμενοι ὕβριζον. Καὶ ἡ τῶν Βακχιαδῶν δὲ τῶν ἐν Κορίνθῳ ἀρχὴ, ἐπὶ μέγα δυνάμεως προελθοῦσα, ὅμως, διὰ τὴν τρυφὴν τὴν ἔξω τοῦ μέτρου, καὶ αὐτὴ κατελύθη.

### ΚΕΦ. κ'.

### Περὶ Διονυσίου συλήσαντος τὰ τῶν θεῶν.

Διονύσιος ἐξ ἁπάντων τῶν ἐν Συρακούσαις ἱερῶν ἐσύλησε τὰ χρήματα. Τοῦ δὲ ἀγάλματος τοῦ Διὸς περιεῖλε τὴν ἐσθῆτα καὶ τὸν κόσμον, ὃς ἦν, φασὶ, χρυσίου πέντε καὶ ὀγδοήκοντα ταλάντων. Ὀκνούντων δὲ τῶν δημιουργῶν ἅψασθαι, ὅδε πρῶτος ἔκρουσε τὸ ἄγαλμα. Καὶ τὸ ἄγαλμα δὲ τοῦ Ἀπόλλωνος περιεσύλησεν, ἔχον καὶ αὐτὸ χρυσοῦς βοστρύχους, κελεύσας ἀποκεῖραί τινα αὐτό. Πλεύσας δὲ εἰς Τροιζηνίους, τὰ τοῦ Ἀπόλλωνος, καὶ τῆς Λευκοθέας ἅπαντα ἐσύλησε χρήματα, τὴν παρακειμένην ἀργυρᾶν τῷ Ἀπόλλωνι τράπεζαν κελεύσας ἀφελεῖν, Ἀγαθοῦ Δαίμονος τῷ θεῷ διδόντας πρόποσιν.

### ΚΕΦ. κά.

### Ἰσμηνίας, αἰσχύνης χωρὶς, πῶς Περσῶν βασιλεῖ προσεκύνησεν.

Ἰσμηνίου τοῦ Θηβαίου σοφὸν ἅμα καὶ Ἑλληνικὸν οὐκ ἂν ἀποκρυψαίμην ἔργον. Πρεσβεύων οὗτος ὑπὲρ τῆς πατρίδος πρὸς βασιλέα τῶν Περσῶν, ἀφίκετο μὲν, ἐβούλετο δὲ αὐτὸς, ὑπὲρ ὧν ἧκεν, ἐντυχεῖν τῷ Πέρσῃ. Ἔφατο οὖν πρὸς αὐτὸν ὁ χιλίαρχος, ὁ καὶ τὰς ἀγγελίας εἰσκομίζων τῷ βασιλεῖ, καὶ τοὺς δεομένους εἰσάγων, Ἀλλ', ὦ ξεῖνε Θηβαῖε (ἔλεγε δὲ ταῦτα περσίζων δι' ἑρμηνέως, Τιθραύστης δὲ ἦν ὄνομα τῷ χι-

λιάρχῳ), νόμος ἐστὶν ἐπιχώριος Πέρσαις, τὸν εἰς ὀφθαλμοὺς ἐλθόντα τοῦ βασιλέως μὴ πρότερον λόγου μεταλαγχάνειν, πρὶν ἢ προσκυνῆσαι αὐτόν. Εἰ τοίνυν αὐτὸς δι᾽ ἑαυτοῦ συγγενέσθαι θέλεις αὐτῷ, ὥρα σοι, τὰ ἐκ τοῦ νόμου δρᾷν· εἰ δὲ μὴ, τὸ αὐτό σοι τοῦτο καὶ δι᾽ ἡμῶν ἀνυσθήσεται, καὶ μὴ προσκυνήσαντι. Ὁ τοίνυν Ἰσμηνίας, Ἄγε με, εἶπε· καὶ προσελθὼν καὶ ἐμφανὴς τῷ βασιλεῖ γενόμενος, περιελόμενος τὸν δακτύλιον, ἔῤῥιψεν ἀδήλως παρὰ τοὺς πόδας, ὃν ἔτυχε φορῶν, καὶ ταχέως ἐπικύψας, ὡς δὴ προσκυνῶν, πάλιν ἀνείλετο αὐτόν· καὶ δόξαν μὲν ἀπέστειλε τῷ Πέρσῃ προσκυνήσεως, οὐ μὴν ἔδρασεν οὐδὲν τῶν τοῖς Ἕλλησιν αἰσχύνην φερόντων. Πάντα οὖν, ὅσα ἠβουλήθη, κατεπράξατο, οὐδὲ ἠτύχησέ τι ἐκ τοῦ Πέρσου.

## ΚΕΦ. κβ΄.

### Δῶρα τὰ διδόμενα παρὰ Περσῶν βασιλέως τοῖς πρεσβευταῖς.

Δῶρα τὰ ἐκ βασιλέως διδόμενα τοῖς παρ᾽ αὐτὸν ἥκουσι πρεσβευταῖς, εἴτε παρὰ τῶν Ἑλλήνων ἀφίκοιντο, εἴτε ἑτέρωθεν, ταῦτ᾽ ἦν. Τάλαντον μὲν ἑκάστῳ Βαβυλώνιον ἐπισήμου ἀργυρίου, ταλαντιαῖαι δὲ φιάλαι δύο ἀργυραῖ. Δύναται δὲ τὸ τάλαντον τὸ Βαβυλώνιον δύο καὶ ἑβδομήκοντα μνᾶς Ἀττικάς. Ψέλλιά τε καὶ ἀκινάκην ἐδίδου, καὶ στρεπτὸν, χιλίων δαρεικῶν ἄξια ταῦτα. Καὶ στολὴν ἐπ᾽ αὐτοῖς Μηδικήν· ὄνομα δὲ τῇ στολῇ δωροφορική.

## ΚΕΦ. κγ΄.

### Περὶ Γοργίου καὶ Πρωταγόρου.

Ἐν τοῖς Ἕλλησι τοῖς πάλαι, μακρᾷ τῇ δόξῃ διέπρεπε Γοργίας ὁ Λεοντῖνος Φιλολάου, καὶ Πρωταγόρας Δημοκρίτου· τῇ δὲ σοφίᾳ τοσοῦτον ἐλείποντο, ὅσον ἀνδρῶν παῖδες. Ἔοικε γάρ πως ἡ δόξα μὴ πάνυ τι ἀκριβὲς, μήτε ὁρᾷν, μήτε ἀκούειν·

ἔνθεν τοι καὶ πολλὰ σφάλλεται, καὶ τὰ μὲν καταχαρίζεται, τὰ δὲ ψεύδεται.

## ΚΕΦ. κδ'.

### Περὶ φιλονεικίας Ἡρακλέους, καὶ Λεπρέου.

Γλαύκωνος τοῦ Ποσειδῶνος, καὶ Ἀστυδαμείας τῆς Φόρβαντος, γίνεται παῖς Λεπρέας, ὅσπερ οὖν συνεβούλευσε τῷ Αὐγέᾳ δῆσαι τὸν Ἡρακλῆ, ὅτε αὐτὸν ἀπῄτει τὸν ὑπὲρ τοῦ ἄθλου μισθὸν Ἡρακλῆς. Ἦν οὖν, οἷα εἰκὸς, πολέμιος τῷ Ἡρακλεῖ ὁ Λεπρέας ἐκ τῆς τοιαύτης συμβουλῆς. Χρόνῳ δὲ ὕστερον ὁ μὲν τοῦ Διὸς παῖς εἰς Καύκωνος ἀφίκετο· δεηθείσης δὲ τῆς Ἀςυδαμείας, διαλύεται τὴν πρὸς τὸν Λεπρέαν ὁ Ἡρακλῆς ἔχθραν. Φιλονεικία δ' οὖν αὐτοῖς ἐμπίπτει νεανικὴ, καὶ ἐρίζουσιν ἀλλήλοις περὶ δίσκου, καὶ ὕδατος ἀντλήσεως, καὶ τίς καταδειπνήσει ταῦρον πρότερος· καὶ ἐν πᾶσι τούτοις ἡττᾶται Λεπρέας. Καὶ ὑπὲρ πολυποσίας ἀγὼν αὐτοῖς ἐγένετο, καὶ ἐνταῦθα πάλιν ὁ Ἡρακλῆς ἐκράτει. Διανιώμενος δὲ ὁ Λεπρέας, λαβὼν ὅπλα, εἰς μονομαχίαν προκαλεῖται τὸν Ἡρακλῆ. Καὶ οὖν καὶ ἔτισε δίκας ὑπὲρ τῶν παρ' Αὐγέᾳ· μαχόμενος γὰρ ἀποθνήσκει.

## ΚΕΦ. κέ.

### Περὶ Ἀλεξάνδρου μεγαλοφροσύνης εἰς τὸν Φωκίωνα, καὶ τούτου εἰς ἐκεῖνον.

Ἀλέξανδρος ὁ Φιλίππου (εἰ δέ τῳ δοκεῖ, ὁ τοῦ Διὸς, ἐμοὶ γὰρ οὐδὲν διαφέρει) Φωκίωνι μόνῳ, φασὶ, τῷ Ἀθηναίων ςρατηγῷ γράφων, προσετίθη τὸ Χαίρειν· οὕτως ἄρα ἡρήκει τὸν Μακεδόνα ὁ Φωκίων. Ἀλλὰ καὶ τάλαντα αὐτῷ ἀργυρίου ἔπεμψεν ἑκατὸν, καὶ πόλεις τέσσαρας ὠνόμασεν, ὧν ἠξίου μίαν, ἣν βούλεται, προελέσθαι αὐτὸν, ἵνα ἔχῃ καρποῦσθαι τὰς ἐκεῖθεν προσόδους. Ἦσαν δὲ αἱ πόλεις αἵδε, Κίος, Ἐλαία, Μύλασα, Πάταρα. Ὁ μὲν οὖν Ἀλέξανδρος μεγαλοφρόνως ταῦτα καὶ μεγαλοπρεπῶς· ἔτι γε μὴν μεγαλοφρονέστερον ὁ Φωκίων, μήτε τὸ ἀργύριον προσέμενος, μήτε τὴν πόλιν. Ὡς δὲ μὴ

δοκοίη πάντη ὑπερφρονεῖν τοῦ Ἀλεξάνδρου, ἐτίμησεν αὐτὸν κατὰ τοῦτο· τοὺς ἐν τῇ ἄκρᾳ τῇ ἐν Σάρδεσι δεδεμένους ἄνδρας ἠξίωσεν αὐτὸν ἀφεῖναι ἐλευθέρους αὐτῷ, Ἐχεκρατίδην τὸν σοφιστὴν, καὶ Ἀθηνόδωρον τὸν Ἴμβριον, καὶ Δημάρατον, καὶ Σπάρτωνα· ἀδελφὼ δὲ ἄρα ἤστην οὗτοι Ῥοδίω.

## ΚΕΦ. κς΄.

### Περὶ Ἀγλαΐδος τῆς ἀδδηφάγου.

Γυναῖκα ἀκούω σαλπίσαι, καὶ τοῦτο ἔργον ἔχειν ἅμα καὶ τέχνην, Ἀγλαΐδα ὄνομα, τὴν Μεγακλέους παῖδα. Περίθετον δὲ εἶχε κόμην, καὶ λόφον ἐπὶ τῆς κεφαλῆς. Καὶ ὁμολογεῖ Ποσείδιππος ταῦτα. Δεῖπνον δὲ ἦν ἄρα αὐτῇ κρεῶν μὲν μναῖ δώδεκα, ἄρτον δὲ χοίνικες τέσσαρες, ἔπινε δὲ οἴνου χόα.

## ΚΕΦ. κζ΄.

### Περὶ ἀδδηφαγίας πολλῶν.

Ἀδδηφάγους λέγουσιν ἀνθρώπους γεγονέναι, Λιτυέρσαν τὸν Φρύγα, καὶ Κάμβητα τὸν Λυδὸν, καὶ Θῦον τὸν Παφλαγόνα, καὶ Χαρίλαν, καὶ Κλεώνυμον, καὶ Πείσανδρον, καὶ Χάριππον, καὶ Μιθριδάτην τὸν Ποντικὸν, καὶ Καλαμόδρυν τὸν Κυζικηνὸν, καὶ Τιμοκρέοντα τὸν Ῥόδιον, τὸν ἀθλητὴν ἅμα καὶ ποιητὴν, καὶ Καντίβαριν τὸν Πέρσην, καὶ Ἐρυσίχθονα τὸν Μυρμιδόνος· ἔνθεν τοι καὶ Αἴθων ἐκλήθη οὗτος. Λέγεται δὲ ἐν Σικελίᾳ Ἀδδηφαγίας ἱερὸν εἶναι, καὶ Σιτοῦς ἄγαλμα Δήμητρος. Ὁμολογεῖ δὲ καὶ Ἀλκμὰν ὁ ποιητὴς ἑαυτὸν πολυβορώτατον γεγονέναι. Καὶ Κτησίαν δὲ φησί τινα Ἀναξίλας, ὁ τῆς κωμῳδίας ποιητὴς, πολλὰ ἐσθίειν.

## ΚΕΦ. κή.

### Περὶ τῶν παρὰ Ῥοδίοις τιμωμένων ὄψων.

Ἀλλὰ ἔγωγε ὑμῖν ἐθέλω εἰπεῖν Ῥόδιον δόξαν. Ἐν Ῥόδῳ φασὶ τὸν μὲν εἰς τοὺς ἰχθῦς ὁρῶντα, καὶ θαυμάζοντα αὐτοὺς,

καὶ ὄντα τῶν ἄλλων ὀψοφαγίστατον, ἀλλὰ τοῦτόν γε ὡς ἐλευθέριον ὑπὸ τῶν δημοτῶν ἐπαινεῖσθαι· τόν γε μὴν πρὸς τὰ κρέα ἀπονεύοντα, ὡς φορτικὸν καὶ γάςριν διαβάλλουσι Ῥόδιοι. Εἴτε δὲ ἐκεῖνοι ὀρθῶς, εἴτε οὗτοι φλαύρως, ὑπερφρονῶ τοῦτο ἐξετάζειν.

## ΚΕΦ. κθ΄.

### Ὅτι ὄϊς λέοντα ἔτεκεν.

Λέγουσι Κώων παῖδες ἐν Κῷ τεκεῖν, ἔν τινι ποίμνῃ Νικίππου τοῦ τυράννου, ὄϊν· τεκεῖν δὲ οὐκ ἄρνα, ἀλλὰ λέοντα. Καὶ οὖν τὸ σημεῖον τοῦτο τῷ Νικίππῳ τὴν τυραννίδα τὴν μέλλουσαν αὐτῷ μαντεύσασθαι, ἰδιώτῃ ἔτι ὄντι.

## ΚΕΦ. λ΄.

### Ὅτι Γαλέτης οὐ μᾶλλον διὰ τὴν μορφὴν, ἢ διὰ τὴν σύνεσιν, ὑπὸ τοῦ Πτολεμαίου λίαν ἠράσθη.

Πτολεμαῖος ὁ βασιλεὺς ἐρώμενον εἶχε Γαλέτην ὄνομα, ἰδεῖν κάλλιστον. Ἀμείνων δὲ ἦν ἄρα τῷ μειρακίῳ γνώμη τῆς μορφῆς. Πολλάκις γοῦν αὐτῷ καὶ ὁ Πτολεμαῖος ἐμαρτύρει, καὶ ἔλεγεν, Ὦ ἀγαθὴ κεφαλὴ, κακοῦ μὲν οὐδεπώποτε οὐδενὶ γέγονας αἴτιος, πολλοῖς δὲ καὶ πολλὰ ἀγαθὰ προὐξένησας. Ὁ μὲν ἵππευε σὺν τῷ βασιλεῖ, τὸ μειράκιον. Ἰδὼν δὲ πόῤῥωθεν ἀγομένους τινὰς ἐπὶ θανάτῳ, οὐ ῥαθύμως εἶδεν· ἀλλ' ἔφη πρὸς τὸν Πτολεμαῖον, Ὦ βασιλεῦ, ἐπεὶ κατά τινα δαίμονα τῶν ἀγομένων ἀγαθὸν ἐπὶ ἵππῳ ἐτύχομεν ὄντες, φέρε, εἴ σοι δοκεῖ, τὴν ἔλασιν ἐπιτείναντες, καὶ συντονώτερον ἐπιδιώξαντες, Διόσκουροι τοῖς δειλαίοις γενώμεθα,

Σωτῆρες ἔνθα, κἀγαθοὶ παραστάται,

τοῦτο δὴ τὸ λεγόμενον ἐπὶ τῶν θεῶν τούτων. Ὁ δὲ ὑπερησθεὶς αὐτοῦ τῇ χρηστότητι, καὶ τὸ φιλοίκτιρμον ὑπερφιλήσας, καὶ ἐκείνους ἔσωσε, καὶ ἐπὶ πλέον προσέθηκε τῷ φίλτρῳ τοῦ κατ' αὐτὸν ἔρωτος.

## ΚΕΦ. λά.

Περσικὸς νόμος, περὶ τοῦ δῶρα προσφέρειν τῷ βασιλεῖ.

Νόμος οὗτος Περσικὸς ἐν τοῖς μάλιστα ὑπ' αὐτῶν φυλαττόμενος· ὅταν εἰς Πέρσας ἐλαύνῃ βασιλεὺς, πάντες αὐτῷ Πέρσαι κατὰ τὴν ἑαυτοῦ δύναμιν ἕκαστος προσκομίζει. Ἅτε δὴ ὄντες ἐν γεωργίᾳ, καὶ περὶ γῆν πονούμενοι, καὶ αὐτουργοὶ πεφυκότες, οὐδὲν τῶν ὑϐρισμένων, οὐδὲ τῶν ἄγαν πολυτελῶν, προσφέρουσιν, ἀλλ' ἢ βοῦς, ἢ ὄϊς, οἱ δὲ σῖτον, καὶ οἶνον ἄλλοι. Παρεξιόντι δ' αὐτῷ καὶ παρελαύνοντι, ταῦτα ὑπὸ ἑκάστου πρόκειται, καὶ ὀνομάζεται δῶρα, καὶ δοκεῖ τούτῳ. Οἱ δὲ ἔτι τούτων ἐνδεέστεροι τὸν βίον, καὶ γάλα, καὶ φοίνικας αὐτῷ, καὶ τυρὸν προσφέρουσι, καὶ τρωκτὰ ὡραῖα, καὶ τὰς ἄλλας ἀπαρχὰς τῶν ἐπιχωρίων.

## ΚΕΦ. λϐ'.

Περὶ δεδωρημένου ὕδατος τῷ Περσῶν βασιλεῖ.

Λόγος οὖν καὶ οὗτος Περσικός. Φασὶν ἄνδρα Πέρσην, ᾧ ὄνομα ἦν Σιναίτης, πόῤῥω τῆς ἐπαύλεως τῆς ἑαυτοῦ ἐντυχεῖν Ἀρταξέρξῃ τῷ ἐπικαλουμένῳ Μνήμονι. Ἀπολειφθέντα οὖν θορυϐηθῆναι δέει τοῦ νόμου, καὶ αἰδοῖ τοῦ βασιλέως. Οὐκ ἔχων δὲ ὅ,τι χρήσεται τῷ παρόντι, ἡττηθῆναι τῶν ἄλλων Περσῶν μὴ φέρων, μηδὲ ἄτιμος δόξαι, τῷ μὴ δωροφορῆσαι βασιλέα· ἀλλ' οὗτός γε πρὸς τὸν ποταμὸν τὸν πλησίον παραῤῥέοντα, ᾧ Κῦρος ὄνομα, ἐλθὼν σὺν σπουδῇ, καὶ ἧ ποδῶν εἶχε μάλιστα, ἐπικύψας, ἀμφοτέραις ταῖς χερσὶν ἀρυσάμενος τοῦ ὕδατος, Βασιλεῦ (φησὶν) Ἀρταξέρξη, δι' αἰῶνος βασιλεύοις· νῦν μὲν οὖν σὲ, ὅπῃ τε καὶ ὅπως ἔχω, τιμῶ, ὡς ἂν μὴ ἀγέραστος, τὸ γοῦν ἐμὸν καὶ τὸ κατ' ἐμὲ, παρέλθῃς. Τιμῶ δέ σε Κύρου ποταμοῦ ὕδατι· ὅταν δὲ ἐπὶ τὸν σταθμὸν τὸν σὸν παραγένῃ, οἴκοθεν, ὡς ἂν μάλιστα ἑαυτοῦ κράτιστα καὶ πολυτελέστατα χωρήσαιμι, οὕτω τιμήσω σε, καὶ δὴ οὐδὲν ἐλάττων γενοίμην τινὸς τῶν ἄλλων τῶν ἤδη σε δεξιωσαμένων τοῖς

δώροις. Ἐπὶ τούτοις ὁ Ἀρταξέρξης ἥσθη, καὶ, Δέχομαι ἡδέως, φησὶν, ἄνθρωπε, τὸ δῶρον, καὶ τιμῶ γε αὐτὸ τῶν πάνυ πολυτελῶν, καὶ ἰσοστάσιον ἐκείνοις λέγω· πρῶτον μὲν, ὅτι ὕδωρ ἐστὶ τὸ πάντων ἄριστον, δεύτερον δὲ, ὅτι Κύρου ὄνομα ἐν ἑαυτῷ φέρει. Καὶ σὺ δέ μοι καταλύοντι ἐν τῷ ςαθμῷ πάντως ἐπιφάνηθι. Ταῦτα εἰπὼν προσέταξε τοὺς εὐνούχους λαβεῖν τὸ ἐξ αὐτοῦ δῶρον. Οἱ δὲ τὴν ταχίστην προσδραμόντες, εἰς χρυσῆν φιάλην ἐδέξαντο ἐκ τῶν χειρῶν αὐτοῦ τὸ ὕδωρ. Ἐλθὼν δὲ, ἔνθα κατέλυεν, ὁ βασιλεὺς, ἔπεμψε τῷ ἀνδρὶ τῷ Πέρσῃ στολὴν Περσικὴν, καὶ φιάλην χρυσῆν, καὶ χιλίους δαρεικούς· καὶ προσέταξε τὸν κομίζοντα. αὐτὰ εἰπεῖν τῷ λαμβάνοντι, Κελεύει σε βασιλεὺς, ἐκ μὲν τούτου τοῦ χρυσίου εὐφραίνειν τὴν σεαυτοῦ ψυχὴν, ἐπεὶ καὶ σὺ τὴν ἐκείνου εὔφρανας, μὴ αὐτὸν ἀγέραστον, μηδὲ ἄτιμον ἐάσας, ἀλλ' ὡς ἤδη ἐχώρει, ταύτῃ τιμήσας· βούλεται δέ σε καὶ τῇ φιάλῃ ταύτῃ ἀρυόμενον πίνειν ἐξ ἐκείνου τοῦ ὕδατος.

## ΚΕΦ. λγ'.

Περὶ μεγάλης ῥοιᾶς τῷ αὐτῷ δεδωρημένης.

Ῥοιὰν ἐπὶ λίκνου μεγίστην Ὠμίσης Ἀρταξέρξῃ τῷ βασιλεῖ ἐλαύνοντι τὴν Περσίδα προσεκόμισε. Τὸ μέγεθος οὖν αὐτῆς ὑπερεκπλαγεὶς ὁ βασιλεὺς, Ἐκ ποίου παραδείσου, φησὶ, λαβὼν φέρεις μοι τὸ δῶρον τοῦτο; Τοῦ δὲ εἰπόντος, ὅτι οἴκοθεν, καὶ ἐκ τῆς αὐτοῦ γεωργίας, ὑπερήσθη· καὶ δῶρα μὲν αὐτῷ βασιλικὰ ἔπεμψε, καὶ ἐπεῖπε, Νὴ τὸν Μίθραν, ἀνὴρ οὗτος ἐκ τῆς ἐπιμελείας ταύτης δυνήσεται καὶ πόλιν, κατά γε τὴν ἐμὴν κρίσιν ἐκ μικρᾶς μεγάλην ποιῆσαι. Ἔοικε δὲ ὁ λόγος ὁμολογεῖν οὗτος, ὅτι πάντα ἐκ τῆς ἐπιμελείας, καὶ τῆς διαρκοῦς φροντίδος, καὶ τῆς σπουδῆς τῆς ἀνελλιποῦς, καὶ τῶν κατὰ φύσιν δύναιτο ἂν κρείττονα γενέσθαι.

## ΚΕΦ. λδ΄.

### Περὶ πατρὸς υἱοῦ θάνατον καταγινώσκεσθαι ζητοῦντος.

Ἀνὴρ γένει Μάρδος, ὄνομα Ῥακώκης, παῖδας εἶχεν ἑπτά. Ἀλλὰ τούτων ὁ νεώτατος ἐκαλεῖτο Καρτώμης· κακὰ δὲ πολλὰ τοὺς ἄλλους εἰργάζετο. Καὶ τὰ μὲν πρῶτα ἐπειρᾶτο αὐτὸν ὁ πατὴρ παιδεύειν, καὶ ῥυθμίζειν λόγῳ· ἐπεὶ δὲ οὐκ ἐπείθετο, τῶν δικαστῶν τῶν περιχώρων ἀφικομένων, ἔνθα ᾤκει ὁ τοῦ νεανίσκου πατὴρ, ἀλλ' ἐκεῖνός γε συλλαϐὼν τὸ παιδίον, καὶ τὼ χεῖρε ὀπίσω περιαγαγὼν αὐτοῦ, πρὸς τοὺς δικαστὰς ἤγαγε· καὶ ὅσα αὐτῷ τετόλμηται, πάντα ἀκριϐῶς κατηγόρησε, καὶ ᾔτει παρὰ τῶν δικαστῶν ἀποκτεῖναι τὸν νεανίσκον. Οἱ δὲ ἐξεπλάγησαν, καὶ αὐτοὶ μὲν ἐφ' ἑαυτῶν οὐκ ἔκριναν τὴν καταδικάζουσαν ἀγαγεῖν ψῆφον· ἀμφοτέρους δὲ ἐπὶ τὸν βασιλέα τῶν Περσῶν τὸν Ἀρταξέρξην ἤγαγον. Τὰ αὐτὰ δὲ λέγοντος τοῦ Μάρδου, ὑπολαϐὼν ὁ βασιλεὺς ἔφη, Εἶτα τολμήσεις τοῖς ὀφθαλμοῖς τοῖς ἑαυτοῦ τὸν υἱὸν ἀποθνήσκοντα ὑπομεῖναι; Ὁ δὲ ἔφη, Πάντων μάλιστα· ἐπεὶ καὶ ἐν τῷ κήπῳ, ὅταν τῶν φυομένων θριδακινῶν τὰς ἐκφύσεις τὰς πικρὰς ἀποκλῶ καὶ ἀφαιρῶ, οὐδὲν ἡ μήτηρ αὐτῶν ἡ θριδακίνη λυπεῖται, ἀλλὰ θάλλει μᾶλλον, καὶ μείζων καὶ γλυκίων γίνεται. Ἀλλὰ καὶ ἐγὼ, ὦ βασιλεῦ, τὸν βλάπτοντα τὴν ἐμὴν οἰκίαν καὶ τὸν τῶν ἀδελφῶν βίον, εἶπε, θεωρῶν ἀπολλύμενον, καὶ τῆς κακουργίας τῆς εἰς αὐτοὺς παυόμενον, καὶ αὐτὸς αὐξηθήσομαι, καὶ τοῖς λοιποῖς τοῖς κατὰ γένος συνέσομαι τὰ αὐτὰ ἐμοὶ εὖ πάσχουσιν. Ὧν ἀκούσας Ἀρταξέρξης ἐπῄνεσε μὲν τὸν Ῥακώκην, καὶ τῶν βασιλικῶν δικαστῶν ἐποίησεν ἕνα, εἰπὼν πρὸς τοὺς παρόντας, ὅτι ὁ περὶ τῶν ἰδίων παίδων οὕτω δικαίως ἀποφαινόμενος, πάντως καὶ ἐν τοῖς ἀλλοτρίοις ἀκριϐὴς ἔσται δικαστὴς, καὶ ἀδέκαστος· ἀφῆκε δὲ καὶ τὸν νεανίαν τῆς παρούσης τιμωρίας, ἀπειλῶν αὐτῷ θανάτου τρόπον βαρύτατον, ἐὰν ἐπὶ τοῖς φθάσασιν ἀδικῶν φωραθῇ ἕτερα.

# ΑΙΛΙΑΝΟΥ

## ΠΟΙΚΙΛΗΣ ΙΣΤΟΡΙΑΣ

### ΒΙΒΛΙΟΝ ΔΕΥΤΕΡΟΝ.

#### ΚΕΦ. α΄.

Πῶς ὁ Σωκράτης ἐθάρσυνε τὸν Ἀλκιβιάδην, ὥστε μηκέτι μᾶλλον τοῦ πρέποντος εὐλαβεῖσθαι τὸν δῆμον.

Καὶ ταῦτα Σωκράτους πρὸς Ἀλκιβιάδην. Ὁ μὲν ἠγωνία, καὶ ἐδεδίει πάνυ σφόδρα εἰς τὸν δῆμον παρελθεῖν, τὸ μειράκιον. Ἐπιθαρσύνων δὲ αὐτὸν, καὶ ἐγείρων ὁ Σωκράτης, Οὐ καταφρονεῖς, εἶπεν, ἐκείνου τοῦ σκυτοτόμου; τὸ ὄνομα εἰπὼν αὐτοῦ. Φήσαντος δὲ τοῦ Ἀλκιβιάδου, ὑπολαβὼν πάλιν ὁ Σωκράτης, Ἔτι δὲ ἐκείνου, τοῦ ἐν τοῖς κύκλοις κηρύττοντος; ἢ ἐκείνου τοῦ σκηνοῤῥάφου; Ὁμολογοῦντος δὲ τοῦ Κλεινίου μειρακίου, Οὐκοῦν, ἔφη ὁ Σωκράτης, ὁ δῆμος ὁ Ἀθηναίων ἐκ τοιούτων ἤθροισται· καὶ εἰ τῶν καθ' ἕνα καταφρονεῖς, καταφρονητέον ἄρα καὶ τῶν ἠθροισμένων. Μεγαλοφρόνως ταῦτα ὁ τοῦ Σωφρονίσκου καὶ τῆς Φαιναρέτης, τὸν τοῦ Κλεινίου καὶ τῆς Δεινομάχης διδάσκων.

#### ΚΕΦ. β΄.

Περὶ γραφῶν ἐπαινουμένων κακῶς.

Μεγαβύζου ποτὲ ἐπαινοῦντος γραφὰς εὐτελεῖς, καὶ ἀτέχνους, ἑτέρας δὲ σπουδαίως ἐκπεπονημένας διαψέγοντος, τὰ παιδάρια τὰ τοῦ Ζεύξιδος, τὴν μηλίδα τρίβοντα, κατεγέλα. Ὁ τοίνυν Ζεῦξις ἔφατο, ὅταν μὲν σιωπᾷς, ὦ Μεγάβυζε, θαυμάζει σε τὰ παιδάρια ταῦτα· ὁρᾷ γάρ σου τὴν ἐσθῆτα καὶ τὴν θεραπείαν, τὴν περί σε. Ὅταν γε μὴν τεχνικόν τι θέλῃς εἰπεῖν

εἰπεῖν, καταφρονεῖ σου. Φύλαττε τοίνυν σεαυτὸν εἰς τοὺς ἐπαινουμένους, κρατῶν τῆς γλώσσης, καὶ ὑπὲρ μηδενὸς τῶν μηδέν σοι προσηκόντων φιλοτεχνῶν.

## ΚΕΦ. γ'.

Περὶ Ἀλεξάνδρου οὐκ ἐπαινέσαντος εἰκόνα κατὰ τὴν ἀξίαν.

Ἀλέξανδρος θεασάμενος τὴν ἐν Ἐφέσῳ εἰκόνα ἑαυτοῦ, τὴν ὑπὸ Ἀπελλοῦ γραφεῖσαν, οὐκ ἐπῄνεσε κατὰ τὴν ἀξίαν τοῦ γράμματος. Εἰσαχθέντος δὲ τοῦ ἵππου, καὶ χρεμετίσαντος πρὸς τὸν ἵππον τὸν ἐν τῇ εἰκόνι, ὡς πρὸς ἀληθινὸν καὶ ἐκεῖνον, Ὦ βασιλεῦ, εἶπεν ὁ Ἀπελλῆς, ἀλλ' ὅ γε ἵππος ἔοικέ σου γραφικώτερος εἶναι κατὰ πολύ.

## ΚΕΦ. δ'.

Περὶ ἔρωτος Χαρίτωνος καὶ Μελανίππου, καὶ Τυράννου εἰς αὐτοὺς συμπαθείας.

Φαλάριδος ὑμῖν ἔργον οὐ μάλα ἐκείνῳ σύνηθες εἰπεῖν ἐθέλω. Τὸ δὲ ἔργον φιλανθρωπίαν ἄμαχον ὁμολογεῖ, καὶ διὰ τοῦτο ἀλλότριον ἐκείνου δοκεῖ. Χαρίτων ἦν Ἀκραγαντῖνος, φιλόκαλος ἄνθρωπος, καὶ περὶ τὴν ὥραν τὴν τῶν νέων ἐσπουδακὼς δαιμονίως. Διαπύρως δὲ ἠράσθη μάλιστα Μελανίππου, Ἀκραγαντίνου καὶ ἐκείνου, καὶ τὴν ψυχὴν ἀγαθοῦ, καὶ τὸ κάλλος διαφέροντος. Τοῦτον ἐλύπησέ τι Φάλαρις τὸν Μελάνιππον. Δικαζομένῳ γὰρ αὐτῷ πρός τινα τῶν ἑταίρων αὐτοῦ τοῦ Φαλάριδος, προσέταξεν ὁ τύραννος τὴν γραφὴν καταθέσθαι. Τοῦ δὲ μὴ πειθομένου, ὅδε ἠπείλησε τὰ ἔσχατα δράσειν αὐτὸν μὴ ὑπακούσαντα. Καὶ ἐκεῖνος μὲν παρὰ τὴν δίκην ἐκράτησε τῇ ἀνάγκῃ προστάξαντος τοῦ Φαλάριδος· καὶ οἱ ἄρχοντες τὴν γραφὴν τοῦ ἀγῶνος ἠφάνισαν. Βαρέως δὲ ἐπὶ τούτοις ὁ νεανίσκος ἤνεγκεν, ὑβρίσθαι λέγων, καὶ ὡμολόγει τὴν ὀργὴν τὴν ἑαυτοῦ πρὸς τὸν ἐραστὴν, ὁ Μελάνιππος, καὶ ἠξίου κοινωνὸν αὐτὸν γενέσθαι τῆς ἐπιθέσεως τῆς κατ' αὐτοῦ· καὶ ἄλλους δὲ ἔσπευδε

προσλαβεῖν τῶν νεανίσκων, οὓς μάλιστα ᾔδει περὶ τὴν τοιαύτην πρᾶξιν θερμοτάτους. Ὁρῶν δὲ αὐτὸν ὁ Χαρίτων ἐνθουσιῶντα, καὶ ὑπὸ τῆς ὀργῆς ἀναφλεγόμενον, καὶ γινώσκων, ὅτι τῶν πολιτῶν οὐδεὶς αὐτοῖς συλλήψεται, δέει τῷ ἐκ τοῦ τυράννου, καὶ αὐτὸς ἔφη πάλαι τοῦτο ἐπιθυμεῖν, καὶ σπεύδειν ἐκ παντὸς τὴν πατρίδα ῥύσασθαι τῆς δουλείας τῆς καταλαβούσης· ἀσφαλὲς δὲ μὴ εἶναι πρὸς πολλοὺς τὰ τοιαῦτα ἐκφέρειν. Ἠξίου δὲ τὸν Μελάνιππόν οἱ συγχωρῆσαι ὑπὲρ τούτων ἀκριβέστερον διασκέψασθαι, καὶ ἐᾶσαι παραφυλάξαι τὸν χρόνον τὸν ἐπιτήδειον εἰς τὴν πρᾶξιν. Συνεχώρησε τὸ μειράκιον. Ἐφ' ἑαυτοῦ τοίνυν ὁ Χαρίτων βαλόμενος τὸ πᾶν τόλμημα, καὶ κοινωνὸν αὐτοῦ μὴ θελήσας παραλαβεῖν τὸν ἐρώμενον, ἵν', εἰ καταφωραθείη, αὐτὸς ὑπέχοι τὴν δίκην, ἀλλὰ μὴ καὶ ἐκεῖνον εἰς τὰ αὐτὰ ἐμβάλοι· ἡνίκα οὖν ἐδόκει καλῶς ἔχειν, ἐγχειρίδιον λαβὼν, ὡρμᾶτο ἐπὶ τὸν τύραννον. Οὐ μὴν ἔλαθε· κατεφωράθη δὲ, πάνυ σφόδρα τῶν δορυφόρων ἀκριβῶς τὰ τοιαῦτα φυλαττόντων. Ἐμβληθεὶς δὲ ὑπὸ τοῦ Φαλάριδος εἰς τὸ δεσμωτήριον, καὶ στρεβλούμενος, ἵν' εἴπῃ τοὺς συνεγνωκότας, ὁ δὲ ἐνεκαρτέρει καὶ ἐνήθλει ταῖς βασάνοις. Ἐπεὶ δὲ μακρὸν τοῦτο ἦν, ὁ Μελάνιππος ἧκεν ἐπὶ τὸν Φάλαριν, καὶ ὡμολόγησεν οὐ μόνον κοινωνὸς εἶναι τῷ Χαρίτωνι τῆς βουλῆς, ἀλλὰ καὶ αὐτὸς ἄρξαι τῆς ἐπιβουλῆς. Τοῦ δὲ πυνθανομένου τὴν αἰτίαν, εἶπε τὸν ἐξ ἀρχῆς λόγον, καὶ τὴν τῆς γραφῆς ἄρσιν, καὶ ἐπὶ τούτοις ὡμολόγει περιαλγῆσαι. Θαυμάσας οὖν, ἀμφοτέρους ἀφῆκε τῆς τιμωρίας, προστάξας αὐθημερὸν ἀπελθεῖν μὴ μόνον τῆς Ἀκραγαντίνων πόλεως, ἀλλὰ καὶ τῆς Σικελίας· συνεχώρησε δὲ αὐτοῖς τὰ ἴδια δίκαια καρποῦσθαι. Τούτους ὕστερον ἡ Πυθία, καὶ τὴν φιλίαν αὐτῶν, ὕμνησε διὰ τούτων τῶν ἐπῶν·

Θείας ἡγητῆρες ἐφημερίοις φιλότητος,
Εὐδαίμων Χαρίτων καὶ Μελάνιππος ἔφυ,

τοῦ θεοῦ τὸν ἔρωτα αὐτῶν θείαν ὀνομάσαντος φιλίαν.

## ΚΕΦ. έ.

Περὶ χρόνου ταμιεύσεως, καὶ τοῦ μὴ ἐᾶσαι Λακεδαιμονίους περιπατεῖν.

Λακεδαιμόνιοι δεινὴν ἐποιοῦντο τοῦ χρόνου τὴν φειδὼ, ταμιευόμενοι πανταχόθεν αὐτὸν εἰς τὰ ἐπειγόμενα, καὶ μηδενὶ τῶν πολιτῶν ἐπιτρέποντες, μήτε ῥᾳστωνεύειν, μήτε ῥαθυμεῖν εἰς αὐτὸν, ὡς ἂν μὴ πρὸς τὰ ἔξω τῆς ἀρετῆς ἀναλισκόμενος, εἶτα μάτην διαφθείροιτο. Μαρτύριον τούτου πρὸς τοῖς ἄλλοις καὶ τοῦτο. Ἀκούσαντες οἱ Ἔφοροι Λακεδαιμονίων τοὺς Δεκέλειαν καταλαβόντας περιπάτῳ χρῆσθαι δειλινῷ, ἐπέστειλαν αὐτοῖς, Μὴ περιπατεῖτε· ὡς τρυφώντων αὐτῶν μᾶλλον, ἢ τὸ σῶμα ἐκπονούντων. Δεῖν γὰρ Λακεδαιμονίους, οὐ διὰ τοῦ περιπάτου, ἀλλὰ διὰ τῶν γυμνασίων τὴν ὑγείαν πορίζεσθαι.

## ΚΕΦ. ς'.

Παράδειγμα, ὅτι οὐ δεῖ τοῖς πολλοῖς ἀρέσκειν.

Ἱππόμαχός, φασιν, ὁ γυμναστὴς, ἐπεὶ πάλαισμά τι ὁ ἀθλητὴς ὁ ὑπ' αὐτῷ γυμναζόμενος ἐπάλαισεν, εἶτα ὁ πᾶς ὄχλος ὁ περιεστὼς ἐξεβόησε, καθίκετο αὐτοῦ τῇ ῥάβδῳ ὁ Ἱππόμαχός, φασι, καὶ εἶπεν, Ἀλλὰ σύ γε κακῶς, καὶ οὐχ ὡς ἐχρῆν ἐποίησας, ὅπερ ἐχρῆν ἄμεινον γενέσθαι· οὐ γὰρ ἂν ἐπήνεσαν οὗτοι τεχνικόν σε δράσαντά τι. Αἰνιττόμενος, ὅτι τοὺς εὖ καὶ καλῶς ἕκαστα δρῶντας, οὐ τοῖς πολλοῖς, ἀλλὰ τοῖς ἔχουσι νοῦν θεωρητικὸν τῶν δρωμένων, ἀρέσκειν δεῖ. Ἔοικε δὲ καὶ Σωκράτης τὴν τῶν πολλῶν ἐκφαυλίζειν κρίσιν ἐν τῇ συνουσίᾳ τῇ πρὸς Κρίτωνα, ὅτε ἀφίκετο ὁ Κρίτων εἰς τὸ δεσμωτήριον, καὶ δὴ ἔπειθεν αὐτὸν ἀποδρᾶναι, καὶ τὴν τῶν Ἀθηναίων τὴν κατ' αὐτοῦ κρίσιν διαφθεῖραι.

## ΚΕΦ. ζ'.

### Περὶ τοῦ μὴ ἐκτιθέναι βρέφη Θηβαίους.

Νόμος οὗτος Θηβαϊκὸς, ὀρθῶς ἅμα καὶ φιλανθρώπως κείμενος ἐν τοῖς μάλιστα, ὅτι οὐκ ἔξεστιν ἀνδρὶ Θηβαίῳ ἐκθεῖναι παιδίον, οὐδὲ εἰς ἐρημίαν αὐτὸ ῥίψαι, θάνατον αὐτοῦ καταψηφισάμενος. Ἀλλ' ἐὰν ᾖ πένης εἰς τὰ ἔσχατα ὁ τοῦ παιδὸς πατὴρ, εἴτε ἄῤῥεν τοῦτο, εἴτε θῆλύ ἐστιν, ἐπὶ τὰς ἀρχὰς κομίζειν ἐξ ὠδίνων τῶν μητρῴων σὺν τοῖς σπαργάνοις αὐτό. Αἱ δὲ, παραλαβοῦσαι, ἀποδίδονται τὸ βρέφος τῷ τιμὴν ἐλαχίστην δόντι· ῥήτρα τε πρὸς αὐτὸν, καὶ ὁμολογία γίνεται, ἦ μὴν τρέφειν τὸ βρέφος, καὶ αὐξηθὲν ἔχειν δοῦλον, ἢ δούλην, θρεπτήρια αὐτοῦ τὴν ὑπηρεσίαν λαμβάνοντα.

## ΚΕΦ. η'.

### Περὶ Ξενοκλέους καὶ Εὐριπίδου ἀγωνισαμένων.

Κατὰ τὴν πρώτην καὶ ἐννενηκοστὴν Ὀλυμπιάδα, καθ' ἣν ἐνίκα Ἐξαίνετος ὁ Ἀκραγαντῖνος στάδιον, ἀντηγωνίσαντο ἀλλήλοις Ξενοκλῆς, καὶ Εὐριπίδης. Καὶ πρῶτός γε ἦν Ξενοκλῆς, ὅς τίς ποτε οὗτός ἐστιν, Οἰδίποδι, καὶ Λυκάονι, καὶ Βάκχαις, καὶ Ἀθάμαντι Σατυρικῷ. Τούτου δεύτερος Εὐριπίδης ἦν, Ἀλεξάνδρῳ, καὶ Παλαμήδῃ, καὶ Τρωσὶ, καὶ Σισύφῳ Σατυρικῷ. Γελοῖον δὲ, οὐ γάρ; Ξενοκλέα μὲν νικᾷν, Εὐριπίδην δὲ ἡττᾶσθαι, καὶ ταῦτα τοιούτοις δράμασι. Τῶν δύο τοίνυν τὸ ἕτερον, ἢ ἀνόητοι ἦσαν οἱ τῆς ψήφου κύριοι, καὶ ἀμαθεῖς, καὶ πόῤῥω κρίσεως ὀρθῆς, ἢ ἐδεκάσθησαν. Ἄτοπον δὲ ἑκάτερον, καὶ Ἀθηναίων ἥκιστα ἄξιον.

## ΚΕΦ. θ'.

### Περί τινων ἀποστατῶν Ἀθηναίων ψηφίσματα.

Οἷα ἐψηφίσαντο Ἀθηναῖοι, καὶ ταῦτα ἐν δημοκρατίᾳ; Αἰγινητῶν μὲν ἑκάστου τὸν μέγαν ἀποκόψαι τῆς χειρὸς δάκτυλον τῆς δεξιᾶς, ἵνα δόρυ μὲν βαστάζειν μὴ δύνωνται, κώπην δὲ

ἐλαύνειν δύνωνται. Μιτυληναίους δὲ ἡβηδὸν ἀποσφάξαι· καὶ τοῦτο ἐψηφίσαντο, εἰσηγησαμένου Κλέωνος τοῦ Κλεαινέτου. Τούς γε μὴν ἁλισκομένους αἰχμαλώτους Σαμίων στίζειν κατὰ τοῦ προσώπου, καὶ εἶναι τὸ στίγμα γλαῦκα, καὶ τοῦτο Ἀττικὸν ψήφισμα. Οὐκ ἐβουλόμην δὲ αὐτὰ, οὔτε Ἀθήνησι κεκυρῶσθαι, οὔτε ὑπὲρ Ἀθηναίων λέγεσθαι, ὦ Πολιὰς Ἀθηνᾶ, καὶ Ἐλευθέριε Ζεῦ, καὶ οἱ Ἑλλήνων θεοὶ πάντες.

## ΚΕΦ. ί.

Τιμόθεος, Πλάτωνος διαλεγομένου ἀκούσας, ἧττον εὐδαίμονα ἑαυτὸν ἔκρινεν.

Τιμόθεον ἀκούω τὸν Κόνωνος, τὸν Ἀθηναίων στρατηγὸν, ὅτε ἐν ἀκμῇ τῆς εὐτυχίας ἦν, καὶ ᾕρει τὰς πόλεις ῥᾷστα, καὶ οὐκ εἶχον Ἀθηναῖοι ὅποι ποτὲ αὐτὸν κατάθωνται ὑπὸ θαύματος τοῦ περὶ τὸν ἄνδρα· ἀλλὰ τοῦτόν γε Πλάτωνι τῷ Ἀρίστωνος περιτυχόντα, βαδίζοντι ἔξω τοῦ τείχους μετά τινων γνωρίμων, καὶ ἰδόντα σεμνὸν μὲν ἰδεῖν τὸ πλάτος, ἵλεων δὲ τῷ προσώπῳ, διαλεγόμενον δὲ οὐχὶ περὶ εἰσφορᾶς χρημάτων, οὐδὲ ὑπὲρ τριηρῶν, οὐδὲ ὑπὲρ ναυτικῶν χρειῶν, οὐδὲ ὑπὲρ πληρωμάτων, οὐδὲ ὑπὲρ τοῦ δεῖν βοηθεῖν, οὐδὲ ὑπὲρ φόρου τοῦ τῶν συμμάχων, οὐδὲ ὑπὲρ τῶν νησιωτῶν, ἢ ὑπὲρ ἄλλου τινὸς τοιούτου φληνάφου· ὑπὲρ ἐκείνων δὲ, ὧν ἔλεγε Πλάτων, καὶ ὑπὲρ ὧν εἰώθιστο σπουδάζειν, ἐπιστάντα τὸν Τιμόθεον τὸν τοῦ Κόνωνος, εἰπεῖν, Ὦ τοῦ βίου, καὶ τῆς ὄντως εὐδαιμονίας. Ἐκ τούτων οὖν δῆλον, ὡς ἑαυτὸν οὐ πάνυ τι εὐδαίμονα ἀπέφαινεν ὁ Τιμόθεος, ὅτι μὴ ἐν τούτοις, ἀλλ᾽ ἐν τῇ παρ᾽ Ἀθηναίων δόξῃ καὶ τιμῇ ἦν.

## ΚΕΦ. ιά.

Περὶ τῶν ῥηθέντων ὑπὸ Σωκράτους περὶ τῶν ὑπὸ τῶν Τριάκοντα σφαττομένων.

Σωκράτης ἰδὼν κατὰ τὴν ἀρχὴν τῶν Τριάκοντα τοὺς ἐνδόξους ἀναιρουμένους, καὶ βαρύτατα τοὺς πλουτοῦντας ὑπὸ

τῶν Τυράννων ἐπιβουλευομένους, Ἀντισθένει φασὶ περιτυχόντα εἰπεῖν, Μή τί σοι μεταμέλει, ὅτι μέγα καὶ σεμνὸν οὐδὲν ἐγενόμεθα ἐν τῷ βίῳ, καὶ τοιοῦτοι, οἵους ἐν τῇ τραγῳδίᾳ τοὺς μονάρχας ὁρῶμεν, Ἀτρέας τε ἐκείνους, καὶ Θυέστας, καὶ Ἀγαμέμνονας, καὶ Αἰγίσθους; Οὗτοι μὲν γὰρ ἀποσφαττόμενοι, καὶ ἐκτραγῳδούμενοι, καὶ πονηρὰ δεῖπνα δειπνοῦντες, καὶ ἐσθίοντες ἑκάστοτε ἐκκαλύπτονται· οὐδεὶς δὲ οὕτως ἐγένετο τολμηρὸς, οὐδὲ ἀναίσχυντος τραγῳδίας ποιητὴς, ὥστε εἰσαγαγεῖν εἰς δρᾶμα ἀποσφαττόμενον χορόν.

## ΚΕΦ. ιβ'.

### Περὶ Θεμιστοκλέους παυσαμένου τῆς ἀσωτίας.

Θεμιςοκλέους τοῦ Νεοκλέους, οὐκ οἶδα εἰ ἐπαινεῖν χρὴ τοῦτο. Ἐπεὶ γὰρ τῆς ἀσωτίας ἐπαύσατο Θεμιστοκλῆς, ἀποκηρυχθεὶς ὑπὸ τοῦ πατρὸς, καὶ ὑπήρχετό πως τοῦ σωφρονεῖν, καὶ τῶν μὲν ἑταιρῶν ἀπέςη, ἤρα δὲ ἔρωτα ἕτερον, τὸν τῆς πολιτείας τῶν Ἀθηναίων, καὶ θερμότατα ἐπεχείρει ταῖς ἀρχαῖς, καὶ ἑαυτὸν ἔσπευδεν εἶναι πρῶτον, ἔλεγέ, φασι, πρὸς τοὺς γνωρίμους, Τί δ' ἂν ἐμοῦ δοίητε, ὃς οὔπω φθονοῦμαι; Ὅστις δ' ἐρᾷ φθονεῖσθαι, τοῦτο δή που τὸ τοῦ Εὐριπίδου, Περιβλέπεσθαι σπεύδει. Ὅτι δὲ τοῦτ' ἔστι κενὸν, ὁ αὐτὸς Εὐριπίδης φησί.

## ΚΕΦ. ιγ'.

### Περὶ Σωκράτους κωμῳδουμένου ὑπὸ Ἀριστοφάνους.

Ἐπετίθεντο τῷ Σωκράτει, καὶ ἐπεβούλευον οἱ ἀμφὶ τὸν Ἄνυτον, ὧν χάριν, καὶ δι' ἃς αἰτίας, λέλεκται πάλαι. Ὑφορώμενοι δὲ τοὺς Ἀθηναίους, καὶ δεδιότες, ὅπως ποτὲ ἕξουσι πρὸς τὴν κατηγορίαν τοῦ ἀνδρὸς (πολὺ γὰρ ἦν τὸ τοῦ Σωκράτους ὄνομα, διά τε τὰ ἄλλα, καὶ ὅτι τοὺς Σοφιστὰς ἤλεγχεν, οὐδὲν ὑγιὲς ὄντας, οὐδέ τι σπουδαῖον, ἢ εἰδότας, ἢ λέγοντας)· ἐκ τούτων οὖν ἐβουλήθησαν πεῖραν καθεῖναι ὑπὲρ τῆς κατ'

αὐτοῦ διαϐολῆς. Τὸ μὲν γὰρ ἄντικρυς ἀπενέγκασθαι γραφὴν κατ' αὐτοῦ παραχρῆμα οὐκ ἐδοκίμαζον, δι' ἃ προεῖπον, καὶ δι' ἐκεῖνα δὲ, μή ποτε ἄρα ἀγριάναντες οἱ φίλοι οἱ τοῦ Σωκράτους ἐξάψωσι κατ' αὐτῶν τοὺς δικαστὰς, εἶτά τι πάθωσι κακὸν ἀνήκεστον, ἅτε συκοφαντοῦντες ἄνδρα, οὐ μόνον οὐδενὸς αἴτιον κακοῦ τῇ πόλει, ἐκ δὲ τῶν ἐναντίων, καὶ κόσμον ταῖς Ἀθήναις ὄντα. Τί οὖν ἐπινοοῦσιν; Ἀριστοφάνην τὸν τῆς κωμῳδίας ποιητὴν, βωμολόχον ἄνδρα καὶ γελοῖον ὄντα, καὶ εἶναι σπεύδοντα, ἀναπείθουσι κωμῳδῆσαι τὸν Σωκράτη, ταῦτα δή που τὰ περιφερόμενα, Ὡς ἦν ἀδολέσχης, λέγων τε αὖ καὶ τὸν ἥττω λόγον ἀπέφαινε κρείττονα, καὶ ἐσῆγε ξένους δαίμονας, καὶ οὐκ ᾔδει θεοὺς, οὐδ' ἐτίμα, τὰ δὲ αὐτὰ ταῦτα, καὶ τοὺς προσιόντας αὐτῷ ἐδίδασκέ τε, καὶ εἰδέναι ἀνέπειθεν. Ὁ δὲ Ἀριστοφάνης, λαϐόμενος ὑποθέσεως εὖ μάλα ἀνδρικῆς, ὑποσπείρας γέλωτα, καὶ τὸ ἐκ τῶν μέτρων αἱμύλον, καὶ τὸν ἄριστον τῶν Ἑλλήνων λαϐὼν ὑπόθεσιν· οὐ γὰρ οἱ κατὰ Κλέωνα ἦν τὸ δρᾶμα, οὐδὲ ἐκωμῴδει Λακεδαιμονίους, ἢ Θηϐαίους, ἢ Περικλέα αὐτόν· ἀλλ' ἄνδρα τοῖς τε ἄλλοις θεοῖς φίλον, καὶ δὴ καὶ μάλιστα τῷ Ἀπόλλωνι· ἅτε οὖν ἄηθες πρᾶγμα καὶ δρᾶμα παράδοξον ἐν σκηνῇ καὶ κωμῳδίᾳ Σωκράτης, πρῶτον μὲν ἐξέπληξεν ἡ κωμῳδία τῷ ἀδοκήτῳ τοὺς Ἀθηναίους. Εἶτα δὲ καὶ, φύσει φθονεροὺς ὄντας, καὶ τοῖς ἀρίστοις βασκαίνειν προῃρημένους, οὐ μόνον τοῖς ἐν τῇ πολιτείᾳ καὶ ταῖς ἀρχαῖς, ἀλλ' ἔτι καὶ πλέον τοῖς εὐδοκιμοῦσιν, ἢ ἐν λόγοις ἀγαθοῖς, ἢ ἐν βίου σεμνότητι, ἄκουσμα ἔδοξεν ἥδιστον αἵδε αἱ Νεφέλαι, καὶ ἐκρότουν τὸν ποιητὴν, ὡς οὔ ποτε ἄλλοτε, καὶ ἐϐόων νικᾶν, καὶ προσέταττον τοῖς κριταῖς ἄνωθεν Ἀριστοφάνην, ἀλλὰ μὴ ἄλλον, γράφειν. Καὶ τὰ μὲν τοῦ δράματος τοιαῦτα. Ὁ δὲ Σωκράτης σπάνιον μὲν ἐπεφοίτα τοῖς θεάτροις, εἴ ποτε δὲ Εὐριπίδης ὁ τῆς τραγῳδίας ποιητὴς ἠγωνίζετο καινοῖς τραγῳδοῖς, τότε γε ἀφικνεῖτο. Καὶ Πειραιεῖ δὲ ἀγωνιζομένου τοῦ Εὐριπίδου καὶ ἐκεῖ κατῄει· ἔχαιρε γὰρ τῷ ἀνδρὶ, δηλονότι διά τε τὴν σοφίαν αὐτοῦ, καὶ τὴν ἐν τοῖς μέτροις ἀρετήν. Ἤδη δέ ποτε αὐτὸν ἐρεσχελῶν Ἀλκιϐιάδης ὁ Κλεινίου, καὶ Κριτίας ὁ Καλ-

λαίσχρου, καὶ κωμῳδῶν ἀκοῦσαι παρελθόντα εἰς τὸ θέατρον ἐξεβιάσαντο. Ὁ δὲ αὐτοῖς οὐκ ἠρέσκετο, ἀλλὰ δεινῶς κατεφρόνει (ἅτε ἀνὴρ σώφρων, καὶ δίκαιος, καὶ ἀγαθὸς, καὶ ἐπὶ τούτοις σοφὸς) ἀνδρῶν κερτόμων, καὶ ὑβριστῶν, καὶ ὑγιὲς λεγόντων οὐδέν· ἅπερ ἐλύπει δεινῶς αὐτούς. Καὶ ταῦτα οὖν τῆς κωμῳδίας ἦν αὐτῷ τὰ σπέρματα, ἀλλ' οὐ μόνον, ἃ παρὰ τοῦ Ἀνύτου καὶ Μελίτου ὡμολόγηται. Εἰκὸς δὲ καὶ χρηματίσασθαι ὑπὲρ τούτων Ἀριστοφάνην. Καὶ γὰρ βουλομένων, μᾶλλον δὲ ἐκ παντὸς συκοφαντῆσαι τὸν Σωκράτη σπευδόντων ἐκείνων, καὶ αὐτὸν δὲ πένητα ἅμα καὶ κατάρατον ὄντα, τί παράδοξον ἦν, ἀργύριον λαβεῖν ἐπ' οὐδενὶ ὑγιεῖ; Καὶ ὑπὲρ μὲν τούτων αὐτὸς οἶδεν. Εὐδοκίμει δ' οὖν αὐτῷ τὸ δρᾶμα. Καὶ γάρ τοι καὶ τὸ τοῦ Κρατίνου τοῦτο συνέβη, εἴ ποτε ἄλλοτε, καὶ τότε, τῷ θεάτρῳ νοσῆσαι τὰς φρένας. Καὶ ἅτε ὄντων Διονυσίων, πάμπολύ τι χρῆμα τῶν Ἑλλήνων σπουδῇ τῆς θέας ἀφίκετο. Περιφερομένου τοίνυν ἐν τῇ σκηνῇ τοῦ Σωκράτους, καὶ ὀνομαζομένου πολλάκις, οὐκ ἂν δὲ θαυμάσαιμι, εἰ καὶ βλεπομένου ἐν τοῖς ὑποκριταῖς (δῆλα γὰρ δὴ ὅτι καὶ οἱ σκευοποιοὶ ἔπλασαν αὐτὸν ὡς ὅτι μάλιστα ἐξεικάσαντες), ἀλλ' οἵγε ξένοι (τὸν γὰρ κωμῳδούμενον ἠγνόουν) θροῦς παρ' αὐτῶν ἐπανίσταται, καὶ ἐζήτουν, ὅς τίς ποτε οὗτος ὁ Σωκράτης ἐστίν. Ὅπερ οὖν ἐκεῖνος αἰσθόμενος (καὶ γάρ τοι καὶ παρῆν οὐκ ἄλλως, οὐδὲ ἐκ τύχης, εἰδὼς δὲ, ὅτι κωμῳδοῦσιν αὐτόν· καὶ δὴ καὶ ἐν καλῷ τοῦ θεάτρου ἐκάθητο)· ἵνα οὖν λύσῃ τὴν τῶν ξένων ἀπορίαν, ἐξαναστὰς, παρ' ὅλον τὸ δρᾶμα, ἀγωνιζομένων τῶν ὑποκριτῶν, ἑστὼς ἐβλέπετο. Τοσοῦτον ἄρα περιῆν τῷ Σωκράτει τοῦ κωμῳδίας καὶ Ἀθηναίων καταφρονεῖν.

## ΚΕΦ. ιδ'.

Περὶ πλατάνου ὑπὸ τοῦ Ξέρξου ἐρωμένης.

Γελοῖος ἐκεῖνος ὁ Ξέρξης ἦν, εἴγε θαλάσσης μὲν καὶ γῆς κατεφρόνει τῆς Διὸς τέχνης, ἑαυτῷ δὲ εἰργάζετο καινὰς ὁδοὺς, καὶ πλοῦν ἀήθη, δεδούλωτο δὲ πλατάνῳ, καὶ ἐθαύμαζε τὸ δένδρον. Ἐν Λυδίᾳ γοῦν, φασιν, ἰδὼν φυτὸν εὐμέγεθες πλατάνου, καὶ τὴν ἡμέραν ἐκείνην κατέμεινεν, οὐδέν τι δεόμενος, καὶ ἐχρήσατο σταθμῷ τῇ ἐρημίᾳ τῇ περὶ τὴν πλάτανον. Ἀλλὰ καὶ ἐξῆψεν αὐτῆς κόσμον πολυτελῆ, στρεπτοῖς καὶ ψελλίοις τιμῶν τοὺς κλάδους, καὶ μελεδωνὸν αὐτῇ κατέλιπεν, ὥσπερ ἐρωμένῃ φύλακα, καὶ φρουρόν. Ἐκ δὲ τούτων τί τῷ δένδρῳ καλὸν ἀπήντησεν; Ὁ μὲν γὰρ κόσμος ὁ ἐπίκτητος, καὶ μηδὲν αὐτῷ προσήκων, ἄλλως ἐκρέματο, καὶ συνεμάχετο εἰς ὥραν οὐδέν. Ἐπεὶ τοῦ φυτοῦ κάλλος ἐκεῖνό ἐστιν· εὐγενεῖς οἱ κλάδοι, καὶ ἡ κόμη πολλὴ, καὶ στερεὸν τὸ πρέμνον, καὶ αἱ ῥίζαι ἐν βάθει, καὶ διασείοντες οἱ ἄνεμοι, καὶ ἀμφιλαφὴς ἡ ἐξ αὐτοῦ σκιὰ, καὶ ἀναστρέφουσαι αἱ ὧραι, καὶ ὕδωρ, τὸ μὲν διὰ τῶν ὀχετῶν ἐκτρέφον, τὸ δὲ ἐξ οὐρανοῦ ἐπάρδον· χλαμύδες δὲ αἱ Ξέρξου, καὶ χρυσὸς ὁ τοῦ βαρβάρου, καὶ τὰ ἄλλα δῶρα, οὔτε πρὸς τὴν πλάτανον, οὔτε πρὸς ἄλλο δένδρον εὐγενὲς ἦν.

## ΚΕΦ. ιέ.

Περὶ τῶν τοὺς τῶν Ἐφόρων θρόνους ἀσβόλῳ χρισαμένων.

Κλαζομενίων τινὲς εἰς τὴν Σπάρτην ἀφικόμενοι, καὶ ὕβρει καὶ ἀλαζονείᾳ χρώμενοι, τοὺς τῶν Ἐφόρων θρόνους, ἔνθα εἰώθασι καθήμενοι χρηματίζειν, καὶ τῶν πολιτικῶν ἕκαστα διατάττειν, ἀλλὰ τούτους γε τοὺς θρόνους ἀσβόλῳ κατέχρισαν. Μαθόντες δὲ οἱ Ἔφοροι, οὐκ ἠγανάκτησαν, ἀλλὰ τὸν δημόσιον κήρυκα καλέσαντες, προσέταξαν αὐτὸν δημοσίᾳ κηρύξαι τοῦτο δὴ τὸ θαυμαζόμενον, Ἐξέστω Κλαζομενίοις ἀσχημονεῖν.

## ΚΕΦ. ις'.

### Περὶ Φωκίωνος.

Φωκίωνος δὲ τοῦ Φώκου καὶ τοῦτο ἔγωγε ἔγνων καλόν· παρελθὼν γὰρ εἰς τοὺς Ἀθηναίους, ἐκκλησίας οὔσης, ἐπεί τι αὐτοῖς ἐμέμφετο ἀγνωμονοῦσι, πάνυ σφόδρα πεπαιδευμένως καὶ πληκτικῶς εἶπε, Βούλομαι μᾶλλόν τι ὑφ' ὑμῶν παθεῖν κακὸν αὐτὸς, ἢ αὐτός τι ὑμᾶς κακῶς δρᾶσαι.

## ΚΕΦ. ιζ'.

### Περὶ Μάγων τῶν ἐν Πέρσαις σοφίας, καὶ Ὤχου.

Ἡ τῶν ἐν Πέρσαις Μάγων σοφία, τά τε ἄλλα οἶδεν, ὁπόσα αὐτοῖς εἰδέναι θέμις, καὶ οὖν καὶ μαντεύεσθαι. Οἵπερ οὖν καὶ προεῖπον τὴν τοῦ Ὤχου περὶ τοὺς ὑπηκόους ἀγριότητα, καὶ τὸ φονικὸν αὐτοῦ, διά τινων ἀποῤῥήτων συμβόλων καταγνόντες τοῦτο. Ὅτε γὰρ Ἀρταξέρξου, τοῦ πατρὸς αὐτοῦ, τελευτήσαντος, εἰς τὴν βασιλείαν τῶν Περσῶν ὁ Ὦχος παρῆλθεν, οἱ Μάγοι προσέταξαν τῶν εὐνούχων τινὶ, τῶν πλησίον παρεστώτων, φυλάξαι τὸν Ὦχον, τῆς τραπέζης παρατεθείσης, τίνι πρῶτον τῶν παρακειμένων ἐπιχειρεῖ. Καὶ ὁ μὲν εἱστήκει τηρῶν τοῦτο· ὁ δὲ Ὦχος, τὰς χεῖρας ἐκτείνας, τῇ μὲν δεξιᾷ τῶν μαχαιρίων τῶν παρακειμένων ἓν ἔλαβε, τῇ δὲ ἑτέρᾳ τὸν μέγιστον τῶν ἄρτων προσειλκύσατο, καὶ ἐπιθεὶς ἐπ' αὐτὸν τῶν κρεῶν, εἶτα τέμνων, ἤσθιεν ἀφειδῶς. Ἅπερ ἀκούσαντες οἱ Μάγοι, δύο ταῦτα ἐμαντεύσαντο, εὐετηρίαν τὴν ἐξ ὡρῶν, καὶ εὐφορίαν τὴν παρὰ τὸν τῆς ἀρχῆς αὐτοῦ χρόνον, καὶ πολλοὺς φόνους· καὶ οὐ διεψεύσαντο.

## ΚΕΦ. ιη'.

### Περὶ δείπνων πολυτελῶν.

Τιμόθεος ὁ Κόνωνος, στρατηγὸς τῶν Ἀθηναίων, ἀποστάς ποτε τῶν δείπνων τῶν πολυτελῶν καὶ τῶν ἑστιάσεων τῶν στρατη-

γικῶν ἐκείνων, παραληφθεὶς ὑπὸ Πλάτωνος εἰς τὸ ἐν Ἀκαδημίᾳ συμπόσιον, καὶ ἑστιαθεὶς ἀφελῶς ἅμα, καὶ μουσικῶς, ἔφη πρὸς τοὺς οἰκείους ἐπανελθὼν, Ὅτι ἄρα οἱ παρὰ Πλάτωνι δειπνοῦντες καὶ τῇ ὑστεραίᾳ καλῶς διάγουσιν. Ἐκ δὴ τούτου διέβαλε Τιμόθεος τὰ πολυτελῆ δεῖπνα, καὶ φορτικὰ, ὡς πάντως εἰς τὴν ὑστεραίαν οὐκ εὐφραίνοντα. Λόγος δὲ, καὶ ἐκεῖνος ἀδελφὸς τῷ προειρημένῳ, καὶ ταυτὸν νοῶν, οὐ μὴν τὰ αὐτὰ λέγων, περίεισιν, ὅτι ἄρα τῇ ὑστεραίᾳ ὁ Τιμόθεος περιτυχὼν τῷ Πλάτωνι εἶπεν, Ὑμεῖς ὦ Πλάτων, εὖ δειπνεῖτε μᾶλλον εἰς τὴν ὑστεραίαν, ἢ εἰς τὴν παροῦσαν.

## ΚΕΦ. ιθ'.

### Περὶ Ἀλεξάνδρου θεὸν ἑαυτὸν καλεῖσθαι βουλομένου.

Ἀλέξανδρος, ὅτε ἐνίκησε Δαρεῖον, καὶ τὴν Περσῶν ἀρχὴν κατεκτήσατο, μέγα ἐφ' ἑαυτῷ φρονῶν, καὶ ὑπὸ τῆς εὐτυχίας, τῆς περιλαβούσης αὐτὸν τότε, ἐκθεούμενος, ἐπέστειλε τοῖς Ἕλλησι, Θεὸν αὐτὸν ψηφίσασθαι. Γελοίως γε· οὐ γὰρ ἅπερ οὖν ἐκ τῆς φύσεως οὐκ εἶχε, ταῦτα ἐκ τῶν ἀνθρώπων αἰτῶν ἐκεῖνος ἐκέρδαινεν. Ἄλλοι μὲν οὖν ἄλλα ἐψηφίσαντο· Λακεδαιμόνιοι δὲ ἐκεῖνα, Ἐπειδὴ Ἀλέξανδρος βούλεται θεὸς εἶναι, ἔστω θεός. Λακωνικῶς τε ἅμα, καὶ κατὰ τὸν ἐπιχώριον σφίσι τρόπον, ἐλέγξαντες τὴν ἔμπληξιν οἱ Λακεδαιμόνιοι τοῦ Ἀλεξάνδρου.

## ΚΕΦ. κ'.

### Περὶ Ἀντιγόνου βασιλέως πρᾳότητος.

Ἀντίγονόν φασι τὸν βασιλέα δημοτικὸν καὶ πρᾶον γενέσθαι. Καὶ ὅτῳ μὲν σχολὴ τὰ κατ' αὐτὸν εἰδέναι, καὶ αὐτὰ ἕκαστα ἐξετάζειν ὑπὲρ τοῦ ἀνδρὸς, εἴσεται ἑτέρωθεν. Εἰρήσεται δ' οὖν αὐτοῦ καὶ πάνυ πρᾶον, καὶ ἄτυφον, ὃ μέλλω λέγειν. Ὁ Ἀντίγονος οὗτος, ὁρῶν τὸν υἱὸν τοῖς ὑπηκόοις χρώμενον βιαιότερόν τε καὶ θρασύτερον, Οὐκ οἶσθα, εἶπεν, ὦ

παῖ, τὴν βασιλείαν ἡμῶν ἔνδοξον εἶναι δουλείαν; Καὶ τὰ μὲν τοῦ Ἀντιγόνου πρὸς τὸν παῖδα πάνυ ἡμέρως ἔχει καὶ φιλανθρώπως. Ὅτῳ δὲ οὐ δοκεῖ ταύτῃ, ἀλλ' ἐκεῖνός γε οὐ δοκεῖ μοι βασιλικὸν ἄνδρα τε εἰδέναι, οὐδὲ πολιτικὸν, τυραννικῷ δὲ συμβιῶσαι μᾶλλον.

## ΚΕΦ. κά.

### Περὶ Παυσανίου, Ἀγάθωνος τοῦ ποιητοῦ ἐρωμένου.

Ἀγάθωνος ἤρα τοῦ ποιητοῦ Παυσανίας ὁ ἐκ Κεραμέων. Καὶ τοῦτο μὲν διατεθρύλληται· ὃ δὲ μὴ εἰς πάντας πεφοίτηκεν, ἀλλ' ἐγὼ ἐρῶ. Εἰς Ἀρχελάου ποτὲ ἀφίκοντο, ὅ τε ἐραστὴς καὶ ὁ ἐρώμενος οὗτοι. Ἦν δὲ ἄρα ὁ Ἀρχέλαος ἐρωτικὸς οὐχ ἧττον, ἢ καὶ φιλόμουσος. Ἐπεὶ τοίνυν ἑώρα διαφερομένους πρὸς ἀλλήλους τόν τε Παυσανίαν καὶ τὸν Ἀγάθωνα πολλάκις, οἰόμενος τὸν ἐραστὴν ὑπὸ τῶν παιδικῶν παροράσθαι, ἤρετο ἄρα τὸν Ἀγάθωνα ὁ Ἀρχέλαος, τί βουλόμενος οὕτω πυκνὰ ἀπεχθάνεται τῷ πάντων μάλιστα φιλοῦντι αὐτόν; Ὁ δὲ, Ἐγώ σοι, ἔφη, φράσω, βασιλεῦ. Οὔτε γάρ εἰμι πρὸς αὐτὸν δύσερις, οὔτε ἀγροικίᾳ πράττω τοῦτο· εἰ δέ τι καὶ ἐγὼ ἠθῶν ἐπαΐω τῇ τε ἄλλῃ, καὶ ἐκ ποιητικῆς, ἥδιστον εὑρίσκω εἶναι τοῖς ἐρῶσι πρὸς τὰ παιδικὰ ἐκ διαφορᾶς καταλλάσεσθαι, καὶ πεπίστευκα, οὐδὲν αὐτοῖς οὕτως ἀπαντᾶν τερπνόν. Τούτου γοῦν τοῦ ἡδέος πολλάκις αὐτῷ μεταδίδωμι, ἐρίζων πρὸς αὐτὸν πλεονάκις. Εὐφραίνεται γὰρ καταλυομένου μου τὴν πρὸς αὐτὸν ἔριν συνεχῶς. Ὁμαλῶς δὲ καὶ συνήθως προσιόντος, οὐκ εἴσεται τὴν διαφορότητα. Ἐπῄνεσε ταῦτα ὁ Ἀρχέλαος, ὡς λόγος. Ἤρα δέ, φασι, τοῦ αὐτοῦ Ἀγάθωνος τούτου καὶ Εὐριπίδης ὁ ποιητὴς, καὶ τὸν Χρύσιππον τὸ δρᾶμα αὐτῷ χαριζόμενος λέγεται διαφροντίσαι. Καὶ εἰ μὲν σαφὲς τοῦτο, ἀποφήνασθαι οὐκ οἶδα, λεγόμενον δ' οὖν αὐτὸ οἶδα ἐν τοῖς μάλιστα.

## ΚΕΦ. κβ'.

Ὅτι εὐνομώτατοι Μαντινεῖς.

Εὐνομωτάτους γενέσθαι καὶ Μαντινέας ἀκούω οὐδὲν ἧττον Λοκρῶν, οὐδὲ Κρητῶν, οὐδὲ Λακεδαιμονίων αὐτῶν, οὐδ' Ἀθηναίων. Σεμνὸν γάρ τι χρῆμα καὶ τὸ Σόλωνος ἐγένετο, εἰ καὶ μετὰ ταῦτα Ἀθηναῖοι κατὰ μικρὸν τῶν νόμων τινὰς, τῶν ἐξ αὐτοῦ γραφέντων αὐτοῖς, διέφθειραν.

## ΚΕΦ. κγ'.

Ὅτι Νικόδωρος, πύκτης ὢν, καὶ νομοθέτης ἐγένετο.

Νικόδωρος δὲ ὁ πύκτης ἐν τοῖς εὐδοκιμωτάτοις Μαντινέων γενόμενος, ἀλλὰ ὀψὲ τῆς ἡλικίας, καὶ μετὰ τὴν ἄθλησιν, νομοθέτης αὐτοῖς ἐγένετο, μακρῷ τοῦτο ἄμεινον πολιτευσάμενος τῇ πατρίδι τῶν κηρυγμάτων τῶν ἐν τοῖς σταδίοις. Φασὶ δὲ αὐτῷ Διαγόραν τὸν Μήλιον συνθεῖναι τοὺς νόμους, ἐραστὴν γενόμενον. Εἶχόν τι καὶ περαιτέρω ὑπὲρ Νικοδώρου εἰπεῖν· ὡς δ' ἂν μὴ δοκοίην καὶ τὸν ἔπαινον τὸν τοῦ Διαγόρου προσπαραλαμβάνειν, εἰς τοσοῦτον δηνύσθω τὰ τοῦ λόγου. Θεοῖς γὰρ ἐχθρὸς Διαγόρας, καὶ οὔ μοι ἥδιον ἐπὶ πλεῖστον μεμνῆσθαι αὐτοῦ.

## ΚΕΦ. κδ'.

Ὅτι ὁ Μίλων τὸ σῶμα ἰσχυρὸς ἦν, τὴν δὲ ψυχὴν οὐκ ἀνδρεῖος.

Ἤδη τινὲς τὴν Μίλωνος τοῦ Κροτωνιάτου περιφερομένην ῥώμην ἐξέβαλον, τοιαῦτα ὑπὲρ αὐτοῦ λέγοντες· Μίλωνος τούτου τὴν ῥοιὰν, ἣν ἐν τῇ χειρὶ κατεῖχεν, οὐδεὶς τῶν ἀντιπάλων ἑλεῖν ἐδύνατο· ἡ δὲ ἐρωμένη αὐτοῦ, ῥᾷστα αὐτὴν ἐξῄρει, φιλονεικοῦσα πρὸς αὐτὸν πολλάκις. Ἐκ δὴ τούτου νοεῖν ἔσται, ὅτι ὁ Μίλων ἰσχυρὸς μὲν τὸ σῶμα ἦν, ἀνδρεῖος δὲ τὴν ψυχὴν οὐκ ἦν.

## ΚΕΦ. κέ.

Ὅτι ἡ ἕκτη τοῦ Θαργηλιῶνος δεξιὰ τοῖς Ἕλλησιν.

Τὴν ἕκτην τοῦ μηνὸς τοῦ Θαργηλιῶνος πολλῶν καὶ ἀγαθῶν αἰτίαν γενέσθαι λέγουσιν, οὐ μόνον τοῖς Ἀθηναίοις, ἀλλὰ καὶ ἄλλοις πολλοῖς. Αὐτίκα γοῦν Σωκράτης ἐν ταύτῃ ἐγένετο· καὶ Πέρσαι δὲ ἡττήθησαν τῇ ἡμέρᾳ ταύτῃ· καὶ Ἀθηναῖοι δὲ τῇ Ἀγροτέρᾳ ἀποθύουσι τὰς χιμαίρας τὰς τριακοσίας, κατὰ τὴν εὐχὴν τοῦ Μιλτιάδου δρῶντες τοῦτο. Τοῦ δ' αὐτοῦ μηνὸς ἕκτῃ ἱσταμένου, καὶ τὴν ἐν Πλαταιαῖς μάχην φασὶ γενέσθαι, καὶ νικῆσαι τοὺς Ἕλληνας· τὴν γὰρ προτέραν ἧτταν αὐτῶν ἧς ἐμνήσθην ἐπ' Ἀρτεμισίῳ γεγονέναι. Καὶ τὴν ἐν Μυκάλῃ δὲ τῶν Ἑλλήνων νίκην οὐκ ἄλλης ὡμολόγηται δῶρον ἡμέρας γενέσθαι, ἢ ταύτης, εἴγε κατὰ τὴν αὐτὴν ἐνίκων καὶ ἐν Πλαταιαῖς καὶ ἐν Μυκάλῃ. Καὶ Ἀλέξανδρον δὲ τὸν Μακεδόνα, τὸν Φιλίππου παῖδα, τὰς πολλὰς μυριάδας τὰς τῶν βαρβάρων φθεῖραι καὶ αὐτὸν λέγουσιν ἕκτῃ ἱσταμένου, ὅτε καὶ Δαρεῖον καθεῖλεν Ἀλέξανδρος. Καὶ ὁμολογοῦσι τοῦ αὐτοῦ μηνὸς πάντα. Καὶ αὐτὸν δὲ τὸν Ἀλέξανδον, καὶ γενέσθαι, καὶ ἀπελθεῖν τοῦ βίου, τῇ αὐτῇ ἡμέρᾳ, πεπίστευται.

## ΚΕΦ. κϛ'.

Περὶ Ὑπερβορείου Ἀπόλλωνος, καὶ περί τινων παρὰ Πυθαγόρου θαυμασίων.

Ἀριστοτέλης λέγει ὑπὸ τῶν Κροτωνιατῶν τὸν Πυθαγόραν Ἀπόλλωνα Ὑπερβόρειον προσαγορεύεσθαι. Κακεῖνα δὲ προεπιλέγει ὁ τοῦ Νικομάχου, ὅτι τῆς αὐτῆς ἡμέρας ποτὲ κατὰ τὴν αὐτὴν ὥραν, καὶ ἐν Μεταποντίῳ ὤφθη ὑπὸ πολλῶν, καὶ ἐν Κρότωνι τῷ ἀγῶνι ἐξανιστάμενος, ἔνθα καὶ τῶν μηρῶν ὁ Πυθαγόρας παρέφηνε τὸν ἕτερον χρυσοῦν. Λέγει δὲ ὁ αὐτὸς καὶ, ὅτι ὑπὸ τοῦ Κώσα ποταμοῦ διαβαίνων προσεῤῥήθη· καὶ πολλούς φησιν ἀκηκοέναι τὴν πρόσρησιν ταύτην.

## ΚΕΦ. κζ'.

Ὅτι Ἀννίκερις ἱππεὺς δεξιός· καὶ ὅτι, ὑπὲρ μικρῶν λίαν σπουδάζων, τὰ μεγάλα ὠλιγώρει.

Ἀννίκερις ὁ Κυρηναῖος ἐπὶ ἱππείᾳ μέγα ἐφρόνει, καὶ ἁρμάτων ἐλάσει. Καὶ οὖν ποτε καὶ ἐβουλήθη Πλάτωνι ἐπιδείξασθαι τὴν τέχνην. Ζεύξας οὖν τὸ ἅρμα, περιήλασεν ἐν Ἀκαδημίᾳ δρόμους παμπόλλους, οὕτως ἀκριβῶς φυλάττων τοῦ δρόμου τὸν στοῖχον, ὡς μὴ παρβαίνειν τὰς ἁρματοτροχίας, ἀλλ' ἀεὶ κατ' αὐτῶν ἰέναι. Οἱ μὲν οὖν ἄλλοι πάντες, ὥσπερ εἰκὸς, ἐξεπλάγησαν· ὁ δὲ Πλάτων, τὴν ὑπερβάλλουσαν αὐτοῦ σπουδὴν διέβαλεν, εἰπὼν, Ἀδύνατόν ἐστι, τὸν εἰς μικρὰ οὕτω, καὶ οὐδενὸς ἄξια, τοσαύτην φροντίδα κατατιθέμενον, ὑπὲρ μεγάλων τινῶν σπουδάσαι. Πᾶσαν γὰρ αὐτῷ τὴν διάνοιαν εἰς ἐκεῖνα ἀποτεθεῖσαν ἀνάγκη ὀλιγωρεῖν τῶν ὄντως θαυμάζεσθαι δικαίων.

## ΚΕΦ. κή.

Ἀλεκτρυόνων ἀγὼν πόθεν ἀρχὴν ἔλαβεν.

Μετὰ τὴν κατὰ τῶν περσῶν νίκην, Ἀθηναῖοι νόμον ἔθεντο ἀλεκτρυόνας ἀγωνίζεσθαι δημοσίᾳ ἐν τῷ θεάτρῳ μιᾶς ἡμέρας τοῦ ἔτους. Πόθεν δὲ τὴν ἀρχὴν ἔλαβεν ὅδε ὁ νόμος, ἐρῶ. Ὅτε Θεμιστοκλῆς ἐπὶ τοὺς βαρβάρους ἐξῆγε τὴν πολιτικὴν δύναμιν, ἀλεκτρυόνας ἐθεάσατο μαχομένους· οὐδὲ ἀργῶς αὐτοὺς εἶδεν· ἐπέστησε δὲ τὴν στρατιὰν, καὶ ἔφη πρὸς αὐτοὺς, Ἀλλ' οὗτοι μὲν, οὔτε ὑπὲρ πατρίδος, οὔτε ὑπὲρ πατρῴων θεῶν, οὐδὲ μὴν ὑπὲρ προγονικῶν ἡρίων κακοπαθοῦσιν, οὐδὲ ὑπὲρ δόξης, οὐδὲ ὑπὲρ ἐλευθερίας, οὐδὲ ὑπὲρ παίδων, ἀλλ' ὑπὲρ τοῦ μὴ ἡττηθῆναι ἑκάτερος, μηδὲ εἶξαι θατέρῳ τὸν ἕτερον. Ἅπερ οὖν εἰπὼν ἐπέῤῥωσε τοὺς Ἀθηναίους. Τὸ τοίνυν γενόμενον αὐτοῖς σύνθημα τότε εἰς ἀρετὴν ἐβουλήθη διαφυλάττειν καὶ εἰς τὰ ὅμοια ἔργα ὑπόμνησιν.

## ΚΕΦ. κθʹ.

### Τὴν τύχην πῶς ἐσήμανεν ὁ Πιττακός.

Πιττακὸς ἐν Μιτυλήνῃ κατεσκεύασε τοῖς ἱεροῖς κλίμακα, εἰς οὐδεμίαν μὲν χρῆσιν ἐπιτήδειον, αὐτὸ δὲ τοῦτο ἀνάθημα εἶναι· αἰνιττόμενος τὴν ἐκ τῆς τύχης ἄνω καὶ κάτω μετάπτωσιν, τρόπον τινὰ τῶν μὲν εὐτυχούντων ἀνιόντων, κατιόντων δὲ τῶν δυστυχούντων.

## ΚΕΦ. λʹ.

### Περὶ Πλάτωνος.

Πλάτων ὁ Ἀρίστωνος τὰ πρῶτα ἐπὶ ποιητικὴν ὥρμησε, καὶ ἡρωϊκὰ ἔγραφε μέτρα· εἶτα αὐτὰ κατέπρησεν ὑπεριδὼν αὐτῶν, ἐπεὶ τοῖς Ὁμήρου αὐτὰ ἀντικρίνων ἑώρα κατὰ πολὺ ἡττώμενα. Ἐπέθετο οὖν τραγῳδίᾳ, καὶ δὴ καὶ τετραλογίαν εἰργάσατο, καὶ ἔμελλεν ἀγωνιεῖσθαι, δοὺς ἤδη τοῖς ὑποκριταῖς τὰ ποιήματα. Πρὸ τῶν Διονυσίων δὲ παρελθὼν, ἤκουσε Σωκράτους, καὶ ἅπαξ αἱρεθεὶς ὑπὸ τῆς ἐκείνου σειρῆνος, τοῦ ἀγωνίσματος οὐ μόνον ἀπέστη τότε, ἀλλὰ καὶ τελέως τὸ γράφειν τραγῳδίαν ἀπέῤῥιψε, καὶ ἀπεδύσατο ἐπὶ φιλοσοφίαν.

## ΚΕΦ. λά.

### Ὅτι μηδεὶς τῶν βαρβάρων ἄθεος.

Καὶ τίς οὐκ ἂν ἐπήνεσε τὴν τῶν βαρβάρων σοφίαν; εἴ γε μηδεὶς αὐτῶν εἰς ἀθεότητα ἐξέπεσε, μηδὲ ἀμφιβάλλουσι περὶ θεῶν, ἆρά γέ εισιν, ἢ οὐκ εισιν, καὶ ἆρά γε ἡμῶν φροντίζουσιν, ἢ οὔ. Οὐδεὶς γοῦν ἔννοιαν ἔλαβε τοιαύτην, οἵαν Εὐήμερος ὁ Μεσσήνιος, ἢ Διογένης ὁ Φρὺξ, ἢ Ἵππων, ἢ Διαγόρας, ἢ Σωσίας, ἢ Ἐπίκουρος, οὔτε Ἰνδὸς, οὔτε Κελτὸς, οὔτε Αἰγύπτιος. Λέγουσι δὲ τῶν βαρβάρων οἱ προειρημένοι καὶ εἶναι θεοὺς, καὶ προνοεῖν ἡμῶν, καὶ προσημαίνειν τὰ μέλλοντα, καὶ διὰ ὀρνίθων, καὶ διὰ συμβόλων, καὶ διὰ σπλάγχνων, καὶ

δὶ

δι' ἄλλων τινῶν μαθημάτων τε, καὶ διδαγμάτων· ἅπερ οὖν ἐςι τοῖς ἀνθρώποις διδασκαλία ἐκ τῆς παρὰ τῶν θεῶν εἰς αὐτοὺς προνοίας. Καὶ δι' ὀνείρων δὲ λέγουσι, καὶ δι' αὐτῶν τῶν ἀστέρων πολλὰ προδηλοῦσθαι. Καὶ ὑπὲρ τούτων ἰσχυρὰν ἔχοντες τὴν πίστιν, θύουσί τε καθαρῶς, καὶ ἁγνεύουσιν ὁσίως, καὶ τελετὰς τελοῦσι, καὶ ὀργίων φυλάττουσι νόμον, καὶ τὰ ἄλλα πράττουσιν, ἐξ ὧν, ὅτι τοὺς θεοὺς ἰσχυρῶς καὶ σέβουσι, καὶ τιμῶσιν, ὡμολόγηται.

## ΚΕΦ. λϐ'.

### Περὶ Ἡρακλέους μετωνυμίας, καὶ χρησμοῦ Φοίβου ὑπὲρ αὐτοῦ.

Λέγουσί τινες λόγοι Πυθικοὶ τὸν Ἡρακλῆν, τὸν Διὸς καὶ Ἀλκμήνης παῖδα, ἀπὸ γενεᾶς Ἡρακλῆν οὐ κεκλῆσθαι, χρόνῳ δὲ ὕστερον ἐλθόντα εἰς Δελφοὺς, διά τινα αἰτίαν δεόμενον χρησμοῦ, μήτε, ὧν ἧκε χάριν, ἀμοιρῆσαι, προσακοῦσαι δὲ ἐκείνοις καὶ ἰδίᾳ παρὰ τοῦ θεοῦ ταῦτα·

Ἡρακλῆν δέ σε Φοῖβος ἐπώνυμον ἐξονομάζει·
Ἥρα γὰρ ἀνθρώποισι φέρων κλέος ἄφθιτον ἕξεις.

## ΚΕΦ. λγ'.

### Περὶ ἀγαλμάτων ποταμῶν.

Τὴν τῶν ποταμῶν ῥύσιν, καὶ τὰ ῥεῖθρα αὐτῶν ὁρῶμεν· ὅμως δὲ οἱ τιμῶντες αὐτοὺς, καὶ τὰ ἀγάλματα αὐτῶν ἐργαζόμενοι, οἱ μὲν ἀνθρωπομόρφους αὐτοὺς ἱδρύσαντο, οἱ δὲ βοῶν εἶδος αὐτοῖς περιέθηκαν. Βουσὶ μὲν οὖν εἰκάζουσιν, οἱ Στυμφάλιοι μὲν τὸν Ἐρασῖνον, καὶ τὴν Μετώπην· Λακεδαιμόνιοι δὲ τὸν Εὐρώταν· Σικυώνιοι δὲ καὶ Φλιάσιοι τὸν Ἀσωπόν· Ἀργεῖοι δὲ, τὸν Κηφισσόν. Ἐν εἴδει δὲ ἀνδρῶν Ψωφίδιοι τὸν Ἐρύμανθον, τὸν δὲ Ἀλφειὸν Ἡραιεῖς· Χεῤῥονήσιοι δὲ οἱ ἀπὸ Κνίδου, καὶ αὐτοὶ τὸν αὐτὸν ποταμὸν ὁμοίως. Ἀθηναῖοι δὲ τὸν Κηφισσὸν ἄνδρα μὲν δεικνύουσιν ἐν προτομῇ, κέρατα

δὲ ὑποφαίνοντα. Καὶ ἐν Σικελίᾳ δὲ Συρακούσιοι μὲν τὸν Ἄναπον ἀνδρὶ εἴκασαν, τὴν δὲ Κυανῆν πηγὴν γυναικὸς εἰκόνι ἐτίμησαν· Αἰγεσταῖοι δὲ τὸν Πόρπακα, καὶ τὸν Κριμισσὸν, καὶ τὸν Τελμισσὸν ἀνδρῶν εἴδει τιμῶσιν· Ἀκραγαντῖνοι δὲ τὸν ἐπώνυμον τῆς πόλεως ποταμὸν παιδὶ ὡραίῳ εἰκάσαντες, θύουσιν. Οἱ δὲ αὐτοὶ καὶ ἐν Δελφοῖς ἀνέθεσαν, ἐλέφαντος διαγλύψαντες ἄγαλμα, καὶ ἐπέγραψαν τὸ τοῦ ποταμοῦ ὄνομα· καὶ παιδός ἐστι τὸ ἄγαλμα.

## ΚΕΦ. λδ'.

### Περὶ γήρως.

Ἐπίχαρμόν, φασι, πάνυ σφόδρα πρεσβύτην ὄντα, μετά τινων ἡλικιωτῶν ἐν λέσχῃ καθήμενον, ἐπεὶ ἕκαστος τῶν παρόντων ἔλεγεν, ὁ μέν τις, Ἐμοὶ πέντε ἔτη ἀπόχρη βιῶναι· ἄλλος δὲ, Ἐμοὶ τρία, τρίτου δὲ εἰπόντος, Ἐμοίγε τέσσαρα, ὑπολαβὼν ὁ Ἐπίχαρμος, Ὦ βέλτιστοι, εἶπε, τί στασιάζετε καὶ διαφέρεσθε ὑπὲρ ὀλίγων ἡμερῶν; πάντες γὰρ οἱ συνελθόντες κατά τινα δαίμονα, ἐπὶ δυσμαῖς ἐσμέν· ὥστε ὥρα πᾶσιν ἡμῖν τὴν ταχίστην ἀνάγεσθαι, πρὸ τοῦ τινος καὶ ἀπολαῦσαι κακοῦ πρεσβυτικοῦ.

## ΚΕΦ. λέ.

### Ὅτι ὁ ὕπνος θανάτου ἀδελφὸς, καὶ περὶ Γοργίου τελευτῆς.

Γοργίας ὁ Λεοντῖνος ἐπὶ τέρματι ὢν τοῦ βίου, καὶ γεγηρακὼς εὖ μάλα, ὑπό τινος ἀσθενείας καταληφθεὶς, κατ' ὀλίγον εἰς ὕπνον ὑπολισθαίνων ἔκειτο. Ἐπεὶ δέ τις αὐτὸν παρῆλθε τῶν ἐπιτηδείων ἐπισκοπούμενος, καὶ ἤρετο, τί πράττοι; ὁ Γοργίας ἔφη, Ἤδη με ὁ ὕπνος ἄρχεται παρακατατίθεσθαι τῷ ἀδελφῷ.

## ΚΕΦ. λς'.

### Περὶ Σωκράτους γηρῶντος, καὶ νοσοῦντος.

Σωκράτης δὲ, καὶ αὐτὸς βαθύτατα γηρῶν, εἶτα νόσῳ περι-

πεσὼν, ἐπεί τις αὐτὸν ἠρώτησε, πῶς ἔχει; Καλῶς, εἶπε πρὸς ἀμφότερα· ἐὰν μὲν γὰρ ζῶ, ζηλωτὰς ἕξω πλείονας· ἐὰν, δὲ ἀποθάνω, ἐπαινέτας πλείονας.

## ΚΕΦ. λζ'.

Περὶ νόμου τοῦ τοὺς νοσοῦντας οἶνον πίνειν κωλύοντος.

Ζαλεύκου τοῦ Λοκροῦ, πολλοὶ μέν εἰσι καὶ ἄλλοι νόμοι κάλλιστα, καὶ εἰς δέον κείμενοι, καὶ οὗτος δὲ οὐχ ἥκιστα. Εἴ τις Λοκρῶν τῶν Ἐπιζεφυρίων νοσῶν ἔπιεν οἶνον ἄκρατον, μὴ προστάξαντος τοῦ θεραπεύοντος, εἰ καὶ περιεσώθη, θάνατος ἡ ζημία ἦν αὐτῷ, ὅτι μὴ προσταχθὲν αὐτῷ ὅδε ἔπιεν.

## ΚΕΦ. λη'.

Ῥωμαίων καὶ ἄλλων τινῶν νόμος, οἶνον μήτε παντὶ, μήτε ἡλικίᾳ πάσῃ παραχωρῶν.

Νόμος καὶ οὗτος Μασσαλιωτικὸς, γυναῖκας μὴ ὁμιλεῖν οἴνῳ, ἀλλ' ὑδροποτεῖν πᾶσαν γυναικῶν ἡλικίαν. Λέγει δὲ Θεόφραστος καὶ παρὰ Μιλησίοις τὸν νόμον τοῦτον ἰσχύειν, καὶ πείθεσθαι αὐτῷ τὰς Ἰάδας, τὰς Μιλησίων γυναῖκας. Τί δὲ οὐκ ἂν εἴποιμι καὶ τὸν Ῥωμαίων νόμον; καὶ πῶς οὐκ ὀφλήσω δικαίως ἀλογίαν; εἰ τὰ μὲν Λοκρῶν, ἢ Μασσαλιωτῶν, καὶ τὰ Μιλησίων διὰ μνήμης ἐθέμην, τὰ δὲ τῆς ἐμαυτοῦ πατρίδος ἀλόγως ἐάσω. Οὐκοῦν καὶ Ῥωμαίοις ἦν ἐν τοῖς μάλιστα νόμος ὅδε ἐῤῥωμένος. Οὔτε ἐλευθέρα γυνὴ ἔπιεν ἂν οἶνον, οὔτε οἰκέτις, οὐδὲ μὴν τῶν εὖ γεγονότων οἱ ἐφ' ἥβης μέχρι πέντε καὶ τριάκοντα ἐτῶν.

## ΚΕΦ. λθ'.

Κρητῶν νόμος περὶ μαθημάτων.

Κρῆτες δὲ τοὺς παῖδας τοὺς ἐλευθέρους μανθάνειν τοὺς νόμους ἐκέλευον μετά τινος μελῳδίας, ἵνα ἐκ τῆς μουσικῆς ψυχαγωγῶνται, καὶ εὐκολώτερον αὐτοὺς τῇ μνήμῃ διαλαμβάνωσι· καὶ ἵνα μή, τι τῶν κεκωλυμένων πράξαντες, ἀγνοίᾳ

πεποιηκέναι ἀπολογίαν ἔχωσι. Δεύτερον δὲ μάθημα ἔταξαν, τοὺς τῶν θεῶν ὕμνους μανθάνειν. Τρίτον, τὰ τῶν ἀγαθῶν ἀνδρῶν ἐγκώμια.

## ΚΕΦ. μ'.

### Ζῶα ἀλλοτρίως πρὸς οἶνον ἔχοντα, καὶ ἄλλως μεθύοντα.

Πᾶν μὲν, ὅσον ἄλογόν ἐστιν, ἀλλοτρίως πρὸς οἶνον πέφυκε, μάλιστα δὲ τῶν ζώων ἐκεῖνα, ὅσα σταφυλῆς, ἢ γιγάρτων ὑπερπλησθέντα μεθύει. Καὶ οἱ κόρακες δὲ, τὴν καλουμένην Οἰνοῦτταν βοτάνην ὅταν φάγωσι, καὶ οἱ κύνες δὲ, καὶ αὐτοὶ βακχεύονται. Πίθηκος δὲ, καὶ ἐλέφας, ἐὰν οἴνου πίωσιν, ὁ μὲν τῆς ἀλκῆς ἐπιλανθάνεται, ὁ ἐλέφας, ὁ δὲ τῆς πανουργίας· καί εἰσιν αἱρεθῆναι πάνυ ἀσθενεῖς.

## ΚΕΦ. μά.

### Φιλοπόται τινὲς, καὶ πολυπόται.

Φιλοπόται δὲ λέγονται γενέσθαι Διονύσιος ὁ Σικελίας τύραννος, καὶ Νυσαῖος, καὶ οὗτος τύραννος, καὶ Ἀπολλοκράτης ὁ Διονυσίου τοῦ τυράννου υἱὸς, καὶ Ἱππαρῖνος Διονυσίου καὶ οὗτος, καὶ Τιμόλαος ὁ Θηβαῖος, καὶ Χαρίδημος ὁ Ὠρείτης, καὶ Ἀρκαδίων, καὶ Ἐρασίξενος, καὶ Ἀλκέτας ὁ Μακεδὼν, καὶ Διότιμος ὁ Ἀθηναῖος. Οὗτός τοι καὶ χώνη ἐπεκαλεῖτο· ἐντιθέμενος γὰρ τῷ στόματι χώνην ἀδιαλείπτως ἐχώρει τὸν εἰσχεόμενον οἶνον. Κλεομένης ὁ Λακεδαιμόνιος, οὐ μόνον φασὶν, ὅτι πολυπότης ἦν, ἀλλὰ γὰρ προστιθέασιν αὐτῷ καὶ τοῦτο δήπου τὸ Σκυθικὸν κακὸν, ὅτι ἀκρατοπότης ἐγένετο. Καὶ Ἴωνα δὲ τὸν Χῖον τὸν ποιητὴν, καὶ αὐτόν φασι περὶ τὸν οἶνον ἀκρατῶς ἔχειν. Καὶ Ἀλέξανδρος δὲ ὁ Μακεδὼν ἐπὶ Καλάνῳ τῷ Βραχμᾶνι, τῷ Ἰνδῶν σοφιστῇ, ὅτε ἑαυτὸν ἐκεῖνος κατέπρησεν, ἀγῶνα μουσικῆς, καὶ ἱππικῶν, καὶ ἀθλητῶν διέθηκε. Χαριζόμενος δὲ τοῖς Ἰνδοῖς, καί τι ἐπιχώριον αὐτῶν ἀγώνισμα, εἰς τιμὴν τοῦ Καλάνου συγκατηρίθμησε τοῖς ἄθλοις τοῖς προειρημέ-

νοις. Οἰνοποσίας γοῦν ἀγωνίαν προὔθηκε, καὶ ἦν τῷ μὲν τὰ πρῶτα φερομένῳ, τάλαντον· τὸ γέρας· τῷ δὲ δευτέρῳ, τριάκοντα μναῖ· τῷ γε μὴν τρίτῳ, δέκα. Ὁ δὲ τὰ νικητήρια ἀναδησάμενος ἐν αὐτοῖς ἦν Πρόμαχος. Καὶ ἐν Διονύσου δὲ τῇ τῶν Χοῶν ἑορτῇ προὔκειτο ἆθλον τῷ πιόντι πλέον, στέφανος χρυσοῦς. Καὶ ἐνίκησε Ξενοκράτης ὁ Χαλκηδόνιος, καὶ τὸν στέφανον λαβὼν, ὅτε ἐπανῄει μετὰ τὸ δεῖπνον, τῷ Ἑρμῇ τῷ πρὸ τῶν θυρῶν ἑστῶτι ἐπέθηκεν αὐτὸν, κατὰ τὸ ἔθος τῶν ἔμπροσθεν ἡμερῶν· καὶ γὰρ καὶ τοὺς ἀνθίνους, καὶ τοὺς ἐκ τῆς μυῤῥίνης, καὶ τὸν ἐκ τοῦ κιττοῦ, καὶ τὸν ἐκ τῆς δάφνης, ἐνταῦθα ἀνέπαυε, καὶ ἀπέλειπε. Καὶ Ἀνάχαρσις δὲ πάμπολύ, φασιν, ἔπιε παρὰ Περιάνδρῳ, τοῦτο μὲν καὶ οἴκοθεν ἑαυτῷ ἐπαγόμενος τὸ ἐφόδιον· Σκυθῶν γὰρ ἴδιον τὸ πίνειν ἄκρατον. Καὶ Λακύδης δὲ, καὶ Τίμων, οἱ φιλόσοφοι, καὶ τούτους πιεῖν πάμπολύ φασι. Καὶ Μυκερῖνος δὲ ὁ Αἰγύπτιος, ὅτε αὐτῷ τὸ ἐκ Βούτης μαντεῖον ἀφίκετο, προλέγον τὴν τοῦ βίου στενοχωρίαν, εἶτα ἐβουλήθη σοφίσασθαι τὸ λόγιον ἐκεῖνος, διπλασιάζων τὸν χρόνον, καὶ ταῖς ἡμέραις προστιθεὶς τὰς νύκτας, διετέλει καὶ αὐτὸς ἀγρυπνῶν, καὶ πίνων ἅμα. Τίθει μετὰ τούτων καὶ Ἄμασιν τὸν Αἰγύπτιον, ἐπεί τοι καὶ Ἡρόδοτος ἱκανὸς τεκμηριῶσαι. Καὶ Νικοτέλην δὲ τὸν Κορίνθιον οὐ χρὴ ἀπὸ τούτων τάττειν, καὶ Σκόπαν τὸν Κρέοντος υἱόν. Καὶ Ἀντίοχον τὸν βασιλέα φασὶν οἰνεραστὴν γενέσθαι· διὰ ταῦτά τοι καὶ τὴν βασιλείαν αὐτῷ διῴκουν Ἀρισταῖός τε, καὶ Θεμίσων, οἱ Κύπριοι, αὐτὸς δὲ διὰ τὴν πολυποσίαν ἐπεγέγραπτο τῇ ἀρχῇ ἄλλως. Καὶ ὁ Ἐπιφανὴς δὲ κληθεὶς Ἀντίοχος ὁ Ῥωμαίοις δοθεὶς ὅμηρος, καὶ οὗτος ἀκρατῶς ἐδίψα οἴνου πίνειν. Καὶ ὁ ὁμώνυμος δὲ τούτου Ἀντίοχος, ὁ Μήδοις πρὸς Ἀρσάκην πολεμήσας, καὶ οὗτος ἦν τοῦ πίνειν δοῦλος. Καὶ ὁ Μέγας δὲ καλούμενος Ἀντίοχος, καὶ οὗτος σὺν τούτοις τετάχθω. Καὶ Ἄγρωνα δὲ τὸν Ἰλλυριῶν βασιλέα ἀπέκτεινεν ἡ πρὸς τὸν οἶνον ἄδικος ὁρμὴ, καὶ αὐτῷ πλευρῖτιν ἐνειργάσατο. Καὶ ἕτερος Ἰλλυριῶν βασιλεὺς Γέντιος πίνειν καὶ οὗτος εἴθιστο ἀκρατῶς. Τόν γε μὴν Καππαδόκην βασιλέα Ὀῤῥοφέρνην,

τί τοῦτον δράσομεν, καὶ ἐκεῖνον πίνειν γενόμενον δεινόν; Εἰ δὲ χρὴ καὶ γυναικῶν μνημονεῦσαι, ἄτοπον μὲν γυνὴ φιλοπότις, καὶ πολυπότις ἔτι μᾶλλον, εἰρήσθω δὲ οὖν καὶ περὶ τούτων. Κλειώ, φασιν, εἰς ἅμιλλαν ἰοῦσα, οὐ γυναιξὶ μόναις, ἀλλὰ καὶ τοῖς ἀνδράσι τοῖς συμπόταις, δεινοτάτη πιεῖν ἦν, καὶ ἐκράτει πάντων, αἴσχιστόν γε τοῦτο φερομένη τὸ νικητήριον, ὥς γε ἐμοὶ κριτῇ.

## ΚΕΦ. μβ'.

### Περὶ Πλάτωνος δόξης, καὶ περὶ ἰσονομίας.

Ἡ Πλάτωνος δόξα, καὶ ὁ τῆς κατ' αὐτὸν ἀρετῆς λόγος, καὶ εἰς Ἀρκάδας ἀφίκετο, καὶ Θηβαίους. Καὶ οὖν ἐδεήθησαν αὐτοῦ, πρέσβεις ἀποστείλαντες, σὺν τῇ ἀνωτάτῃ σπουδῇ, ἀφικέσθαι σφίσι τὸν ἄνδρα, οὐκ ἐπὶ μόνῃ τῇ τῶν νέων προστασίᾳ, οὐδ' ἵνα αὐτοῖς συγγένηται ἐπὶ τοῖς λόγοις τοῖς κατὰ φιλοσοφίαν, ἀλλὰ γὰρ καὶ, τὸ ἔτι τούτων μεῖζον, νομοθέτην αὐτὸν ἐκάλουν. Οὔκουν ἔμελλον ἀτυχήσειν τοῦ ἀνδρός· καὶ γὰρ ἥσθη ὁ τοῦ Ἀρίστωνος τῇ κλήσει, καὶ δὴ καὶ ἔμελλεν ὑπακούσεσθαι. Ἤρετο μέν τοι τοὺς ἥκοντας, Πῶς ἔχουσι πρὸς τὸ ἴσον ἔχειν ἅπαντες; Ἐπεὶ δὲ ἔμαθε παρ' αὐτῶν, ὅτι καὶ πάνυ ἀλλοτρίως, οὐδὲ πείσειν αὐτοὺς τιμᾷν τὴν ἰσονομίαν, ἀπείπατο τὴν πρὸς αὐτοὺς ἐπιδημίαν.

## ΚΕΦ. μγ'.

### Τινὲς τῶν Ἑλλήνων ἄριστοι, πενέστατοι.

Πενέστατοι ἐγένοντο οἱ ἄριστοι τῶν Ἑλλήνων, Ἀριστείδης ὁ Λυσιμάχου, καὶ Φωκίων ὁ Φώκου, καὶ Ἐπαμινώνδας ὁ Πολύμνιδος, καὶ Πελοπίδας ὁ Θηβαῖος, καὶ Λάμαχος ὁ Ἀθηναῖος, καὶ Σωκράτης ὁ Σωφρονίσκου, καὶ Ἐφιάλτης δὲ ὁ Σοφωνίδου, καὶ ἐκεῖνος.

## ΚΕΦ. μδ':

### Εἰκόνος τοῦ Θέωνος ζωγράφου ἔκφρασις.

Θέωνος τοῦ ζωγράφου πολλὰ μὲν καὶ ἄλλα ὁμολογεῖ τὴν χειρουργίαν ἀγαθὴν οὖσαν, ἀτὰρ οὖν καὶ τόδε τὸ γράμμα. Ὁπλίτης ἐστὶν ἐκβοηθῶν, ἄφνω τῶν πολεμίων εἰσβαλλόντων καὶ δῃούντων ἅμα, καὶ κειρόντων τὴν γῆν. Ἐναργῶς δὲ καὶ πάνυ ἐκθύμως ὁ νεανίας ἔοικεν ὁρμῶντι εἰς τὴν μάχην. Καὶ εἶπες ἂν αὐτὸν ἐνθουσιᾶν, ὥσπερ ἐξ Ἄρεως μανέντα. Γοργὸν μὲν αὐτῷ βλέπουσιν οἱ ὀφθαλμοί· τὰ δὲ ὅπλα ἁρπάσας, ἔοικεν, ᾗ ποδῶν ἔχει, ἐπὶ τοὺς πολεμίους ἄττειν. Προβάλλεται δὲ ἐντεῦθεν ἤδη τὴν ἀσπίδα, καὶ γυμνὸν ἐπισείει τὸ ξίφος, φονῶντι ἐοικὼς, καὶ σφάττειν βλέπων, καὶ ἀπειλῶν δι' ὅλου τοῦ σχήματος, ὅτι μηδενὸς φείσεται. Καὶ πλέον οὐδὲν περιείργασται τῷ Θέωνι, οὐ λοχίτης, οὐ ταξίαρχος, οὐ λόχος, οὐχ ἱππεὺς, οὐ τοξότης· ἀλλ' ἀπέχρησέν οἱ καὶ ὁ εἷς ὁπλίτης οὗτος πληρῶσαι τὴν τῆς εἰκόνος ἀπαίτησιν. Οὐ πρότερόν γε μὴν ὁ τεχνίτης ἐξεκάλυψε τὴν γραφὴν, οὐδὲ ἔδειξε τοῖς ἐπὶ θέαν συνειλεγμένοις, πρὶν ἢ σαλπιγκτὴν παρεστήσατο, καὶ προσέταξεν αὐτῷ τὸ παρορμητικὸν ἐμπνεῦσαι μέλος, διάτορόν τε καὶ γεγωνὸς ὅτι μάλιστα, καὶ οἷον εἰς τὴν μάχην ἐγερτήριον. Ἅμα τε οὖν τὸ μέλος ἠκούετο τραχὺ, καὶ φοβερὸν, καὶ οἷον εἰς ὁπλιτῶν ἔξοδον ταχέως ἐκβοηθούντων μελῳδούσῃ σάλπιγγι, καὶ ἐδείκνυτο ἡ γραφὴ, καὶ ὁ στρατιώτης ἐβλέπετο, τοῦ μέλους ἐναργεστέραν τὴν φαντασίαν τοῦ ἐκβοηθοῦντος ἔτι καὶ μᾶλλον παραστήσαντος.

# ΑΙΛΙΑΝΟΥ

## ΠΟΙΚΙΛΗΣ ΙΣΤΟΡΙΑΣ.

### ΒΙΒΛΙΟΝ ΤΡΙΤΟΝ.

#### ΚΕΦ. α΄.

Περιήγησις τῶν Θετταλικῶν Τεμπῶν.

ΦΕΡΕ οὖν καὶ τὰ καλούμενα Τέμπη τὰ Θετταλικὰ διαγράψωμεν τῷ λόγῳ καὶ διαπλάσωμεν. Ὡμολόγηται γὰρ καὶ ὁ λόγος, ἐὰν ἔχῃ δύναμιν φραστικὴν, μηδὲν ἀσθενέστερον, ὅσα βούλεται, δεικνύναι τῶν ἀνδρῶν τῶν κατὰ χειρουργίαν δεινῶν. Ἔστι δὴ χῶρος μεταξὺ κείμενος τοῦ τε Ὀλύμπου, καὶ τῆς Ὄσσης. Ὄρη δὲ ταῦτ᾽ ἐστιν ὑπερύψηλα, καὶ οἷον ὑπό τινος θείας φροντίδος διεσχισμένα, καὶ μέσον δέχεται χωρίον, οὗ τὸ μὲν μῆκος ἐπὶ τεσσαράκοντα διήκει σταδίους, τό γε μὴν πλάτος, τῇ μέν ἐστι πλέθρου, τῇ δὲ καὶ πλεῖον ὀλίγῳ. Διαῤῥεῖ δὲ μέσου αὐτοῦ ὁ καλούμενος Πηνειός· εἰς τοῦτον δὲ καὶ οἱ λοιποὶ ποταμοὶ συῤῥέουσι, καὶ ἀνακοινοῦνται τὸ ὕδωρ αὐτῷ, καὶ ἐργάζονται τὸν Πηνειὸν ἐκεῖνοι μέγαν. Διατριβὰς δ᾽ ἔχει ποικίλας, καὶ παντοδαπὰς ὁ τόπος οὗτος, οὐκ ἀνθρωπίνης χειρὸς ἔργα, ἀλλὰ φύσεως αὐτόματα, εἰς κάλλος τότε φιλοτιμησαμένης, ὅτε ἐλάμβανε γένεσιν ὁ χῶρος. Κιττὸς μὲν γὰρ πολὺς, καὶ εὖ μάλα λάσιος ἐνακμάζει, καὶ τέθηλε, καὶ δίκην τῶν εὐγενῶν ἀμπέλων κατὰ τῶν ὑψηλῶν δένδρων ἀνέρπει, καὶ συμπέφυκεν αὐτοῖς· πολλὴ δὲ σμίλαξ, ἡ μὲν πρὸς αὐτὸν τὸν πάγον ἀνατρέχει καὶ ἐπισκιάζει τὴν πέτραν, καὶ ἐκείνη μὲν ὑπολανθάνει, ὁρᾶται δὲ τὸ χλοάζον πᾶν, καὶ ἔστιν ὀφθαλμῶν πανήγυρις. Ἐν αὐτοῖς δὲ τοῖς λείοις καὶ καθειμένοις ἄλση τέ ἐστι ποικίλα, καὶ ὑποδρομαὶ συνεχεῖς, ἐν ὥρᾳ θέρους

καταφυγεῖν ὁδοιπόροις ἥδιστα καταγώγια, ἃ καὶ δίδωσιν ἀσμένως ψυχᾶσθαι. Διαῤῥέουσι δὲ κρῆναι συχναὶ, καὶ ἐπιῤῥεῖ νάματα ὑδάτων ψυχρῶν, καὶ πιεῖν ἡδίστων. Λέγεται δὲ τὰ ὕδατα ταῦτα καὶ τοῖς λουσαμένοις ἀγαθὸν εἶναι, καὶ εἰς ὑγίειαν αὐτοῖς συμβάλλεσθαι. Κατᾴδουσι δὲ καὶ ὄρνιθες ἄλλος ἄλλῃ διεσπαρμένοι, καὶ μάλιστα οἱ μουσικοὶ, καὶ ἑστιῶσιν εὖ μάλα τὰς ἀκοὰς, καὶ παραπέμπουσιν ἀπόνως, καὶ σὺν ἡδονῇ, διὰ τοῦ μέλους τὸν κάματον τῶν παριόντων ἀφανίσαντες. Παῤ ἑκάτερα δὲ τοῦ ποταμοῦ αἱ διατριβαὶ εἰσιν αἱ προειρημέναι καὶ αἱ ἀνάπαυλαι. Διὰ μέσων δὲ τῶν Τεμπῶν ὁ Πηνειὸς ποταμὸς ἔρχεται, σχολῇ καὶ πρᾴως προϊὼν ἐλαίου δίκην. Πολλὴ δὲ κατ' αὐτοῦ ἡ σκιὰ ἐκ τῶν παραπεφυκότων δένδρων, καὶ τῶν ἐξηρτημένων κλάδων τίκτεται, ὡς ἐπὶ πλεῖστον τῆς ἡμέρας αὐτὴν προήκουσαν ἀποστέγειν τὴν ἀκτῖνα, καὶ παρέχειν τοῖς πλέουσι πλεῖν κατὰ ψύχος. Πᾶς δὲ ὁ περίοικος λεὼς συνίασιν, ἄλλοι σὺν ἄλλοις, καὶ θύουσι, καὶ συνουσίας ποιοῦνται, καὶ συμπίνουσιν. Ἅτε οὖν πολλῶν ὄντων τῶν θυόντων, καὶ τῶν καθαγιζόντων συνεχῶς, εἰκότως καὶ τοῖς βαδίζουσι, καὶ τοῖς πλέουσιν ὀσμαὶ συμπαρομαρτοῦσιν ἥδισται. Οὕτως ἄρα ἡ τιμὴ ἡ διαρκὴς ἡ περὶ τὸ κρεῖττον ἐκθεοῖ τὸν τόπον. Ἐνταῦθά τοί φασι παῖδες Θετταλῶν καὶ τὸν Ἀπόλλωνα τὸν Πύθιον καθήρασθαι, κατὰ πρόσταγμα τοῦ Διὸς, ὅτε τὸν Πύθωνα τὸν Δράκοντα κατετόξευσεν, ἔτι φυλάττοντα τοὺς Δελφοὺς, τῆς Γῆς ἐχούσης τὸ μαντεῖον. Στεφανωσάμενον οὖν ἐκ ταύτης τῆς δάφνης τῆς Τεμπικῆς, καὶ λαβόντα κλάδον εἰς τὴν δεξιὰν χεῖρα ἐκ τῆς αὐτῆς δάφνης, ἐλθεῖν εἰς Δελφοὺς, καὶ παραλαβεῖν τὸ μαντεῖον τὸν Διὸς καὶ Λητοῦς παῖδα. Ἔστι δὲ καὶ βωμὸς ἐν αὐτῷ τῷ τόπῳ, ἐν ᾧ καὶ ἐστεφανώσατο, καὶ τὸν κλάδον ἀφεῖλε. Καὶ ἔτι καὶ νῦν ἔτους ἐννάτου οἱ Δελφοὶ παῖδας εὐγενεῖς πέμπουσι, καὶ ἀρχιθέωρον ἕνα σφῶν αὐτῶν. Οἱ δὲ παραγενόμενοι καὶ μεγαλοπρεπῶς θύσαντες ἐν τοῖς Τέμπεσιν, ἀπίασι πάλιν, στεφάνους ἀπὸ τῆς αὐτῆς δάφνης διαπλέξαντες, ἀφ' ἧσπερ οὖν καὶ τότε ὁ θεὸς ἐστεφανώσατο. Καὶ τὴν ὁδὸν ἐκείνην ἔρχονται, ἣ καλεῖται μὲν Πυθιὰς, φέρει δὲ διὰ Θετ-

ταλίας, καὶ Πελασγίας, καὶ τῆς Οἴτης, καὶ Αἰνιάνων χώρας, καὶ τῆς Μηλιαίων, καὶ Δωριέων, καὶ Λοκρῶν τῶν Ἑσπερίων. Οὗτοι δὲ καὶ παραπέμπουσιν αὐτοὺς σὺν αἰδοῖ καὶ τιμῇ, οὐδὲν ἧττον, ἤπερ οὖν ἐκεῖνοι, οἱ τοὺς ἐξ Ὑπερβορέων τὰ ἱερὰ κομίζοντας τῷ αὐτῷ θεῷ τούτῳ τιμῶσι. Καὶ μὴν καὶ τοῖς Πυθίοις ἐκ ταύτης τῆς δάφνης τοῖς νικῶσι τοὺς στεφάνους διδόασιν. Ὑπὲρ μὲν οὖν τῶν ἐν Θετταλίᾳ Τεμπῶν, καὶ ἐμοὶ νῦν τοσαῦτα εἰρήσθω.

## ΚΕΦ. β'.

### Περὶ Ἀναξαγόρου ἀνδρείως τὸν τῶν τέκνων θάνατον ἐνεγκόντος.

Ἀναξαγόρᾳ τις τῷ Κλαζομενίῳ, σπουδάζοντι πρὸς τοὺς ἑταίρους, προσελθὼν ἔφη τεθνηκέναι οἱ τοὺς δύο παῖδας, οὕσπερ οὖν καὶ εἶχε μόνους ὁ Ἀναξαγόρας. Ὁ δὲ, μηδὲν διαταραχθεὶς, εἶπεν, Ἤδειν θνητοὺς γεγεννηκώς.

## ΚΕΦ. γ'.

### Περὶ Ξενοφῶντος τὸν τοῦ υἱοῦ θάνατον ἀνδρείως ἐνεγκόντος.

Ξενοφῶντι θύοντι ἧκέ τις ἐκ Μαντινείας ἄγγελος, λέγων τὸν υἱὸν αὐτῷ τὸν Γρύλλον τεθνᾶναι. Κἀκεῖνος ἀπέθετο μὲν τὸν στέφανον, διετέλει δὲ θύων. Ἐπεὶ δὲ ὁ ἄγγελος προσέθηκε καὶ ἐκεῖνο, ὅτι νικῶν τέθνηκε, πάλιν ὁ Ξενοφῶν ἐπέθετο τὸν στέφανον. Ταῦτα μὲν οὖν δημώδη, καὶ ἐς πολλοὺς ἐκπεφοίτηκεν.

## ΚΕΦ. δ'.

### Ὅτι ὁ Δίων ὑπὲρ τοῦ υἱοῦ θανάτου οὐκ ἐταράχθη.

Δίων δὲ ὁ Ἱππαρίνου μὲν παῖς, Πλάτωνος δὲ ὁμιλητὴς, ἔτυχε μὲν χρηματίζων ὑπέρ τινων δημοσίων καὶ κοινῶν

πραγμάτων, ὁ δὲ παῖς αὐτοῦ ἐκ τοῦ τέγους κατενεχθεὶς εἰς τὴν αὐλὴν, τὸν βίον κατέστρεψεν. Οὐδὲν οὖν ἐπὶ τούτοις μετεβάλετο ὁ Δίων, ἀλλ' ὅπερ οὖν ἐξ ἀρχῆς ἔπραττε τοῦτο καὶ δρῶν διετέλεσεν.

### ΚΕΦ. έ.

Ἀντίγονος τὸν υἱὸν νεκρὸν ἰδὼν οὐδὲν συνεταράχθη.

Ἀντίγονόν γέ μήν φασι τὸν δεύτερον, ἐπεί τινες τὸν υἱὸν αὐτῷ ἐκ τῆς παρατάξεως ἐκόμισαν νεκρὸν, εἶδε μὲν αὐτὸν, οὐδὲν δὲ τρέψας τοῦ χρωτὸς, οὐδὲ μὴν ἐπιδακρύσας, ἐπαινέσας δὲ ὡς ἀγαθὸν στρατιώτην, θάπτειν προσέταξεν.

### ΚΕΦ. ς'.

Περὶ μεγαλοφροσύνης Κράτητος.

Κράτης ὁ Θηβαῖος, τά τε ἄλλα μεγαλόφρων ὢν πεφώραται, καὶ καταφρονητικὸς τῶν ὑπὸ τοῦ πλήθους θαυμαζομένων, ἀτὰρ οὖν καὶ χρημάτων, καὶ πατρίδος. Ὅτι μὲν οὖν τῆς οὐσίας ἀπέστη τοῖς Θηβαίοις, τοῦτο μὲν καὶ εἰς πάντας ἐξεφοίτησε· τὸ δὲ ἕτερον αὐτοῦ οὐ πᾶσι γνώριμον. Ἔστι δὲ ἐκεῖνο· ἀπαλλαττόμενος τῶν Θηβῶν οἰκισθεισῶν πάλιν, ἔφη, Οὐ δέομαι πόλεως, ἣν Ἀλέξανδρος κατασκάψει ἄλλος.

### ΚΕΦ. ζ'.

Περὶ τῆς τῶν πολλῶν κακοφημίας.

Δημοχάρης, ὁ τοῦ Δημοσθένους ἀδελφιδοῦς, ἐπιδεῖξαι βουλόμενος, ὅτι τῆς ἐκ τῶν πολλῶν κακοφημίας ὑπερφρονεῖ, θεασάμενός τινας καθεζομένους ἐν ἰατρείῳ ψογεροὺς, καὶ κακῶς ἀγορεύειν ἐκ παντὸς τρόπου διψῶντας, Τί φατε ὑμεῖς (εἶπε) Δυσμενίδαι; τὸ ἦθος αὐτῶν ἅμα ἐκκαλύψας διὰ τούτου τοῦ ὀνόματος.

## ΚΕΦ. η'.

Ὅτι ὁ Φρύνιχος διά τι ποίημα στρατηγὸς ᾑρέθη.

Φρύνιχον Ἀθηναῖοι στρατηγὸν εἵλοντο, οὔτε κατὰ σπουδὰς, οὔτε κατὰ τὴν τοῦ γένους ἀξίαν, οὐδὲ μὴν, ὅτι ἦν πλούσιος. Πολλάκις γὰρ καὶ ἐκ τούτων ἐθαυμάζοντο ἐν ταῖς Ἀθήναις, καὶ τῶν ἄλλων προῃροῦντο. Ἀλλ' ἐπεὶ τοῖς πυῤῥιχισταῖς ἔν τινι τραγῳδίᾳ ἐπιτήδεια μέλη καὶ πολεμικὰ ἐξεπόνησεν, οὕτως ἄρα κατεκτήσατο τὸ θέατρον, καὶ ἐκράτησε τῶν παρόντων, ὥστε παραχρῆμα αὐτὸν εἵλοντο στρατηγεῖν, πιστεύσαντες, ὅτι τῶν πολεμικῶν ἔργων ἡγήσεται καλῶς, καὶ εἰς δέον, ὅπου μὴ ἀπᾴδοντα τοῖς ἐνοπλίοις ἀνδράσιν εἰργάσατο τὰ ἐν τῷ δράματι μέλη τε καὶ ποιήματα.

## ΚΕΦ. θ'.

Περὶ ἔρωτος.

Ἐρῶντι ἀνδρί τις οὐκ ἐρῶν, ὅπλοις, ἐπειγούσης τῆς μάχης, καὶ συνάγοντος τοῦ πολέμου, οὐκ ἂν συμμίξειεν. Ὁ γὰρ ἀνέραστος φεύγει καὶ ἀποδιδράσκει τὸν ἐρωτικὸν, ἅτε βέϐηλος καὶ ἀτέλεστος τῷ θεῷ, καὶ τοσοῦτον ἀνδρεῖος, ὅσον αὐτῷ καὶ ἡ ψυχὴ χωρεῖ, καὶ τὸ σῶμα ῥώμης ἔχει. Δέδοικε δὲ τὸν ἕτερον, ἅτε ἐκ θεοῦ κατόχως ἐνθουσιῶντα, καὶ οὐ, μὰ Δία, τοῦτο τὸ κοινὸν, ἐξ Ἄρεως, ἀλλ' ἐξ Ἔρωτος μανέντα. Οἱ μὲν γὰρ ἐκ τοῦ ἑτέρου τῶν θεῶν κατειλημμένοι, ὧν ἕνα φησὶν Ὅμηρος ὅμοια τῷ Ἄρει μαίνεσθαι, ἀλλ' ἐκεῖνοι μὲν ἐξ ἑνὸς περιειλημμένοι δαίμονος, εὖ καὶ καλῶς ἀγωνίζονται τοσοῦτον, ὅσον ἐνθουσιᾷν αὐτοὺς ἅπαξ. Οἱ δὲ Ἔρωτος βάκχοι, πολεμοῦντες, καὶ ὑπὸ τῆς Ἄρεως ὁρμῆς, καὶ ὑπὸ τῆς Ἔρωτος ἐκκαύσεως, διπλῆν τὴν λατρείαν ὑπομένοντες, εἰκότως, κατὰ τὴν Κρητῶν ἔννοιαν, καὶ κατορθοῦσι διπλᾶ. Οὔκουν τῷ ἐξ Ἄρεως καὶ Ἔρωτος φονῶντι, αἰτιάσαιτο ἄν τις, εἰ μὴ ὑπομένοι ὁπλίτης ἀνταγωνίσασθαι, ὑφ' ἑνὶ τεταγμένος θεῷ, ἀλλ' οὐχ ὑπὸ τοῖς δύο.

## ΚΕΦ. ί.

Περὶ τῶν ἐν Λακεδαίμονι ἐραστῶν καὶ ἐρωμένων.

Περὶ τῶν ἐν Λακεδαίμονι Ἐφόρων πολλὰ μὲν εἰπεῖν καὶ ἄλλα καλὰ ἔχω, ἃ δ' οὖν προήρημαι, νῦν ἐρῶ ταῦτα. Ὅτι τις τῶν παρ' αὐτοῖς καλῶν, πλούσιον ἐραστὴν προείλετο τοῦ χρηστοῦ πένητος, ἐπέϐαλον αὐτῷ χρήματα, κολάζοντες, ὡς ἔοικε, τὴν φιλοχρηματίαν τῇ τῶν χρημάτων ζημίᾳ. Ἄλλον δέ τινα ἄνδρα καλὸν κἀγαθὸν, οὐδενὸς ἐρῶντα τῶν καλῶς πεφυκότων, καὶ τοῦτον ἐζημίωσαν, ὅτι χρηστὸς ὢν οὐδενὸς ἤρα· δῆλον γὰρ, ὡς ὅμοιον ἂν ἑαυτῷ κἀκεῖνον ἀπέφηνεν, ἴσως δ' ἂν καὶ ἄλλον. Δεινὴ γὰρ ἡ τῶν ἐραστῶν πρὸς τὰ παιδικὰ εὔνοια, ἀρετὰς ἐνεργάσασθαι, ὅταν αὐτοὶ σεμνοὶ ὦσιν. Ἐπεί τοι Λακωνικὸς καὶ οὗτος νόμος, ὅταν ἁμάρτῃ μειράκιον, τῇ μὲν ἀφελείᾳ τοῦ τρόπου, καὶ τῷ νεαρῷ τῆς ἡλικίας συγγινώσκουσι· τὸν δὲ ἐραστὴν ὑπὲρ αὐτοῦ κολάζουσιν, ἐπιγνώμονας αὐτοὺς, καὶ ἐξεταστὰς, ὧν ἐκεῖνοι πράττουσι, κελεύοντες εἶναι.

## ΚΕΦ. ιά.

Περὶ Ψυχῆς.

Οἱ Περιπατητικοί φασι μεθ' ἡμέραν θητεύουσαν τὴν ψυχὴν τῷ σώματι περιπλέκεσθαι, καὶ μὴ δύνασθαι καθαρῶς τὴν ἀλήθειαν θεωρεῖν· νύκτωρ δὲ διαλυθεῖσαν τῆς περὶ τοῦτο λειτουργείας, καὶ σφαιρωθεῖσαν ἐν τῷ περὶ τὸν θώρακα τόπῳ, μαντικωτέραν γίνεσθαι, ἐξ ὧν τὰ ἐνύπνια.

## ΚΕΦ. ιϐ'.

Περὶ ἔρωτος παρὰ Λακεδαιμονίοις.

Οὐκ εἰσὶ θρυπτικοὶ πρὸς τοὺς ἐραστὰς οἱ Λακεδαιμονίων καλοὶ, οὐδὲ ἀλαζόνες· ἐπεὶ τοὐναντίον ἢ παρὰ τοῖς ἄλλοις ὡραίοις τὰ ἐκ τούτων καταμαθεῖν ἐστιν. Αὐτοὶ γοῦν δέονται τῶν ἐραστῶν εἰσπνεῖν αὐτοῖς· Λακεδαιμονίων δὲ

ἐστιν αὕτη ἡ φωνὴ, ἐρᾷν δεῖν λέγουσα. Σπαρτιάτης δὲ ἔρως αἰσχρὸν οὐκ οἶδεν. Εἴτε γὰρ μειράκιον ἐτόλμησεν ὕβριν ὑπομεῖναι, εἴτε ἐραστὴς ὑβρίσαι, ἀλλ' οὐδετέροις ἐλυσιτέλησε τῇ Σπάρτῃ καταμεῖναι· ἢ γὰρ τῆς πατρίδος ἀπηλλάγησαν, ἢ, καὶ τὸ ἔτι θερμότερον, καὶ τοῦ βίου αὐτοῦ.

## ΚΕΦ. ιγ'.

### Περὶ Ταπύρων οἰνοφλυγίας.

Ὅτι φιλοινότατον ἔθνος τὸ τῶν Ταπύρων, τοσοῦτον, ὥστε ζῆν αὐτοὺς ἐν οἴνῳ, καὶ τὸ πλεῖστον τοῦ βίου ἐν τῇ πρὸς αὐτὸν ὁμιλίᾳ καταναλίσκειν. Καὶ οὐ μόνον εἰς πόμα καταχρῶνται αὐτῷ, ἀλλὰ καὶ χρίσμα ἐστὶν αὐτοῖς ὁ οἶνος, ὥσπερ ἄλλοις τὸ ἔλαιον.

## ΚΕΦ. ιδ'.

### Περὶ οἰνοφλυγίας Βυζαντίων.

Βυζαντίους δὲ, δεινῶς οἰνόφλυγας ὄντας, ἐνοικεῖν τοῖς καπηλείοις λόγος ἔχει, τῶν οἰκιῶν τῶν ἰδίων καὶ τῶν δωμάτων ἐξοικισθέντας, καὶ τοῖς ξένοις τοῖς ἐνεπιδημοῦσι τῇ πόλει ἐπιμισθώσαντας αὐτὰ, καὶ οὐ μόνον ἐκείνων, ἀλλὰ καὶ τῶν γυναικῶν αὐτοῖς ἀποστάντας, ὡς ἐν ταὐτῷ τοὺς Βυζαντίους διπλῆν αἰτίαν φέρεσθαι, καὶ οἰνοφλυγίας, καὶ προαγωγείας. Ἅτε δὲ ὑπὸ τῆς μέθης καὶ τοῦ οἴνου διαρρέοντες, αὐλοῦ μὲν ἀκούοντες χαίρουσι, καὶ τὸ ἔργον αὐτοῖς αὐλεῖσθαί ἐστι· σάλπιγγα δὲ οὐδὲ ἀρχὴν ὑπομένουσι. Καὶ ἐκ τούτων ἔξεστι νοεῖν, ὅτι καὶ πρὸς ὅπλα, καὶ πρὸς πολέμους ἀλλοτριώτατα διάκεινται Βυζάντιοι. Διὰ ταῦτά τοι καὶ Λεωνίδης ὁ στρατηγὸς αὐτῶν ἐν πολιορκίᾳ ἰσχυρᾷ, ἐπεὶ, τῶν πολεμίων τοῖς τείχεσι προσβαλόντων, ἐκεῖνοί γε τὰς φρουρὰς ἐκλιπόντες διημέρευον ἐν ταῖς συνήθεσι διατριβαῖς, προσέταξε τὰ καπηλεῖα ἐπὶ τῶν τειχῶν διασκηνωθῆναι αὐτοῖς. Καὶ τοῦτο τὸ σόφισμα ἀνέπεισεν αὐτοὺς ὀψὲ καὶ βραδέως τὴν τάξιν μὴ καταλιπεῖν, ἅτε τῆς προφάσεως αὐτοῖς

περιῃρημένης. Λέγει δὲ ταῦτα ὑπὲρ αὐτῶν Δάμων. Ὁμολογεῖν δὲ τούτοις ἔοικε καὶ ὁ Μένανδρος, ὅταν λέγῃ,

. . . . Μεθύσους τοὺς ἐμπόρους
Ποιεῖ τὸ Βυζάντιον· ὅλην ἐπίνομεν
Τὴν νύκτα . . . . . . . . .

## ΚΕΦ. ιέ.

### Περὶ Ἀργείων, Τιρυνθίων, Θρᾳκῶν, Ἰλλυριῶν, οἰνοφλυγίας

Καὶ Ἀργεῖοι δὲ καὶ Τιρύνθιοι κεκωμῴδηνται καὶ οὗτοι ἀκρατέστερον τῷ οἴνῳ προσιόντες. Τό γε μὴν ὑπὲρ τῶν Θρᾳκῶν, ἀλλὰ τοῦτο μὲν διαβεβόηται ἤδη, καὶ διατεθρύλληται, ὡς εἰσὶ πιεῖν δεινότατοι. Οὐ διαπεφεύγασι δὲ ταύτην τὴν αἰτίαν οὐδὲ Ἰλλυριοί· ἀλλ' ἐκεῖνοί γε προσειλήφασι κἀκεῖνο τὸ ἐπίκλημα, ὅτι ἐφεῖται τοῖς ἐν τῷ συνδείπνῳ παροῦσι ξένοις προπίνειν ταῖς γυναιξὶν, ἕκαστον ᾗ ἂν βούληται, κἂν μηδὲν προσήκῃ ἡ γυνὴ αὐτῷ.

## ΚΕΦ. ις'.

### Σύγκρισις Δημητρίου καὶ Τιμοθέου στρατηγῶν.

Εἶτα τίς ἀμείνων ἦν στρατηγεῖν, Δημήτριος ὁ πολιορκητὴς, ἢ Τιμόθεος ὁ Ἀθηναῖος; Ἐγὼ μὲν ἐρῶ τὸν τῶν ἀμφοτέρων τρόπον· ἔνεστι δ' ὑμῖν προτιμῆσαι τὸν ἕτερον. Δημήτριος μὲν βίᾳ, καὶ πλεονεξίᾳ, καὶ λυπῶν τὰ μέγιστα, καὶ ἀδικῶν ᾕρει τὰς πόλεις, μηχανὰς προσάγων, καὶ κατασείων, καὶ ὑπορύττων τὰ τείχη· Τιμόθεος δὲ, πείθων, καὶ διδάσκων λόγῳ, ὅτι λυσιτελέστερόν ἐστι τῶν Ἀθηναίων ἀκούειν.

## ΚΕΦ. ιζ'.

### Ὅτι ἡ φιλοσοφία οὐκ ἀπολίτευτος, καὶ τίνες τῶν φιλοσόφων ἐπολιτεύσαντο.

Ἐπολιτεύσαντο οὖν καὶ φιλόσοφοι, ἢ αὐτὸ τοῦτο μόνον, τὴν διάνοιαν ἀγαθοὶ γενόμενοι, ἐφ' ἡσυχίας κατεβίωσαν;

Ἐπηνώρθωσαν γὰρ τὰ κοινὰ, Ζάλευκος μὲν τὰ ἐν Λοκροῖς, Χαρώνδας δὲ τὰ ἐν Κατάνῃ, καὶ τὰ ἐν Ῥηγίῳ, ὅτε ἐκ Κατάνης ἔφευγε. Ταραντίνοις δὲ ἐγένετο ἀγαθὸν Ἀρχύτας, Σόλων δὲ Ἀθηναίοις, Βίας δὲ καὶ Θαλῆς τὴν Ἰωνίαν πολλὰ ὤνησαν, Χίλων δὲ Λακεδαιμονίους, Μιτυληναίους γε μὴν Πιττακὸς, Κλεόβουλος δὲ Ῥοδίους. Καὶ Ἀναξίμανδρος δὲ ἡγήσατο τῆς εἰς Ἀπολλωνίαν ἐκ Μιλήτου ἀποικίας. Ἀλλὰ καὶ Ξενοφῶν στρατιώτης ἀγαθὸς ἦν, καὶ ἀμείνων στρατηγὸς, ὅτε Κύρῳ συνανέβη· καὶ Κῦρος μὲν καὶ οἱ σὺν αὐτῷ ἀπέθανον, καλούσης δὲ τῆς χρείας τὸν δυνησόμενον σῶσαι τοὺς Ἕλληνας, καὶ ἀγαγεῖν τὴν ὀπίσω εἰς τὰ οἰκεῖα, οὗτος ἐκεῖνος ἦν. Πλάτων δὲ ὁ Ἀρίστωνος Δίωνα κατήγαγεν εἰς Σικελίαν, καὶ δι᾽ ὧν αὐτῷ συνεβούλευε, καὶ ἐδίδασκε, διὰ τούτων τυραννίδα τὴν Διονυσίου κατέλυσε. Σωκράτης δὲ τῇ μὲν Ἀθηναίων πολιτείᾳ οὐκ ἠρέσκετο· τυραννικὴν γὰρ, καὶ μοναρχικὴν ἑώρα τὴν δημοκρατίαν οὖσαν· καὶ διὰ ταῦτα οὔτε ἐπεψήφισεν Ἀθηναίοις τὸν τῶν δέκα στρατηγῶν θάνατον, ἀλλ᾽ οὐδὲ τοῖς Τριάκοντα ἐκοινώνει τῶν ἀσεβημάτων. Ἔνθα δὲ ἐχρῆν ὑπὲρ τῆς πατρίδος ἀγωνίζεσθαι, ἀλλ᾽ ἐνταῦθά γε ἀπροφάσιστος ἐκεῖνος στρατιώτης ἦν. Ἐστρατεύσατο οὖν ἐπὶ Δήλιον, καὶ εἰς Ἀμφίπολιν, καὶ εἰς Ποτίδαιαν. Ἀριστοτέλης δὲ τὴν ἑαυτοῦ πατρίδα, οὐ τὸ λεγόμενον δὴ τοῦτο, εἰς γόνυ πεσοῦσαν, ἀλλ᾽ ἐπὶ στόμα, ἀνέστησεν αὖθις. Δημήτριος δὲ ὁ Φαληρεὺς, καὶ Ἀθήνησιν ἐπιφανέστατα ἐπολιτεύσατο, ἔστ᾽ ἂν αὐτὸν ὁ συνήθης Ἀθηναίοις φθόνος ἐξέωσε· καὶ ἐν Αἰγύπτῳ δὲ, συνὼν τῷ Πτολεμαίῳ, νομοθεσίας ἦρξε. Τίς δὲ ἀντιφήσει, καὶ Περικλέα τὸν Ξανθίππου, φιλόσοφον γενέσθαι, καὶ Ἐπαμινώνδαν τὸν Πολύμνιδος, καὶ Φωκίωνα τὸν Φώκου, καὶ Ἀριστείδην τὸν Λυσιμάχου, καὶ Ἐφιάλτην τὸν Σοφωνίδου; Καὶ ἔτι κάτω τοῦ χρόνου Καρνεάδην, καὶ Κριτόλαον; εἴγε καὶ εἰς τὴν Ῥώμην ἀφίκοντο καὶ ἐκεῖνοι ὑπὲρ τῶν Ἀθηναίων πρεσβεύοντες, καὶ αὐτοῖς σωτηρίαν εὕραντο. Οἵπερ οὖν εἰς τοσοῦτον ἐνέτρεψαν τὴν σύγκλητον βουλὴν, ὡς εἰπεῖν αὐτοὺς, Ἔπεμψαν Ἀθηναῖοι πρεσβεύοντας οὐ τοὺς πείσοντας, ἀλλὰ

γὰρ τοὺς βιασομένους ἡμᾶς δρᾶσαι, ὅσα θέλουσιν. Ἐγὼ δὲ πολιτείαν φαίην ἂν καὶ τὸ Περσαίου, εἴγε Ἀντίγονον ἐπαίδευσε. Καὶ τὸ Ἀριστοτέλους, ἐπεὶ καὶ αὐτὸς σὺν Ἀλεξάνδρῳ τῷ Φιλίππου, νέῳ ὄντι, φιλοσοφῶν ἦν δῆλος. Καὶ Λύσις δὲ ὁ γνώριμος ὁ Πυθαγόρου, καὶ αὐτὸς Ἐπαμινώνδαν ἐξεπαίδευσεν. Εἴ τις οὖν ἀπράκτους λέγει τοὺς φιλοσόφους, ἀλλὰ εὐήθη γε αὐτοῦ καὶ ἀνόητα ταῦτα. Ἐγὼ μὲν γὰρ τὴν σὺν αὐτοῖς ἀπραγμοσύνην, καὶ τὸν τῆς ἡσυχίας ἔρωτα κἂν ἁρπάσαιμι ἐπιδραμών.

## ΚΕΦ. ιή

### Περὶ συνουσίας Μίδου τοῦ Φρυγὸς, καὶ Σειληνοῦ, καὶ τῶν ὑπὸ τούτου παραδόξως λεχθέντων.

Περιηγεῖταί τινα Θεόπομπος συνουσίαν Μίδου τοῦ Φρυγὸς, καὶ Σειληνοῦ. Νύμφης δὲ παῖς ὁ Σειληνὸς οὗτος, θεοῦ μὲν ἀφανέστερος τὴν φύσιν, ἀνθρώπου δὲ κρείττων καὶ θανάτου ἦν. Πολλὰ μὲν οὖν καὶ ἄλλα ἀλλήλοις διελέχθησαν, καὶ ὑπὲρ τούτων ὁ Σειληνὸς ἔλεγε πρὸς τὸν Μίδαν· τὴν μὲν Εὐρώπην, καὶ τὴν Ἀσίαν, καὶ τὴν Λιβύην νήσους εἶναι, ἃς περιῤῥεῖν κύκλῳ τὸν Ὠκεανὸν, ἤπειρον δὲ μόνην εἶναι ἐκείνην τὴν ἔξω τούτου τοῦ κόσμου. Καὶ τὸ μὲν μέγεθος αὐτῆς ἄπειρον διηγεῖτο. Τρέφειν δὲ τὰ ἄλλα ζῶα μεγάλα, καὶ τοὺς ἀνθρώπους δὲ τῶν ἐνταῦθα διπλασίονας τὸ μέγεθος, καὶ χρόνον ζῆν αὐτοὺς, οὐχ ὅσον ἡμεῖς, ἀλλὰ καὶ ἐκεῖνον διπλοῦν. Καὶ πολλὰς μὲν εἶναι καὶ μεγάλας πόλεις, καὶ βίων ἰδιότητας, καὶ νόμους αὐτοῖς τετάχθαι ἐναντίως κειμένους τοῖς παρ' ἡμῖν νομιζομένοις. Δύο δὲ εἶναι πόλεις ἔλεγε μεγέθει μεγίστας, οὐδὲν δὲ ἀλλήλαις ἐοικέναι· καὶ τὴν μὲν ὀνομάζεσθαι Μάχιμον, τὴν δὲ, Εὐσεβῆ. Τοὺς μὲν οὖν Εὐσεβεῖς ἐν εἰρήνῃ τε διάγειν καὶ πλούτῳ βαθεῖ, καὶ λαμβάνειν τοὺς καρποὺς ἐκ τῆς γῆς χωρὶς ἀρότρων καὶ βοῶν· γεωρ-

γεῖν δὲ καὶ σπείρειν οὐδὲν αὐτοῖς ἔργον εἶναι. Καὶ διατελοῦσιν (ἦδ' ὅς) ὑγιεῖς καὶ ἄνοσοι, καὶ καταστρέφουσι τὸν ἑαυτῶν βίον γελῶντες εὖ μάλα, καὶ ἡδόμενοι. Οὕτω δὲ ἀναμφιλόγως εἰσὶ δίκαιοι, ὡς μήτε τοὺς θεοὺς πολλάκις ἀπαξιοῦν ἐπιφοιτᾷν αὐτοῖς. Οἱ δὲ τῆς Μαχίμου πόλεως, μαχιμώτατοί τέ εἰσι καὶ αὐτοὶ, καὶ γίνονται μεθ' ὅπλων, καὶ ἀεὶ πολεμοῦσι, καὶ καταστρέφονται τοὺς ὁμόρους, καὶ παμπόλλων ἐθνῶν μία πόλις κρατεῖ αὕτη. Εἰσὶ δὲ οἱ οἰκήτορες οὐκ ἐλάττους διακοσίων μυριάδων. Ἀποθνήσκουσι δὲ τὸν μὲν ἄλλον χρόνον νοσήσαντες· σπάνιον δὲ τοῦτο, ἐπὶ τά γε πολλὰ ἐν τοῖς πολέμοις, ἢ λίθοις, ἢ ξύλοις παιόμενοι· ἄτρωτοι γάρ εἰσι σιδήρῳ. Χρυσοῦ δὲ ἔχουσι καὶ ἀργύρου ἀφθονίαν, ὡς ἀτιμότερον εἶναι παρ' αὐτοῖς τὸν χρυσὸν τοῦ παρ' ἡμῖν σιδήρου. Ἐπιχειρῆσαι δέ ποτε καὶ διαβῆναι τούτους εἰς τάσδε τὰς ἡμεδαπὰς νήσους, ἔφη γε, καὶ διαπλεύσαντάς γε τὸν Ὠκεανὸν μυριάσι χιλίαις ἀνθρώπων, ἕως Ὑπερβορέων ἀφικέσθαι. Καὶ πυθομένους τῶν παρ' ἡμῖν τούτους εἶναι ὡς εὐδαιμονεστάτους, καταφρονῆσαι ὡς φαύλως καὶ ταπεινῶς πράττοντας, καὶ διὰ ταῦτα ἀτιμάσαι προελθεῖν περαιτέρω. Τὸ δὲ ἔτι θαυμασιώτερον προσετίθει. Μέροπάς τινας οὕτω καλουμένους ἀνθρώπους οἰκεῖν παρ' αὐτοῖς ἔφη πόλεις πολλὰς καὶ μεγάλας· ἐπ' ἐσχάτῳ δὲ τῆς χώρας αὐτῶν τόπον εἶναι καὶ ὀνομάζεσθαι Ἄνοστον, ἐοικέναι δὲ χάσματι, κατειλῆφθαι δὲ οὔτε ὑπὸ σκότους, οὔτε ὑπὸ φωτὸς, ἀέρα δὲ ἐπικεῖσθαι ἐρυθήματι μεμιγμένον θολερῷ. Δύο δὲ ποταμοὺς περὶ τοῦτον τὸν τόπον ῥεῖν, καὶ τὸν μὲν Ἡδονῆς καλεῖσθαι, τὸν δὲ Λύπης· καὶ παρ' ἑκάτερον τούτων ἑστηκέναι δένδρα τὸ μέγεθος πλατάνου μεγάλης. Φέρειν δὲ καρποὺς, τὰ μὲν περὶ τὸν τῆς Λύπης ποταμὸν τοιαύτην ἔχοντας τὴν φύσιν· ἐάν τις αὐτῶν ἀπογεύσηται, τοσοῦτον ἐκβάλλει δάκρυον, ὥστε κατατήκεσθαι πάντα τὸν ἑαυτοῦ βίον τὸν λοιπὸν θρηνοῦντα, καὶ οὕτω τελευτᾷν. Τὰ δὲ ἕτερα τὰ παραπεφυκότα τῷ τῆς Ἡδονῆς ποταμῷ, ἀντίπαλον ἐκφέρειν καρπόν. Ὃς γὰρ ἂν γεύσηται τούτων, τῶν μὲν ἄλλων τῶν πρότερον ἐπιθυμιῶν παύεται· ἀλλὰ καὶ εἴ του ἤρα, καὶ αὐτοῦ λαμβάνει λήθην,

καὶ γίνεται κατὰ βραχὺ νεώτερος, καὶ τὰς φθανούσας ἡλικίας, καὶ τὰς ἤδη διελθούσας, ἀναλαμβάνει ὀπίσω. Τὸ μὲν γὰρ γῆρας ἀποῤῥίψας, ἐπὶ τὴν ἀκμὴν ὑποστρέφει, εἶτα ἐπὶ τὴν τῶν μειρακίων ἡλικίαν ἀναχωρεῖ, εἶτα παῖς γίνεται, εἶτα βρέφος, καὶ ἐπὶ τούτοις ἐξαναλώθη. Καὶ ταῦτα εἴ τῳ πιστὸς ὁ Χῖος λέγων, πεπιςεύσθω· ἐμοὶ δὲ δεινὸς εἶναι δοκεῖ μυθολόγος, καὶ ἐν τούτοις, καὶ ἐν ἄλλοις δέ.

## ΚΕΦ. ιθ'.

### Περὶ διαφορᾶς Ἀριστοτέλους πρὸς Πλάτωνα.

Λέγεται τὴν διαφορὰν Ἀριστοτέλους πρὸς Πλάτωνα τὴν πρώτην ἐκ τούτων γενέσθαι. Οὐκ ἠρέσκετο αὐτοῦ τῷ βίῳ ὁ Πλάτων, οὐδὲ τῇ κατασκευῇ τῇ περὶ τὸ σῶμα. Καὶ γὰρ ἐσθῆτι ἐχρῆτο περιέργῳ ὁ Ἀριστοτέλης, καὶ ὑποδέσει· καὶ κουρὰν δὲ ἐκείρετο καὶ ταύτην ἀήθη Πλάτωνι· καὶ δακτυλίους δὲ πολλοὺς φορῶν ἐκαλλύνετο ἐπὶ τούτῳ. Καὶ μωκία δέ τις ἦν αὐτοῦ περὶ τὸ πρόσωπον· καὶ ἄκαιρος στωμυλία λαλοῦντος, κατηγόρει καὶ αὕτη τὸν τρόπον αὐτοῦ. Πάντα δὲ ταῦτα ὡς ἔστιν ἀλλότρια φιλοσόφου, δῆλον. Ἅπερ οὖν ὁρῶν ὁ Πλάτων οὐ προσίετο τὸν ἄνδρα· προετίμα δὲ αὐτοῦ Ξενοκράτην, καὶ Σπεύσιππον, καὶ Ἀμύκλαν, καὶ ἄλλους, τῇ τε λοιπῇ δεξιούμενος αὐτοὺς τιμῇ, καὶ οὖν καὶ τῇ κοινωνίᾳ τῶν λόγων. Ἀποδημίας δέ ποτε γενομένης τῷ Ξενοκράτει εἰς τὴν πατρίδα, ἐπέθετο τῷ Πλάτωνι Ἀριστοτέλης, χορόν τινα τῶν ὁμιλητῶν τῶν ἑαυτοῦ περιστησάμενος, ὧν ἦν Μνάσων τε ὁ Φωκεὺς, καὶ ἄλλοι τοιοῦτοι. Ἐνόσει δὲ τότε ὁ Σπεύσιππος, καὶ διὰ ταῦτα ἀδύνατος ἦν συμβαδίζειν τῷ Πλάτωνι. Ὁ δὲ Πλάτων ὀγδοήκοντα ἐτῶν ἐγεγόνει ὁμοῦ τι, καὶ διὰ τὴν ἡλικίαν ἐπελελοίπει τὰ τῆς μνήμης αὐτόν. Ἐπιθέμενος οὖν αὐτῷ καὶ ἐπιβουλεύων ὁ Ἀριστοτέλης, καὶ φιλοτίμως πάνυ τὰς ἐρωτήσεις ποιούμενος, καὶ τρόπον

τινὰ καὶ ἐλεγκτικῶς, ἀδικῶν ἅμα καὶ ἀγνωμονῶν ἦν δῆλος. Καὶ διὰ ταῦτα ἀποστὰς ὁ Πλάτων τοῦ ἔξω περιπάτου, ἔνδον ἐβάδιζε σὺν τοῖς ἑταίροις. Τριῶν δὲ μηνῶν διαγενομένων, ὁ Ξενοκράτης ἀφίκετο ἐκ τῆς ἀποδημίας, καὶ καταλαμβάνει τὸν Ἀριστοτέλη βαδίζοντα, οὗ κατέλιπε τὸν Πλάτωνα. Ὁρῶν δὲ αὐτὸν μετὰ τῶν γνωρίμων, οὐ πρὸς Πλάτωνα ἀναχωροῦντα ἐκ τοῦ περιπάτου, ἀλλὰ καθ' ἑαυτὸν ἀπιόντα εἰς τὴν πόλιν, ἤρετό τινα τῶν ἐν τῷ περιπάτῳ, ὅποι ποτὲ εἴη Πλάτων· ὑπώπτευε γὰρ αὐτὸν μαλακίζεσθαι. Ὁ δὲ ἀπεκρίνατο, Ἐκεῖνος μὲν οὐ νοσεῖ, ἐνοχλῶν δὲ αὐτὸν Ἀριστοτέλης παραχωρῆσαι πεποίηκε τοῦ περιπάτου, καὶ ἀναχωρήσας ἐν τῷ κήπῳ τῷ ἑαυτοῦ φιλοσοφεῖ. Ὁ δὲ Ξενοκράτης ἀκούσας, παραχρῆμα ἧκε πρὸς Πλάτωνα, καὶ κατέλαβε διαλεγόμενον τοῖς σὺν ἑαυτῷ· ἦσαν δὲ μάλα συχνοὶ, καὶ ἄξιοι λόγου, καὶ οἱ μάλιστα δοκοῦντες τῶν νέων ἐπιφανεῖς. Ἐπεὶ δὲ ἐπαύσατο τῆς ὁμιλίας, ἠσπάσατό τε, ὡς τὸ εἰκὸς, τὸν Ξενοκράτην φιλανθρώπως, καὶ αὖ πάλιν ὁ Ξενοκράτης ἐκεῖνον ὁμοίως. Διαλυθείσης δὲ τῆς συνουσίας, οὐδὲν οὔτε εἰπὼν πρὸς τὸν Πλάτωνα Ξενοκράτης, οὔτε ἀκούσας, συναγαγὼν τοὺς ἑταίρους, καὶ τῷ Σπευσίππῳ πάνυ ἰσχυρῶς ἐπέπληξε, παραχωρήσαντι τοῦ περιπάτου Ἀριστοτέλει, αὐτός τε ἐπέθετο τῷ Σταγειρίτῃ κατὰ τὸ καρτερὸν, καὶ εἰς τοσοῦτον προῆλθε φιλοτιμίας, ὡς ἐξελάσαι αὐτὸν, καὶ ἀποδοῦναι τὸ σύνηθες χωρίον τῷ Πλάτωνι.

## ΚΕΦ. κ'.

### Περὶ Λυσάνδρου, καὶ δώρων ἀνακομισθέντων αὐτῷ.

Λυσάνδρῳ τῷ Σπαρτιάτῃ εἰς Ἰωνίαν ἀφικομένῳ οἱ κατὰ τὴν Ἰωνίαν ξένοι πολλὰ μὲν καὶ ἄλλα ἐπέπεμψαν, ἀτὰρ οὖν καὶ βοῦν, καὶ πλακοῦντα. Ὁ δὲ ἀπιδὼν εἰς τὸν πλακοῦντα, ἤρετο, Τί βούλεται τὸ πέμμα ἐκεῖνο εἶναι; Ὁ δὲ κομίζων ἀπεκρίνατο, ὅτι ἐκ μέλιτος, καὶ τυροῦ, καὶ ἄλλων τινῶν κατεσκεύασται. Ὁ δὲ Λύσανδρος, Ἀλλὰ τοῦτο μὲν,

εἶπε, δότε τοῖς Εἵλωσιν· ἐλευθέρου γὰρ οὐκ ἔστι βρῶμα. Τὸν δὲ βοῦν προσέταξε κατὰ τὰ πάτρια σκευασθῆναι, καὶ ἐδείπνησεν ἡδέως.

## ΚΕΦ. κά.

### Περὶ μεγαλοφροσύνης τοῦ Θεμιστοκλέους.

Ἐπανῄει ποτὲ ἐκ διδασκαλείου παῖς ἔτι ὢν Θεμιστοκλῆς. Εἶτα προσιόντος Πεισιστράτου, ὁ παιδαγωγὸς ἔφη τῷ Θεμιστοκλεῖ, μικρὸν ἐκχωρῆσαι τῆς ὁδοῦ, προσάγοντος τοῦ τυράννου. Ὁ δὲ καὶ πάνυ ἐλευθερίως ἀπεκρίνατο· Αὕτη γὰρ (εἶπεν) αὐτῷ οὐκ ἱκανὴ ὁδός; Οὕτως ἄρα εὐγενές τι καὶ μεγαλόφρον ἐνεφαίνετο τῷ Θεμιστοκλεῖ καὶ ἐξ ἐκείνου.

## ΚΕΦ. κβ'.

### Περὶ τῆς τοῦ Αἰνείου εὐσεβείας, καὶ τοῦ τῶν Ἑλλήνων ἐλέους πρὸς τοὺς Τρῶας.

Ὅτε ἑάλω τὸ Ἴλιον, οἰκτείραντες οἱ Ἀχαιοὶ τὰς τῶν ἁλισκομένων τύχας, καὶ πάνυ Ἑλληνικῶς τοῦτο ἐκήρυξαν, ἕκαστον τῶν ἐλευθέρων ἕν, ὅ, τι καὶ βούλεται, τῶν οἰκίων ἀποφέρειν ἀράμενον. Ὁ οὖν Αἰνείας τοὺς πατρῴους θεοὺς βαστάσας ἔφερεν, ὑπεριδὼν τῶν ἄλλων. Ἡσθέντες οὖν ἐπὶ τῇ τοῦ ἀνδρὸς εὐσεβείᾳ οἱ Ἕλληνες, καὶ δεύτερον αὐτῷ κτῆμα συνεχώρησαν λαβεῖν. Ὁ δὲ τὸν πατέρα πάνυ σφόδρα γεγηρακότα ἀναθέμενος τοῖς ὤμοις ἔφερεν. Ὑπερεκπλαγέντες οὖν καὶ ἐπὶ τούτῳ οὐχ ἥκιστα, πάντων αὐτῷ τῶν οἰκείων κτημάτων ἀπέστησαν, ὁμολογοῦντες, ὅτι πρὸς τοὺς εὐσεβεῖς τῶν ἀνθρώπων, καὶ τοὺς θεοὺς καὶ τοὺς γειναμένους δι' αἰδοῦς ἄγοντας, καὶ οἱ φύσει πολέμιοι ἥμεροι γίνονται.

## ΚΕΦ. κγ'.

### Περὶ Ἀλεξάνδρου.

Καλὰ μὲν οὖν Ἀλεξάνδρου τὰ ἐπὶ Γρανίκῳ, καὶ τὰ ἐπὶ

Ἰσσῷ, καὶ ἡ πρὸς Ἀρβήλοις μάχη, καὶ Δαρεῖος ἡρημένος, καὶ Πέρσαι δουλεύοντες Μακεδόσι. Καλὰ δὲ καὶ τὰ τῆς ἄλλης ἁπάσης Ἀσίας νενικημένης, καὶ Ἰνδοὶ δὲ καὶ οὗτοι Ἀλεξάνδρῳ πειθόμενοι. Καλὸν καὶ τὸ πρὸς τῇ Τύρῳ, καὶ τὰ ἐν Ὀξυδράκαις, καὶ τὰ ἄλλα αὐτοῦ. Τί γαρ δεῖ νῦν στενοχωρίαν λόγου περιλαμβάνειν τοσαύτην ἀνδρὸς εἰς ὅπλα ἀρετήν; Ἔστω δὲ καὶ τῆς Τύχης, Ἀλεξάνδρου ἀγαπώσης τὰ πλεῖστα, εἴτις εἴη δύσερις. Καλὸς δὲ οὖν Ἀλέξανδρος μὴ ἡττώμενος τῆς Τύχης, μηδὲ πρὸς τὴν ἐξ αὐτῆς εἰς αὐτὸν προθυμίαν ἀπαγορεύων. Ἐκεῖνα δὲ οὐκ ἔτι καλὰ Ἀλεξάνδρου. Δίου μηνός, φασι, πέμπτῃ ἔπινε παρ' Εὐμαίῳ· εἶτα ἕκτῃ ἐκάθευδεν ἐκ τοῦ πότου, καὶ τοσοῦτον ἐκείνης τῆς ἡμέρας ἔζησεν, ὅσον ἀναστὰς χρηματίσαι τοῖς ἡγεμόσιν ὑπὲρ τῆς αὔριον πορείας, λέγων, ὅτι ἔσται πρωΐ. Καὶ ἑβδόμῃ εἱστιᾶτο παρὰ Περδίκκᾳ, καὶ ἔπινε πάλιν, καὶ ὀγδόῃ ἐκάθευδε. Πέμπτῃ δὲ ἐπὶ δέκα τοῦ αὐτοῦ μηνὸς καὶ ταύτῃ ἔπινε, καὶ τῇ ἐπομένῃ τὰ εἰθισμένα ἔδρα, τὰ ἐκ τοῦ πότου. Παρὰ Βαγώᾳ δὲ ἐδείπνησε τετράδι μετὰ εἰκάδα (ἀπεῖχε τῶν Βασιλείων ὁ Βαγώα οἶκος δέκα σταδίους)· εἶτα τῇ τρίτῃ ἐκάθευδε. Δυοῖν οὖν θάτερον, ἢ Ἀλέξανδρος κακῶς τοσαύτας τοῦ μηνὸς ἡμέρας ἑαυτὸν ζημιοῖ διὰ τὸν οἶνον, ἢ οἱ ταῦτα ἀναγράψαντες ψεύδονται. Ἔξεστι δὲ ἐκ τούτων ἐννοεῖν καὶ τοῦ λοιποῦ χρόνου τὰ ὅμοια αὐτοὺς λέγοντας, ὧν καὶ Εὐμένης ὁ Καρδιανὸς καὶ ἐκεῖνός ἐστι.

## ΚΕΦ. κδ'

### Περὶ φιλοκαλίας Ξενοφῶντος.

Ξενοφῶντι ἔμελε τῶν τε ἄλλων σπουδαίων, καὶ οὖν καὶ ὅπλα καλὰ ἔχειν. Νικῶντι γὰρ, ἔλεγε, τοῦς πολεμίους τὴν καλλίστην στολὴν ἁρμόττειν· καὶ ἀποθνήσκοντι ἐν τῇ μάχῃ, κεῖσθαι καλῶς ἐν καλῇ τῇ πανοπλίᾳ. Τῷ γὰρ ἀνδρὶ τῷ γενναίῳ ταῦτ' εἶναι τὰ ἐντάφια, τὰ ὡς ἀληθῶς κοσμοῦντα αὐτόν. Λέγεται οὖν ὁ τοῦ Γρύλλου τὴν μὲν

ἀσπίδα Ἀργολικὴν ἔχειν, τὸν δὲ θώρακα Ἀττικὸν, τὸ δὲ κράνος Βοιωτιουργὲς, τὸν δὲ ἵππον Ἐπιδαύριον. Φιλοκάλου δὲ ἔγωγε ἂν εἶναι φαίην τὰ τοιαῦτα ἀνδρὸς, καὶ ἀξιοῦντος ἑαυτὸν τῶν καλῶν.

## ΚΕΦ. κέ.

### Περὶ Λεωνίδου, καὶ τῶν τριακοσίων ἐθελοντὶ ὑπὲρ τῆς Ἑλλάδος ἀποθανόντων.

Ὁ Λεωνίδης ὁ Λακεδαιμόνιος, καὶ οἱ σὺν αὐτῷ τριακόσιοι, τὸν μαντευόμενον αὐτοῖς θάνατον εἵλοντο ἐν Πύλαις· καὶ ὑπὲρ τῆς Ἑλλάδος εὖ καὶ καλῶς ἀγωνισάμενοι τέλους ἔτυχον εὐκλεοῦς, καὶ δόξαν ἑαυτοῖς ἀθάνατον ἀπέλιπον, καὶ φήμην ἀγαθὴν δἰ αἰῶνος.

## ΚΕΦ. κϛ'.

### Περὶ Πινδάρου τοῦ τυράννου.

Πίνδαρος ὁ Μέλανος υἱὸς, Ἀλυάττου δὲ θυγατριδοῦς τοῦ Λυδοῦ, διαδεξάμενος τὴν Ἐφεσίων τυραννίδα, πρὸς μὲν τὰς τιμωρίας πικρὸς ἦν, καὶ ἀπαραίτητος, τά γε μὴν ἄλλα ἐδόκει φιλόπατρις εἶναι καὶ σώφρων, καὶ τοῦ μὴ δουλεῦσαι τὴν πατρίδα τοῖς Βαρβάροις πολλὴν πρόνοιαν ἔθετο. Ἔδειξε ταῦτα οὕτως ἔχειν ἐκεῖνα δήπου. Ἐπεὶ γὰρ Κροῖσος ὁ πρὸς μητρὸς αὐτοῦ θεῖος καταστρεφόμενος τὴν Ἰωνίαν, καὶ πρὸς τὸν Πίνδαρον πρεσβείαν ἀπέστειλεν, ἀξιῶν Ἐφεσίους ὑπ' αὐτῷ γενέσθαι· ὡς δ' οὐκ ἐπείσθη, ἐπολιόρκει τὴν πόλιν Κροῖσος. Ἐπεὶ δέ τις τῶν πύργων ἀνετράπη, ὁ κληθεὶς ὕστερον προδότης, καὶ ἐν ὀφθαλμοῖς ἑώρα τὸ δεινὸν, συνεβούλευσεν ὁ Πίνδαρος Ἐφεσίοις, ἐκδήσαντας ἐκ τῶν πυλῶν καὶ τῶν τειχῶν θώμιγγας, συνάψαι τοῖς κίοσι τοῦ τῆς Ἀρτέμιδος νεὼ, οἱονεὶ τὴν πόλιν ἀνάθημα ἐῶντας εἶναι τῇ Ἀρτέμιδι, ἀσυλίαν διὰ τούτων ἐπινοῶν τῇ Ἐφέσῳ· ὁ δὲ συνεβούλευε προσελθόντας δεῖσ-

σθαι τοῦ Λυδοῦ. Προβαλλομένων δὲ τὴν ἱκετηρίαν τῶν Ἐφεσίων, γελάσαντά φασι τὸν Κροῖσον, καὶ δεξάμενον πρᾴως τὸ στρατηγηθὲν, τοῖς μὲν Ἐφεσίοις συγχωρῆσαι τὴν μετ' ἐλευθερίας ἀσφάλειαν· τῷ δὲ Πινδάρῳ προστάξαι τῆς πόλεως ἀπαλλάττεσθαι. Ὁ δὲ οὐκ ἀντεῖπε· τῶν φίλων δὲ τοὺς συναπαίρειν αὐτῷ βουληθέντας παραλαβὼν, τὸν υἱὸν καὶ τῆς οὐσίας τὸ πλεῖστον τῇ πόλει παρακαταθέμενος, καὶ ἕνα τῶν συνήθων Πασικλέα ἀποδείξας ἐπίτροπον, καὶ τοῦ παιδὸς, καὶ τῶν χρημάτων, ἀπῆρεν εἰς Πελοπόννησον, τυραννικοῦ βίου φυγὴν αὐθαίρετον ἀλλαξάμενος, ὑπὲρ τοῦ μὴ ποιῆσαι τὴν πατρίδα ὑποχείριον Λυδοῖς.

## ΚΕΦ. κζ.

### Περὶ Πλάτωνος πενίας, καὶ πῶς φιλοσοφίᾳ ἐπεχείρησεν.

Πέπυσμαι καὶ τοῦτον τὸν λόγον, εἰ δὲ ἀληθής ἐστιν, οὐκ οἶδα· ὅ δ' οὖν πέπυσμαι, ἐκεῖνό ἐστι. Πλάτων ὁ Ἀρίστωνος, ὑπὸ πενίας, φασὶ, καταπονούμενος, ἔμελλεν ἐπὶ στρατείαν ἀποδημῆσαι· καταληφθεὶς δὲ ὑπὸ Σωκράτους ὠνούμενος ὅπλα, ὁ Πλάτων, ἀνεστάλη τὴν ὁρμὴν, διαλεχθέντος αὐτῷ τοῦ Σωκράτους, ἃ εἰκὸς ἦν, καὶ πείσαντος φιλοσοφίας ἐπιθυμῆσαι.

## ΚΕΦ. κή.

### Πῶς ὁ Σωκράτης τὸν τοῦ Ἀλκιβιάδου τύφον ἀνέστειλεν.

Ὁρῶν ὁ Σωκράτης τὸν Ἀλκιβιάδην τετυφωμένον ἐπὶ τῷ πλούτῳ, καὶ μέγα φρονοῦντα ἐπὶ τοῖς ἀγροῖς, ἤγαγεν αὐτὸν εἴς τινα τόπον, ἔνθα ἀνέκειτο πινάκιον ἔχον γῆς περίοδον, καὶ προσέταξε τὴν Ἀττικὴν ἐνταῦθα ἀναζητεῖν. Ὡς δὲ εὗρε, προσέταξε τοὺς ἀγροὺς τοὺς ἰδίους διαθρῆσαι. Τοῦ δὲ εἰπόντος, Ἀλλ' οὐδαμοῦ γεγραμμένοι εἰσὶν, Ἐπὶ τούτοις, εἶπε, μέγα φρονεῖς, οἵπερ οὐδὲν μέρος τῆς γῆς εἰσίν;

## ΚΕΦ. κθ'.

### Περὶ Διογένους πενίας, καὶ τύφου.

Διογένης ὁ Σινωπεὺς συνεχῶς ἐπέλεγεν ὑπὲρ ἑαυτοῦ, ὅτι τὰς ἐκ τῆς τραγῳδίας ἀρὰς αὐτὸς ἐκπληροῖ, καὶ ὑπομένει· εἶναι γὰρ πλάνης, ἄοικος, πατρίδος ἐστερημένος, πτωχὸς, δυσείμων, βίον ἔχων τὸν ἐφήμερον. Καὶ ὅμως ἐπὶ τούτοις μέγα ἐφρόνει οὐδὲν ἧττον, ἢ Ἀλέξανδρος ἐπὶ τῇ τῆς οἰκουμένης ἀρχῇ, ὅτε καὶ Ἰνδοὺς ἑλὼν εἰς Βαϐυλῶνα ὑπέστρεψεν.

## ΚΕΦ. λ'.

### Περὶ σωφρόνων τινῶν.

Ἀμοιϐαίας ὁ κιθαρῳδὸς σωφρονέστατος ἐλέγετο, καὶ γυναῖκα ὡραιοτάτην ἔχων μὴ ὁμιλεῖν αὐτῇ. Καὶ Διογένης ὁ τῆς τραγῳδίας ὑποκριτής. Κλειτόμαχος δὲ ὁ παγκρατιαστὴς, εἴ ποτε καὶ κύνας εἶδε συμπλεκομένους, ἀπεστρέφετο· καὶ ἐν συμποσίῳ εἴ τις ἀφροδίσιος λόγος παρεῤῥύη, ἀναστὰς ἀπηλλάττετο.

## ΚΕΦ. λά.

### Περὶ Νικίου σπουδῆς περὶ τὴν ἰδίαν τέχνην.

Νικίας ὁ ζωγράφος τοσαύτην περὶ τὸ γράφειν σπουδὴν εἶχεν, ὡς ἐπιλαθέσθαι πολλάκις αὐτὸν τροφὴν προσενέγκασθαι προστετηκότα τῇ τέχνῃ.

## ΚΕΦ. λϐ'.

### Περὶ Ἀλεξάνδρου καὶ Ἡρακλέους κιθαρίζειν μανθανόντων.

Ἀλέξανδρος ὁ Φιλίππου, παῖς ὢν οὔπω πρόσηϐος, ἐμάνθανε κιθαρίζειν. Τοῦ δὲ διδάσκοντος κροῦσαι κελεύσαντος χορδήν τινα σὺν μέλει, καὶ ἣν ἀπήτει τὰ κιθαρίσματα, Καὶ τί διοίσει, ἔφη, ἐὰν ταύτην κρούσω; ἑτέραν δείξας. Ὁ δὲ οὐδὲν ἔφη διαφέρειν τῷ μέλλοντι βασιλεύσειν, ἀλλὰ οὐκ ἐπὶ τέχνῃ κιθαρίζειν μέλλοντι. Ἔδεισε δὲ ἄρα οὗτος, μὴ ὢν ἀπαίδευτος, τὸ τοῦ Λίνου πάθος. Τὸν γὰρ Ἡρακλέα ὁ Λῖνος ἔτι

παῖδα ὄντα κιθαρίζειν ἐπαίδευεν· ἀμουσότερον δὲ ἁπτομένου τοῦ ὀργάνου, ἐχαλέπηνε πρὸς αὐτὸν ὁ Λῖνος. Ὁ δὲ ἀγανακτήσας, ὁ Ἡρακλῆς, τῷ πλήκτρῳ τοῦ Λίνου καθίκετο, καὶ ἀπέκτεινεν αὐτόν.

## ΚΕΦ. λγ'.

### Περὶ Σατύρου τοῦ αὐλητοῦ.

Σάτυρος ὁ αὐλητὴς Ἀρίστωνος τοῦ φιλοσόφου πολλάκις ἠκροᾶτο, καὶ κηλούμενος ἐκ τῶν λεγομένων, ἐπέλεγεν,

Εἰ μὴ ἐγὼ τάδε τόξα φαεινῷ ἐν πυρὶ θείην,

τοὺς αὐλοὺς αἰνιττόμενος, καὶ τρόπον τινὰ τὴν τέχνην ἐκφαυλίζων παραβολῇ τῇ πρὸς φιλοσοφίαν.

## ΚΕΦ. λδ'.

### Νόμος Λάκωσι καὶ Ῥωμαίοις κοινός.

Ὅτι Λάκωσι καὶ Ῥωμαίοις νόμος ἦν, μὴ ἐξεῖναί τινι ὀψωνεῖν, μήτε ἃ βούλεται, μήτε ὅσα βούλεται· προσέταττον γὰρ διά τε τῶν ἄλλων σωφρονεῖν τοὺς πολίτας, καὶ διὰ τῆς τραπέζης οὐχ ἥκιστα.

## ΚΕΦ. λέ.

### Ὅτι ἐν Ἀκαδημίᾳ γελᾷν οὐκ ἐξῆν.

Λόγος δέ τις διαῤῥεῖ καὶ οὗτος Ἀττικὸς, ὅς λέγει, πρότερον ἐν Ἀκαδημίᾳ μηδὲ γελάσαι ἐξουσίαν εἶναι· ὕβρει γὰρ, καὶ ῥαθυμίᾳ ἐπειρῶντο, τὸ χωρίον ἄβατον φυλάττειν.

## ΚΕΦ. λϛ.'

### Διὰ τί ὁ Ἀριστοτέλης ἀπέλιπε τὰς Ἀθήνας.

Ἀριστοτέλης, ὅτε ἀπέλιπε τὰς Ἀθήνας δέει τῆς κρίσεως, πρὸς τὸν ἐρόμενον αὐτὸν, Τίς ἐστιν ἡ τῶν Ἀθηναίων πόλις; ἔφη, Παγκάλη· ἀλλ' ἐν αὐτῇ,

Ὄχνη ἐπ' ὄχνῃ γηράσκει, σῦκον δ' ἐπὶ σύκῳ,

τοὺς Συκοφάντας λέγων. Καὶ πρὸς τὸν ἐρόμενον, διὰ τί ἀπέλιπε τὰς Ἀθήνας; ἀπεκρίνατο, ὅτι οὐ βούλεται Ἀθηναίους δὶς ἐξαμαρτεῖν εἰς φιλοσοφίαν, τὸ περὶ Σωκράτην πάθος αἰνιττόμενος, καὶ τὸν καθ' ἑαυτὸν κίνδυνον.

## ΚΕΦ. λζ'.

### Νόμος Κείων κατὰ γερόντων.

Νόμος ἐστὶ Κείων· οἱ πάνυ παρ' αὐτοῖς γεγηρακότες, ὥσπερ ἐπὶ ξενίᾳ παρακαλοῦντες ἑαυτοὺς, ἢ ἐπί τινα ἑορταστικὴν θυσίαν, συνελθόντες, καὶ στεφανωσάμενοι, πίνουσι κώνειον, ὅταν ἑαυτοῖς συνειδῶσιν, ὅτι πρὸς τὰ ἔργα τὰ τῇ πατρίδι λυσιτελοῦντα ἄχρηστοί εἰσιν, ὑποληρούσης ἤδη τι αὐτοῖς καὶ τῆς γνώμης διὰ τὸν χρόνον.

## ΚΕΦ. λή.

### Εὑρισκόμενά τινα πρῶτον ἐν Ἀθήναις.

Ὅτι ἐν Ἀθήναις εὑρεθῆναι λέγουσι πρῶτον τὴν Ἐλαίαν, καὶ τὴν Συκῆν, ἃ καὶ πρῶτον ἡ Γῆ ἀνέδωκε. Δίκας τε δοῦναι, καὶ λαβεῖν εὗρον Ἀθηναῖοι πρῶτοι. Καὶ ἀγῶνα τὸν διὰ τῶν σωμάτων πρῶτοι ἐπενόησαν, καὶ ἀπεδύσαντο, καὶ ἠλείψαντο. Καὶ ἵππους ἔζευξε πρῶτος Ἐριχθόνιος.

## ΚΕΦ. λθ'.

### Τί τινες πάλαι ἤσθιον.

Ὅτι βαλάνους Ἀρκάδες, Ἀργεῖοι δ' ἀπίους, Ἀθηναῖοι δὲ σῦκα, Τιρύνθιοι δὲ ἀχράδας δεῖπνον εἶχον, Ἰνδοὶ καλάμους, Καρμανοὶ φοίνικας, κέγχρον δὲ Μαιῶται καὶ Σαυρομάται, τέρμινθον δὲ καὶ κάρδαμον Πέρσαι.

## ΚΕΦ. μ'.

### Περὶ Σατύρων, Τιτύρων καὶ Σιληνῶν.

Ὅτι οἱ συγχορευταὶ Διονύσου Σάτυροι ἦσαν, οἱ ὑπ' ἐνίων Τίτυροι ὀνομαζόμενοι. Ἔσχον δὲ τὸ ὄνομα ἐκ τῶν τερετισ-

μάτων, οἷς χαίρουσι Σάτυροι. Σάτυροι δὲ ἀπὸ τοῦ σεσηρέναι. Σιληνοὶ δὲ ἀπὸ τοῦ Σιλλαίνειν· τὸν δὲ σίλλον ψόγον λέγουσι μετὰ παιδιᾶς δυσαρέστου. Ἐσθὴς δ᾽ ἦν τοῖς Σιληνοῖς ἀμφίμαλλοι χιτῶνες. Αἰτίττεται δὲ ἡ στολὴ τὴν ἐκ τοῦ Διονύσου φυτείαν, καὶ τὰ τῶν οἰνάδων, καὶ τὰ τῶν κλημάτων δάση.

## ΚΕΦ. μά.

### Πολλαὶ τοῦ Διονύσου μετωνυμίαι.

Ὅτι τὸ πολυκαρπεῖν οἱ ἀρχαῖοι ὠνόμαζον Φλύειν. Ὅθεν τὸν Διόνυσον Φλεῶνα ἐκάλουν, καὶ Προτρύγην, καὶ Σταφυλίτην, καὶ Ὀμφακίτην, καὶ ἑτέρως πως διαφόρως.

## ΚΕΦ. μϐ΄.

### Περί τινων μαινομένων γυναικῶν.

Ἐλέγη καὶ Κελαινὴ Προίτου θυγατέρες· μάχλους δὲ αὐτὰς ἡ τῆς Κύπρου βασιλὶς εἰργάσατο. Ἐπὶ μέρους δὲ τῆς Πελοποννήσου καὶ ἔδραμόν, φασι γυμναὶ μαινόμεναι· ἐξεφοίτησαν δὲ καὶ εἰς ἄλλας χώρας τῆς Ἑλλάδος, παράφοροι οὖσαι ὑπὸ τῆς νόσου. Ἀκούω δὲ ὅτι καὶ ταῖς Λακεδαιμονίων γυναιξὶν ἔπεσέ τις οἶστρος βακχικὸς, καὶ ταῖς τῶν Χίων. Καὶ αἱ τῶν Βοιωτῶν δὲ ὡς ἐνθεώτατοι ἐμάνησαν, καὶ ἡ τραγῳδία βοᾷ. Μόνας δὲ ἀφηνιάσαι τῆς χορείας ταύτης λέγουσι τοῦ Διονύσου τὰς Μινυῶν θυγατέρας, Λευκίππην, καὶ Ἀριστίππην, καὶ Ἀλκιθόην. Αἴτιον δὲ, ὅτι ἐπόθουν τοὺς γαμέτας, καὶ διὰ τοῦτο οὐκ ἐγένοντο τῷ θεῷ μαινάδες. Ὁ δὲ ὀργίζεται. Καὶ αἱ μὲν περὶ τοὺς ἱστοὺς εἶχον, καὶ ἐπονοῦντο περὶ τὴν Ἐργάνην εὖ μάλα φιλοτίμως· ἄφνω δὲ κιττοί τε καὶ ἄμπελοι τοὺς ἱστοὺς περιεῖρπον, καὶ τοῖς ταλάροις ἐνεφώλευον δράκοντες· ἐκ δὲ τῶν ὀρόφων ἔσταζον οἴνου καὶ γάλακτος σταγόνες. Τὰς δὲ οὐδὲ ταῦτα ἀνέπειθεν ἐλθεῖν εἰς τὴν λατρείαν τοῦ δαίμονος. Ἐνταῦθά τοι καὶ πάθος εἰργάσαντο ἔξω Κιθαιρῶνος, οὐ μεῖον τοῦ ἐν Κιθαιρῶνι. Τὸν γὰρ τῆς Λευκίππης παῖδα, ἔτι ἁπαλὸν ὄντα

καὶ νεαρὸν, διεσπάσαντο, οἷα νεβρὸν, τῆς μανίας ἀρξάμεναι αἱ Μινυάδες, εἶτα ἐντεῦθεν ἐπὶ τὰς ἐξ ἀρχῆς ἧξαν Μαινάδας· αἱ δὲ ἐδίωκον αὐτὰς διὰ τὸ ἄγος. Ἐκ δὴ τούτων ἐγένοντο ὄρνιθες, καὶ ἡ μὲν ἤμειψε τὸ εἶδος εἰς κορώνην, ἡδὲ εἰς νυκτερίδα, ἡ δὲ εἰς γλαῦκα.

## ΚΕΦ. μγ'.

Περὶ κιθαρῳδοῦ ὑπὸ τῶν Συβαριτῶν φονευθέντος.

Ἐν Συβάρει κιθαρῳδοῦ ᾄδοντος ἐν τῇ ἀγωνίᾳ, ἣν ἐπετέλουν τῇ Ἥρᾳ, στασιασάντων ὑπὲρ αὐτοῦ τῶν Συβαριτῶν, καὶ τὰ ὅπλα λαβόντων ἐπ' ἀλλήλους, φοβηθεὶς ὁ κιθαρῳδὸς σὺν αὐτῇ στολῇ κατέφυγεν εἰς τον τῆς Ἥρας βωμόν. Οἱ δὲ οὐδὲ ἐνταῦθα ἐφείσαντο τοῦ κιθαρῳδοῦ. Ὀλίγῳ δὲ ὕστερον ἐδόκει αἷμα ἐν τῷ τῆς Ἥρας ναῷ ἀναβρύειν, οὐδὲν ἔλαττον πηγῆς ἀεννάου. Συβαρῖται δὲ ἔπεμψαν εἰς Δελφούς. Ἡ δὲ Πυθία ἀπεκρίνατο·

Βαῖν' ἀπ' ἐμῶν τριπόδων, ἔτι τοι φόνος ἀμφὶ χέρεσσι
Πουλὺς ἀποστάζων ἀπὸ λαΐνου οὐδοῦ ἐρύκει·
Οὔ σε θεμιστεύσω. Μουσῶν θεράποντα κατέκτας
Ἥρης πρὸς βωμοῖσι, θεῶν τίσιν οὐκ ἀλεείνας.
Τοῖς δὲ κακῶς ῥέξασι δίκης τέλος οὐχὶ χρονιστὸν,
Οὐδὲ παραιτητὸν, οὐδ' εἰ Διὸς ἔγγονοι εἶεν·
'Αλλ' αὐτῶν κεφαλῇσι, καὶ ἐν σφετέροισι τέκεσσιν,
Εἰλεῖται, καὶ πῆμα, δόμοις ἐπὶ πήματι βαίνει.

Ἡ δὲ δίκη οὐκ ἐβράδυνε. Κροτωνιάταις γὰρ ἐναντίον ὅπλα θέμενοι, ἀνάστατοι ὑπ' ἐκείνων ἐγένοντο, καὶ ἡ πόλις αὐτῶν ἠφανίσθη.

## ΚΕΦ. μδ'.

Περί τινος δυναμένου βοηθεῖν τοῖς ἑταίροις, καὶ μὴ βοηθοῦντος, καὶ ἑταίρου βοηθοῦντος μὲν, ἀποτυχόντος δέ.

Νεανίσκοι τρεῖς εἰς Δελφοὺς ἀφικόμενοι θεωροὶ συμπολῖται κακούργοις συμπεριτυγχάνουσιν. Ὁ οὖν εἷς ἀπέδρα

τοὺς ληστάς· ὁ δὲ δεύτερος αὐτῶν συνεπλάκη τῷ λοιπῷ τῶν κακούργων, τῶν ἄλλων προαναλωθέντων, καὶ τοῦ μὲν ληστοῦ ἥμαρτεν, ὦστε δὲ τὸ ξίφος κατὰ τοῦ φίλου. Τῷ ἀποδράντι οὖν ἡ Πυθία ἀνεῖλε τάδε,

Ἀνδρὶ φίλῳ θνήσκοντι παρὼν πέλας οὐκ ἐβοήθεις.
Οὔ σε θεμιστεύσω· περικαλλέος ἔξιθι νηοῦ.

Καὶ τῷ ἑτέρῳ δὲ ἀνεῖλε τάδε, ἐρομένῳ τὴν Πυθίαν,

Ἔκτεινας τὸν ἑταῖρον ἀμύνων· οὔ σ᾽ ἐμίανεν
Αἷμα, πέλεις δὲ χέρας καθαρώτερος, ἢ πάρος ἦσθα.

## ΚΕΦ. μέ.

### Χρησμὸς Φιλίππῳ δοθείς.

Φιλίππῳ φασὶ χρηστήριον ἐκπεσεῖν ἐν Βοιωτοῖς ἐν Τροφωνίου, φυλάττεσθαι δεῖν τὸ ἅρμα. Ἐκεῖνον οὖν δέει τοῦ χρησμοῦ, λόγος ἔχει, μηδέποτε ἀναβῆναι ἅρμα. Διπλοῦς οὖν ἐπὶ τούτοις ὑποῤῥεῖ λόγος. Οἱ μὲν γάρ φασι τὸ τοῦ Παυσανίου ξίφος, ᾧ τὸν Φίλιππον διεχρήσατο, ἅρμα ἔχειν ἐπὶ τῆς λαβῆς διαγεγλυμμένον ἐλεφάντινον· ὁ δὲ ἕτερος, τὴν Θηβαϊκὴν τὴν καλουμένην Ἅρμα, περιελθόντα λίμνην ἀποσφαγῆναι. Ὁ μὲν πρῶτος λόγος, δημώδης· ὁ δὲ, οὐκ εἰς πάντας ἐξεφοίτησεν.

## ΚΕΦ. μϛ'.

### Νόμος Σταγειριτῶν.

Σταγειριτῶν νόμος οὗτος καὶ πάντη Ἑλληνικός. Ὃ μὴ κατέθου, φησὶ, μὴ λάμβανε.

## ΚΕΦ. μζ'.

### Περὶ Τιμοθέου, καὶ ἄλλου οὐδὲν ὠφεληθέντων ὑπ' ἰδίας ἀνδραγαθίας.

Τιμόθεον τὰ μὲν πρῶτα ἐπῄνουν Ἀθηναῖοι· ἐπεὶ δὲ ἔδοξεν ἁμαρτεῖν, ἃ ἔδοξεν, ἡ φθάνουσα αὐτὸν ἀνδραγαθία, ἀλλ' οὐδὲ ὀλίγον ἔσωσεν, οὐδὲ μὴν αἱ τῶν προγόνων ἀρεταί.

Θεμιστοκλῆς δὲ οὐδὲν ὤνητο, οὔτε ἐκ τῆς ναυμαχίας, τῆς περὶ Σαλαμῖνα, οὔτε ἐκ τῆς πρεσβείας τῆς εἰς Σπάρτην· λέγω δὲ ἣν ἐπρέσβευσε κλέπτων τὴν τῶν Ἀθηναίων τείχισιν. Ἔφυγε γὰρ κἀκεῖνος οὐ τὰς Ἀθήνας μόνον, ἀλλὰ καὶ τὴν Ἑλλάδα πᾶσαν. Καὶ Παυσανίαν δὲ τὸν Λακεδαιμόνιον οὐδὲν ὤνησεν ἡ ἐν Πλαταιαῖς νίκη· ὑπὲρ δὲ ὧν ἐν Βυζαντίῳ ἐκαινούργει, καὶ ἐνόσει Περσικὰ, ὑπὲρ τούτων διέφθειρε καὶ τὴν χάριν, τὴν ἐπὶ τοῖς πρώτοις. Φωκίωνα δὲ ἡ εὐφημία ἡ καλοῦσα αὐτὸν Χρηστὸν, οὐδὲν ὠφέλησεν, οὐδὲ τὰ πέντε καὶ ἑβδομήκοντα ἔτη, ἅπερ οὖν διεβίωσεν, οὐδὲν ἀδικήσας τοὺς Ἀθηναίους ἐν βραχεῖ· ἐπεὶ δὲ ἔδοξεν Ἀντιπάτρῳ τὸν Πειραιᾶ προδιδόναι, Ἀθηναῖοι κατέγνωσαν αὐτοῦ θάνατον.

# ΑΙΛΙΑΝΟΥ
## ΠΟΙΚΙΛΗΣ ΙΣΤΟΡΙΑΣ
### ΒΙΒΛΙΟΝ ΤΕΤΑΡΤΟΝ.

#### ΚΕΦ. ά.

Ἐθνῶν ἔθη διάφορα.

ΛΕΓΕΙ τις νόμος Λευκανῶν· ἐὰν ἡλίου δύναντος ἀφίκηται ξένος, καὶ παρελθεῖν ἐθελήσῃ εἰς στέγην τινὸς, εἶτα μὴ δέξηται τὸν ἄνδρα, ζημιοῦσθαι αὐτὸν καὶ ὑπέχειν δίκας τῆς κακοξενίας, ἐμοὶ δοκεῖ, καὶ τῷ ἀφικομένῳ, καὶ τῷ Ξενίῳ Διΐ.

Ὅτι Δαρδανεῖς, τοὺς ἀπὸ τῆς Ἰλλυρίδος, ἀκούω τρὶς λούεσθαι μόνον παρὰ πάντα τὸν ἑαυτῶν βίον, ἐξ ὠδίνων, καὶ γαμοῦντας, καὶ ἀποθανόντας.

Ἰνδοὶ οὔτε δανείζουσιν, οὔτε ἴσασι δανείζεσθαι. Ἀλλ' οὐδὲ θέμις, ἄνδρα Ἰνδὸν οὔτε ἀδικῆσαι, οὔτε ἀδικηθῆναι. Διὸ οὐδὲ ποιοῦνται συγγραφὴν, ἢ παρακαταθήκην.

Νόμος ἐστὶ Σαρδῷος· τοὺς ἤδη γεγηρακότας τῶν πατέρων οἱ παῖδες ῥοπάλοις τύπτοντες ἀνῄρουν, καὶ ἔθαπτον, αἰσχρὸν ἡγούμενοι τὸν λίαν ὑπέργηρων ὄντα ζῆν ἔτι, ὡς πολλὰ ἁμαρτάνοντα, τοῦ σώματος διὰ τὸ γῆρας πεπονηκότος. Τῶν δὲ αὐτῶν ἐστι νόμος τοιοῦτος· ἀργίας ἦσαν δίκαι, καὶ τὸν εἰκῇ ζῶντα ἔδει κρίνεσθαι, καὶ διδόναι τὰς εὐθύνας, ἀποδεικνύντα, ὅθεν ζῇ.

Ἀσσύριοι τὰς ὡραίας γάμου παρθένους ἀθροίσαντες εἴς τινα πόλιν, ἀγορὰν αὐτῶν προκηρύττουσι· καὶ ἕκαστος, ἣν ἂν πρίηται, ἀπάγει νύμφην.

Βύϐλιος ἀνὴρ ἐν ὁδῷ περιτυχὼν οὐδὲν, ὧν μὴ κατέθετο· ἀναιρεῖται·

ἀναιρεῖται· οὐ γὰρ ἡγεῖται τὸ τοιοῦτον εὕρημα, ἀλλὰ ἀδίκημα.

Δερβίκκαι τοὺς ὑπὲρ ἑβδομήκοντα ἔτη βεβιωκότας ἀποκτείνουσι, τοὺς μὲν ἄνδρας καταθύοντες, ἀπάγχοντες δὲ τὰς γυναῖκας.

Κόλχοι δὲ τοὺς νεκροὺς ἐν βύρσαις θάπτουσι, καὶ καταῤῥάψαντες, ἐκ τῶν δένδρων ἐξαρτῶσι.

Λυδοῖς ἦν ἔθος, πρὸ τοῦ συνοικεῖν τὰς γυναῖκας ἀνδράσιν ἑταιρεῖν· ἅπαξ δὲ καταζευχθείσας, σωφρονεῖν. Τὴν δὲ ἁμαρτάνουσαν εἰς ἕτερον, συγγνώμης τυχεῖν ἀδύνατον ἦν.

## ΚΕΦ. β'.

### Περὶ Νικοστράτου τοῦ κιθαριστοῦ διαφορᾶς πρὸς Λαόδοκον τὸν κιθαρῳδόν.

Νικόστρατον τὸν κιθαριστὴν, λόγος τις περίεισι λέγων, Λαοδόκῳ τῷ κιθαρῳδῷ διαφερόμενον ὑπὲρ μουσικῆς εἰπεῖν, ὅτι ἄρα ἐκεῖνος μέν ἐστιν ἐν μεγάλῃ τῇ τέχνῃ μικρὸς, αὐτὸς δὲ ἐν μικρᾷ μέγας. Οὐ μόνον δὲ ἄρα ἐστὶ σεμνὸν οἰκίαν αὐξῆσαι, καὶ πλοῦτον, ἀλλὰ γὰρ καὶ τέχνην, εἴ γέ τι δεῖ προσέχειν Νικοστράτῳ, εὖ καὶ καλῶς τοῦτο εἰπόντι.

## ΚΕΦ. γ'.

### Περὶ Πολυγνώτου, καὶ Διονυσίου γραφέων.

Πολύγνωτος ὁ Θάσιος, καὶ Διονύσιος ὁ Κολοφώνιος γραφέε ἤστην. Καὶ ὁ μὲν Πολύγνωτος ἔγραφε τὰ μεγάλα, καὶ ἐν τοῖς τελείοις εἰργάζετο τὰ ἆθλα· τὰ δὲ τοῦ Διονυσίου, πλὴν τοῦ μεγέθους, τὴν τοῦ Πολυγνώτου τέχνην ἐμιμεῖτο εἰς τὴν ἀκρίβειαν, πάθος, καὶ ἦθος, καὶ σχημάτων χρῆσιν, ἱματίων λεπτότητας καὶ τὰ λοιπά.

## ΚΕΦ. δ'.

### Νόμος Θηβαϊκὸς περὶ τεχνιτῶν, καὶ γραφέων.

Ἀκούω κεῖσθαι νόμον Θήβησι προστάττοντα τοῖς τεχνίταις,

καὶ τοῖς γραφικοῖς, καὶ τοῖς πλαστικοῖς, εἰς τὸ κρεῖττον τὰς εἰκόνας μιμεῖσθαι. Ἀπειλεῖ δὲ ὁ νόμος τοῖς εἰς τὸ χεῖρόν ποτε ἢ πλάσασιν, ἢ γράψασι, ζημίαν τὸ τίμημα δρᾷν.

## ΚΕΦ. έ.

### Τίνες εὐεργεσιῶν ἐμνήσθησαν.

Εὐεργεσιῶν ἀπεμνήσθησαν, καὶ χάριτας ὑπὲρ αὐτῶν ἀπέδοσαν, Θησεὺς μὲν Ἡρακλεῖ· Ἀϊδωνέως γὰρ αὐτὸν τοῦ Μολοττῶν βασιλέως δήσαντος, ὅτε ἐπὶ τὴν γυναῖκα αὐτοῦ ἦλθε μετὰ Πειρίθου ἁρπασόμενος αὐτὴν ὁ Θησεὺς (οὐχ ἑαυτῷ σπουδάζων τὸν γάμον, ἀλλὰ γὰρ τῇ τοῦ Πειρίθου χάριτι τοῦτο δράσας), Ἡρακλῆς εἰς τοὺς Μολοττοὺς ἀφικόμενος ἐῤῥύσατο τὸν Θησέα, καὶ διὰ ταῦτα ἐκεῖνος αὐτῷ βωμὸν ἀνέστησε. Καὶ οἱ Ἑπτὰ ἐπὶ Θήβαις Πρώνακτι καὶ ἐκεῖνοι χάριτες ἀπέδοσαν· διὰ γὰρ αὐτοὺς ἀπολομένου τοῦ Πρώνακτος, τὸν ἀγῶνα ἔθεσαν ἐπ' αὐτῷ, ὃν οἱ πολλοὶ οἴονται ἐπ' Ἀρχεμόρῳ τεθῆναι ἐξ ἀρχῆς. Καὶ Ἡρακλῆς δὲ χάριτας ἀπέδωκε Νέστορι· Νηλέως γὰρ αὐτὸν οὐ βουλομένου καθῆραι, οἱ μὲν ἄλλοι παῖδες σύμψηφοι ἦσαν τῷ Νηλεῖ, ὁ δὲ Νέστωρ οὐχί· καὶ διὰ παῦτα ἑλὼν τὴν πόλιν Ἡρακλῆς, τὸν μὲν Νηλέα, καὶ τοὺς ἄλλους παῖδας αὐτοῦ ἀπέκτεινεν, οὐ μόνον δὲ ἐφείσατο Νέστορος, ἀλλὰ καὶ τὴν βασιλείαν τὴν πατρῴαν ἔχειν ἔδωκε. Καὶ Ἀθηναῖοι δὲ πανδημεὶ τοῖς Ἡρακλέους ἀπογόνοις ἀπέτισαν χάριτας· ἐπεὶ γὰρ καὶ ἐκείνων ὁ προπάτωρ εὐεργέτης ἐγένετο τοῦ Θησέως, οἱ Ἀθηναῖοι διὰ ταῦτα κατήγαγον αὐτοὺς εἰς Πελοπόννησον. Καὶ Ἡρακλῆς δὲ ἀπέδωκε χάριτας τοῖς ἐκ Κλεωνῶν τριακοσίοις καὶ ἑξήκοντα· τούτοις γὰρ ἐπὶ τοὺς Μολιονίδας συστρατεύσασιν αὐτῷ, καὶ ἀποθανοῦσιν εὖ καὶ καλῶς, ἀπέστη τῶν ἐν Νεμέᾳ τιμῶν, ἃς ἔλαβε παρὰ τῶν Νεμέων, ὅτε τὸν ἐπιχωριάζοντα αὐτοῖς, καὶ λυμαινόμενον αὐτῶν τὰ ἔργα, ἐχειρώσατο λέοντα. Καὶ Μενεσθεὺς δὲ ὁ Πετεῶος περὶ τοὺς Τυνδαρίδας οὐκ ἐγένετο ἀχάριστος· ἐκβαλόντες γὰρ ἐκεῖνοι τοὺς Θησέως υἱοὺς,

καὶ τὴν μητέρα τὴν Θησέως, Αἴθραν, αἰχμάλωτον λαβόντες, ἔδωκαν τὴν βασιλείαν τῷ Μενεσθεῖ. Διὰ ταῦτα πρῶτος ὁ Μενεσθεὺς Ἄνακτάς τε, καὶ Σωτῆρας ὠνόμασε. Καὶ Δαρεῖος δὲ ὁ Ὑστάσπου παρὰ Συλοσῶντος λαβὼν ἱμάτιον, ἔτι ἰδιώτης ὢν, ὅτε ἐγκρατὴς ἐγένετο τῆς βασιλείας, ἔδωκεν αὐτῷ τῆς πατρίδος τὴν ἀρχὴν, τῆς Σάμου. Χρύσεα χαλκείων, φαίη τις ἄν.

## ΚΕΦ. ς'.

### Χρησμὸς ὑπὲρ τῶν Ἀθηναίων.

Οτι, ἡνίκα ἐβούλοντο Λακεδαιμόνιοι τὴν Ἀθηναίων ἀφανίσαι πόλιν, ἠρώτησαν τὸν Θεόν· καὶ ἀπεκρίνατο, τὴν κοινὴν ἑστίαν τῆς Ἑλλάδος μὴ κινεῖν.

## ΚΕΦ. ζ'.

### Ὅτι ἐνίοτε μήτε ἐν θανάτῳ κακῶν ἐστιν ἀναπαύσασθαι, καὶ περὶ Παυσανίου.

Οὐκ ἦν ἄρα τοῖς κακοῖς οὐδὲ τὸ ἀποθανεῖν κέρδος, ἐπεὶ μηδὲ τότε ἀναπαύονται· ἀλλ' ἢ παντελῶς ἀμοιροῦσι ταφῆς, ἢ καὶ, ἐὰν φθάσωσι ταφέντες, ὅμως καὶ ἐκ τῆς τελευταίας τιμῆς, καὶ τοῦ κοινοῦ πάντων σωμάτων ὅρμου, καὶ ἐκεῖθεν ἐκπίπτουσι. Λακεδαιμόνιοι γοῦν Παυσανίαν μηδίσαντα, οὐ μόνον λιμῷ ἀπέκτειναν, ἀλλὰ γὰρ καὶ τὸν νεκρὸν ἐξέβαλον αὐτοῦ ἐκτὸς τῶν ὅρων, φησὶν Ἐπιτιμίδης.

## ΚΕΦ. ή.

### Περὶ μεταβολῆς τύχης.

Εἶτα τίς οὐκ οἶδε τὰς τῆς τύχης μεταβολὰς ὀξυῤῥόπους καὶ ταχείας; Λακεδαιμόνιοι γοῦν Θηβαίων ἄρξαντες, αὐτοὶ πάλιν ὑπ' ἐκείνων οὕτως ἐχειρώθησαν, ὡς τοὺς Θηβαίους μὴ μόνον εἰς Πελοπόννησον ἀφικέσθαι, ἀλλὰ γὰρ καὶ τὸν Εὐρώταν διελθεῖν, καὶ τὴν τῶν Λακεδαιμονίων τεμεῖν χώραν· καὶ ὀλίγου καὶ τὴν πόλιν κατέλαβον, εἰ μὴ Ἐπαμι-

νώνδας ἔδεισε, μὴ Πελοποννήσιοι πάντες συμπνεύσωσι, καὶ ὑπὲρ τῆς Σπάρτης ἀγωνίσωνται.

Διονύσιος ὁ τύραννος, καταστὰς ὑπὸ Καρχηδονίων εἰς πολιορκίαν, οὐδεμιᾶς αὐτῷ σωτηρίας ὑποφαινομένης, αὐτὸς μὲν ἄθυμος ἦν, καὶ ὑπενενόει δρασμόν. Τῶν δὲ ἑταίρων αὐτῷ τις, Ἑλλοπίδης ὄνομα, προσελθὼν ἔφατο, Ὦ Διονύσιε, καλὸν ἐντάφιον ἡ τυραννίς. Αἰδεσθεὶς οὖν ἐπὶ τούτῳ ἀνεῤῥώσθη τὴν γνώμην, καὶ σὺν ὀλίγοις παμπόλλους μυριάδας κατηγωνίσατο, ἀλλὰ καὶ τὴν ἀρχὴν μείζω ἐποίησε.

Καὶ Ἀμύντας δὲ ὁ Μακεδὼν, ἡττηθεὶς ὑπὸ τῶν προσοίκων βαρβάρων, καὶ ἀποβαλὼν τὴν ἀρχὴν, γνώμην μὲν εἶχεν ὡς καὶ ἀπολείψων τὴν χώραν τελέως· ἠγάπα γὰρ εἰ δυνηθείη διασῶσαι αὐτὸν γοῦν μόνον. Ἐπεὶ δὲ ἐν τούτοις ἦν, ἔφατό τις πρὸς αὐτὸν τὴν Ἑλλοπίδου φωνήν. Καὶ μικρὸν χῶρον καταλαβὼν, καὶ ἀθροίσας ὀλίγους στρατιώτας, ἀνεκτήσατο τὴν ἀρχήν.

Ὅτι τὸν Ὦχον οἱ Αἰγύπτιοι τῇ ἐπιχωρίῳ φωνῇ Ὄνον ἐκάλουν, τὸ νωθὲς αὐτοῦ τῆς γνώμης ἐκ τῆς ἀσθενείας τοῦ ζώου διαβάλλοντες. Ἀνθ' ὧν ἐκεῖνος τὸν Ἆπιν πρὸς βίαν κατέθυσεν Ὄνῳ.

Δίων ὁ Ἱππαρίνου, φυγὰς ὢν ὑπὸ Διονυσίου, μετὰ δισχιλίων στρατιωτῶν αὖθις κατεπολέμησεν, καὶ ὃ πρότερον αὐτὸς ἦν, τοῦτο ἐκεῖνον εἰργάσατο, φυγάδα.

Συρακούσιοι δὲ ἐννέα τριήρεσι πρὸς ἑκατὸν καὶ πεντήκοντα τὰς τῶν Καρχηδονίων παραταξάμενοι, κατὰ πολὺ ἐκράτησαν.

## ΚΕΦ. Θ'.

### Περὶ Πλάτωνος ἀτυφίας, καὶ Ἀριστοτέλους ἀχαριστίας.

Πλάτων ὁ Ἀρίστωνος ἐν Ὀλυμπίᾳ συνεσκήνωσεν ἀγνῶσιν ἀνθρώποις, καὶ αὐτὸς ὢν αὐτοῖς ἀγνώς. Οὕτως δὲ αὐτοὺς ἐχειρώσατο, καὶ ἀνεδήσατο τῇ συνουσίᾳ, συνεστιώμενός τε αὐτοῖς ἀφελῶς καὶ συνδιημερεύων ἐν πᾶσιν, ὡς ὑπερησθῆναι τοὺς

ξένους τῇ τοῦ ἀνδρὸς συντυχίᾳ. Οὔτε δὲ Ἀκαδημίας ἐμέμνητο, οὔτε Σωκράτους· αὐτόγε μὴν τοῦτο ἐνεφάνισεν αὐτοῖς, ὅτι καλεῖται Πλάτων. Ἐπεὶ δὲ ἦλθον εἰς τὰς Ἀθήνας, ὑπεδέξατο αὐτοὺς εὖ μάλα φιλοφρόνως. Καὶ οἱ ξένοι, Ἄγε, εἶπον, ὦ Πλάτων, ἐπίδειξον ἡμῖν καὶ τὸν ὁμώνυμόν σου τὸν Σωκράτους ὁμιλητὴν, καὶ ἐπὶ τὴν Ἀκαδημίαν ἥγησαι τὴν ἐκείνου, καὶ ἐπισύστησον τῷ ἀνδρὶ, ἵνα τι καὶ αὐτοῦ ἀπολαύσωμεν. Ὁ δὲ, ἠρέμα ὑπομειδιάσας, ὥσπερ οὖν καὶ εἰώθει, Ἀλλ' ἐγώ, φησιν, αὐτὸς ἐκεῖνός εἰμι. Οἱ δὲ ἐξεπλάγησαν, εἰ τὸν ἄνδρα ἔχοντες μεθ' ἑαυτῶν τὸν τοσοῦτον ἠγνόησαν, ἀτύφως αὐτοῦ συγγενομένου καὶ ἀνεπιτηδεύτως αὐτοῖς, καὶ δείξαντος, ὅτι δύναται καὶ ἄνευ τῶν συνήθων λόγων χειροῦσθαι τοὺς συνόντας.

Ὅτι Πλάτων τὸν Ἀριστοτέλη ἐκάλει Πῶλον. Τί δε ἐβούλετο αὐτῷ τὸ ὄνομα ἐκεῖνο; Δηλονότι ὡμολόγηται, τὸν πῶλον, ὅταν κορεσθῇ τοῦ μητρῴου γάλακτος, λακτίζειν τὴν μητέρα. Ἠνίττετο οὖν καὶ Πλάτων ἀχαριστίαν τινὰ τοῦ Ἀριστοτέλους. Καὶ γὰρ ἐκεῖνος τὰ μέγιστα εἰς φιλοσοφίαν παρὰ Πλάτωνος λαβὼν σπέρματα, καὶ ἐφόδια, εἶτα ὑποπλησθεὶς τῶν ἀρίστων, καὶ ἀφηνιάσας, ἀντῳκοδόμησεν αὐτῷ διατριβὴν καὶ ἀντιπαρεξήγαγεν ἐν τῷ περιπάτῳ ἑταίρους ἔχων καὶ ὁμιλητὰς, καὶ ἐγλίχετο ἀντίπαλος εἶναι Πλάτωνι.

## ΚΕΦ. ί.

Πῶς εἶχε πρὸς τὸν δῆμον τῶν Ἀθηναίων ὁ Περικλῆς.

Εἶτα οὐκ ἦν τοῦ δήμου τῶν Ἀθηναίων θεραπευτικὸς, ὁ Ξανθίππου Περικλῆς; Ἐμοὶ μὲν δοκεῖ. Ὁσάκις γοῦν ἔμελλεν εἰς τὴν ἐκκλησίαν παριέναι, ηὔχετο μηδὲν αὐτῷ ῥῆμα ἐπιπολάσαι τοιοῦτον, ὅπερ οὖν ἔμελλεν ἐκτραχύνειν τὸν δῆμον, πρόσαντες αὐτῷ γενόμενον, καὶ ἀβούλητον δόξαν.

## ΚΕΦ. ιά.

### Περὶ Σωκράτους φιλοκαλίας.

Διογένης ἔλεγε καὶ τὸν Σωκράτην αὐτὸν τρυφῆσαι· περιειργάσθαι γὰρ καὶ τῷ οἰκιδίῳ, καὶ τῷ σκιμποδίῳ, καὶ ταῖς βλαύταις δὲ αἵσπερ οὖν ἐχρῆτο Σωκράτης ἔστιν ὅτε.

## ΚΕΦ. ιϐ'.

### Περὶ Ἑλένης εἰκόνος ὑπὸ Ζεύξιδος γραφείσης.

Ὁ Ζεῦξις ὁ Ἡρακλεώτης, ὅτε τὴν Ἑλένην ἔγραψε, πολλὰ ἐχρηματίσατο ἐκ τούτου τοῦ γράμματος· οὐ γὰρ εἰκῆ, καὶ ὡς ἔτυχε, τοὺς βουλομένους ἀνέδην εἴα ὁρᾷν αὐτὴν, ἀλλ' ἔδει ῥητὸν ἀργύριον καταϐαλεῖν, εἶτα οὕτω θεάσασθαι. Ὡς οὖν μίσθωμα τοῦ Ἡρακλεώτου λαμϐάνοντος ὑπὲρ τῆς γραφῆς, ἐκάλουν οἱ τότε Ἕλληνες ἐκείνην τὴν Ἑλένην, Ἑταίραν.

## ΚΕΦ. ιγ'.

### Ἐπικούρου γνώμη, καὶ εὐδαιμονία.

Ἐπίκουρος ὁ Γαργήττιος ἔλεγεν, Ὧ ὀλίγον οὐχ ἱκανὸν, ἀλλὰ τούτῳ γε οὐδὲν ἱκανόν. Ὁ αὐτὸς ἔλεγεν ἑτοίμως ἔχειν καὶ τῷ Διὶ περὶ εὐδαιμονίας διαγωνίζεσθαι, μάζαν ἔχων καὶ ὕδωρ. Ταῦτ' οὖν ἐννοῶν ὁ Ἐπίκουρος, τί ϐουλόμενος ἐπῄνει τὴν ἡδονὴν, εἰσόμεθα ἄλλοτε.

## ΚΕΦ. ιδ'.

### Περὶ χρημάτων φειδοῦς καὶ φυλακῆς.

Πολλάκις τὰ κατ' ὀϐολὸν μετὰ πολλῶν πόνων συναχθέντα χρήματα, κατὰ τὸν Ἀρχίλοχον, εἰς πόρνης γυναικὸς ἔντερον καταίρουσιν. Ὥσπερ γὰρ ἐχῖνον λαϐεῖν μὲν ῥάδιον, συνέχειν δὲ χαλεπὸν, οὕτω καὶ τὰ χρήματα. Καὶ Ἀναξαγόρας ἐν τῷ περὶ βασιλείας φησὶ, Χαλεπὸν χρήματα συναγείρασθαι, χαλεπώτερον δὲ φυλακὴν τούτοις περιθεῖναι.

## ΚΕΦ. ιέ.

### Περί τινων ἐν νόσῳ μουσικὴν, καὶ ἄλλα μεμαθηκότων, καὶ ἰσχυρῶν γεγενημένων.

Ἱέρωνά φασι τὸν Σικελίας τύραννον τὰ πρῶτα ἰδιώτην εἶναι, καὶ ἀνθρώπων ἀμουσότατον, καὶ τὴν ἀγροικίαν ἀλλὰ μηδὲ κατ' ὀλίγον τοῦ ἀδελφοῦ διαφέρειν τοῦ Γέλωνος· ἐπεὶ δὲ αὐτῷ συνηνέχθη νοσῆσαι, μουσικώτατος ἀνθρώπων ἐγένετο, τὴν σχολὴν τὴν ἐκ τῆς ἀῤῥωστίας εἰς ἀκούσματα πεπαιδευμένα καταθέμενος. Ῥωσθεὶς οὖν Ἱέρων συνῆν Σιμωνίδῃ τῷ Κείῳ, καὶ Πινδάρῳ τῷ Θηβαίῳ, καὶ Βακχυλίδῃ τῷ Ἰουλιήτῃ. Ὁ δὲ Γέλων ἄνθρωπος ἄμουσος.

Μουσικώτατον δὲ λέγουσι, καὶ Πτολεμαῖον γενέσθαι τὸν δεύτερον, καὶ αὐτὸν νοσήσαντα. Λέγει δὲ καὶ Πλάτων τὸν Θεάγην φιλοσοφῆσαι δι' οὐδὲν ἄλλο, ἢ διὰ τὴν νοσοτροφίαν· εἴργουσα γὰρ αὐτὸν ἐκείνη τῶν πολιτικῶν, συνήλασεν εἰς τὸν τῆς σοφίας ἔρωτα. Τίς δὲ οὐκ ἂν νοῦν ἔχων συνηύξατο καὶ Ἀλκιβιάδῃ νόσον, καὶ Κριτίᾳ, καὶ Παυσανίᾳ τῷ Λακεδαιμονίῳ, καὶ ἄλλοις; Ἀλκιβιάδῃ μὲν καὶ Κριτίᾳ, ἵνα μὴ, ἀποδράντες Σωκράτους, ὁ μὲν ὑβριστὴς γένηται, καὶ ποτὲ μὲν φιλολάκων, ποτὲ δὲ βοιωτιάζῃ τὸν τρόπον, καὶ αὖ πάλιν θετταλίζῃ, καὶ τοῖς Μήδων καὶ Περσῶν ἀρέσκηται, ἐν Φαρναβάζου γενόμενος· τυραννικώτατος δὲ καὶ φονικώτατος ὁ Κριτίας γενόμενος, καὶ τὴν πατρίδα ἐλύπησε πολλὰ, καὶ αὐτὸς μισούμενος, τὸν βίον κατέστρεψε.

Καὶ Στράτων δὲ ὁ Κοῤῥάγου εἰς δέον ἔοικε νοσῆσαι· εὖ γὰρ γένους ἥκων, εὖ δὲ καὶ πλούτου, οὐκ ἐγυμνάζετο. Καμὼν δὲ τὸν σπλῆνα, καὶ θεραπείας δεηθεὶς τῆς ἐκ τῶν γυμνασίων, τὰ μὲν πρῶτα, ὅσον εἰς τὸ ὑγιᾶναι, ἐχρῆτο αὐτοῖς· χωρῶν δὲ εἰς τὸ πρόσω τῆς τέχνης, καὶ ἐν ἔργῳ τιθέμενος αὐτὴν, Ὀλυμπιάσι μὲν ἐνίκησεν ἡμέρᾳ μιᾷ πάλην, καὶ παγκράτιον, καὶ τῇ ἑξῆς Ὀλυμπιάδι, καὶ ἐν Νεμέᾳ δὲ, καὶ Πυθοῖ, καὶ Ἰσθμοῖ.

Δημοκράτης ὁ παλαιστὴς, καὶ αὐτὸς νοσήσας τοὺς πόδας, παριὼν εἰς τοὺς ἀγῶνας, καὶ στὰς ἐν τῷ σταδίῳ, περιγράφων ἑαυτῷ κύκλον, προσέταττε τοῖς ἀντιπαλαισταῖς ἔξω τῆς γραμμῆς αὐτὸν προέλκειν· οἱ δὲ ἡττῶντο ἀδυνατοῦντες· ὁ δὲ, εὖ διαβὰς ἐν τῇ στάσει καὶ ἐγκρατῶς, στεφανούμενος ἀπῄει.

### ΚΕΦ. ιϛ'.

### Παλαιῶν τινων ἰδιότητες.

Ἐὰν προσέχῃ τις Καλλίᾳ, φιλοπότην αὐτὸν ἐργάσεται ὁ Καλλίας· ἐὰν Ἰσμηνίᾳ, αὐλητήν· ἀλαζόνα, ἐὰν Ἀλκιβιάδῃ· ὀψοποιὸν, ἐὰν Κρωβύλῳ· δεινὸν εἰπεῖν, ἐὰν Δημοσθένει· στρατηγικὸν, ἐὰν Ἐπαμινώνδᾳ· μεγαλόφρονα, ἐὰν Ἀγησιλάῳ· καὶ χρηστὸν, ἐὰν Φωκίωνι· καὶ δίκαιον, ἐὰν Ἀριστείδῃ· καὶ σοφὸν, ἐὰν Σωκράτει.

### ΚΕΦ. ιζ'.

### Πυθαγόρου θαυμάσια καὶ δόξαι.

Ἐδίδασκε Πυθαγόρας τοὺς ἀνθρώπους, ὅτι κρειττόνων γεγένηται σπερμάτων, ἢ κατὰ τὴν φύσιν τὴν θνητήν· τῆς γὰρ αὐτῆς ἡμέρας ὤφθη καὶ κατὰ τὴν αὐτὴν ὥραν ἐν Μεταποντίῳ, φησὶ, καὶ ἐν Κρότωνι. Καὶ ἐν Ὀλυμπίᾳ δὲ παρέφηνε χρυσοῦν τὸν ἕτερον τῶν μηρῶν. Καὶ Μυλλίαν δὲ τὸν Κροτωνιάτην ὑπέμνησεν, ὅτι Μίδας ὁ Γορδίου ἐστὶν ὁ Φρύξ. Καὶ τὸν ἀετὸν δὲ τὸν λευκὸν κατέψησεν ὑπομείναντα αὐτόν· Ἀλλὰ καὶ ὑπὸ τοῦ Κώσα τοῦ ποταμοῦ διαβαίνων προσερρήθη, τοῦ ποταμοῦ εἰπόντος αὐτῷ, Χαῖρε Πυθαγόρα.

Ἔλεγε δὲ ἱερώτατον εἶναι τὸ τῆς Μαλάχης φύλλον. Ἔλεγεν, ὅτι πάντων σοφώτατον ὁ Ἀριθμός· δεύτερος δὲ, ὁ τοῖς πράγμασι τὰ ὀνόματα θέμενος. Καὶ τὸν σεισμὸν ἐγενεαλόγει οὐδὲν ἄλλο εἶναι, ἢ σύνοδον τῶν τεθνεώτων. Ἡ δὲ Ἶρις, ἔφασκεν, ὡς αὐγὴ τοῦ ἡλίου ἐστί. Καὶ ὁ πολλάκις ἐμπίπτων τοῖς ὠσὶν ἦχος, φωνὴ τῶν κρειττόνων. Οὐχ οἷόν τε δὲ ἦν διαπορῆσαι ὑπέρ τινος αὐτῷ, ἢ τοῖς λεχθεῖσί τι προσερωτῆσαι, ἀλλ', ὡς

χρησμῷ θείῳ, οὕτως οἱ τότε προσεῖχον τοῖς λεγομένοις ὑπ' αὐτοῦ. Ἐπιστρεφομένου δὲ τὰς πόλεις αὐτοῦ, διέῤῥει λόγος, ὅτι Πυθαγόρας ἀφίκετο οὐ διδάξων, ἀλλ' ἰατρεύσων.

Προσέταττε δὲ ὁ αὐτὸς Πυθαγόρας καρδίας ἀπέχεσθαι, καὶ ἀλεκτρυόνος λευκοῦ, καὶ τῶν θνησειδίων παντὸς μᾶλλον, καὶ μὴ χρῆσθαι βαλανείῳ, μηδὲ βαδίζειν τὰς λεωφόρους· ἄδηλον γὰρ εἰ καθαρεύουσι καὶ αὐτὰ ἐκεῖνα.

## ΚΕΦ. ιή.

### Περὶ αἰδοῦς καὶ τιμῆς τοῦ Διονυσίου πρὸς Πλάτωνα.

Ὅτε κατῆλθε Πλάτων ἐν Σικελίᾳ κλητὸς, πολλὰ ἐπὶ πολλοῖς ἐπιστείλαντος τοῦ Διονυσίου, καὶ ἀνήγαγεν αὐτὸν ἐπὶ τὸ ἅρμα ὁ νέος Διονύσιος, αὐτὸς μὲν ἡνιοχῶν, παραιβάτην δὲ ποιησάμενος τὸν Ἀρίστωνος, τότε δή φασι Συρακούσιον ἄνδρα, χαρίεντα, καὶ τῶν Ὁμήρου μὴ ἀπαίδευτον, ἡσθέντα τῇ ὄψει ταύτῃ, ἐπειπεῖν τὰ ἐξ Ἰλιάδος ἐκεῖνα, παρατρέψαντα ὀλίγον·

. . . . . Μέγα δ' ἔβραχε φήγινος ἄξων
Βριθοσύνῃ· δεινὸν γὰρ ἄγεν βροτὸν, ἄνδρα τ' ἄριστον.

Ὅτι ὑπόπτης ὢν εἰς πάντας ὁ Διονύσιος, ὅμως εἰς Πλάτωνα τοσαύτην ἔσχεν αἰδῶ, ὡς ἐκεῖνον μόνον εἰσιέναι πρὸς αὐτὸν μὴ ἐρευνώμενον, καίτοι Δίωνος αὐτὸν ἐπιστάμενος ἑταῖρον εἰς τὰ ἔσχατα εἶναι.

## ΚΕΦ. ιθ'.

### Ὅτι παιδείαν ἐτίμησε Φίλιππος, καὶ περὶ Ἀριστοτέλους.

Φίλιππος ὁ Μακεδὼν οὐ μόνον ἐλέγετο τὰ πολέμια εἶναι ἀγαθὸς, καὶ εἰπεῖν δεινὸς, ἀλλὰ καὶ παιδείαν ἀνδρειότατα ἐτίμα. Ἀριστοτέλει γοῦν χορηγήσας πλοῦτον ἀνενδεῆ, αἴτιος γέγονε πολλῆς καὶ ἄλλης πολυπειρίας, ἀτὰρ οὖν καὶ τῆς γνώσεως τῆς κατὰ τὰ ζῶα· καὶ τὴν ἱστορίαν αὐτῶν ὁ τοῦ Νικομάχου διὰ τὴν ἐκ Φιλίππου περιουσίαν ἐκαρπώσατο. Καὶ Πλάτωνα δὲ ἐτίμησε, καὶ Θεόφραστον.

## ΚΕΦ. κ'.

### Περὶ Δημοκρίτου, καὶ τῆς περὶ αὐτοῦ, Θεοφράστου, Ἱπποκράτους, καὶ ἄλλων δόξης.

Δημόκριτον τὸν Ἀβδηρίτην λόγος ἔχει τά τε ἄλλα γενέσθαι σοφὸν, καὶ δὴ καὶ ἐπιθυμῆσαι λαθεῖν, καὶ ἐν ἔργῳ θέσθαι σφόδρα πάνυ τοῦτο· διὰ ταῦτά τοι καὶ πολλὴν ἐπῄει γῆν. Ἧκεν οὖν καὶ πρὸς τοὺς Χαλδαίους, εἰς Βαβυλῶνα, καὶ πρὸς τοὺς Μάγους, καὶ τοὺς Σοφιστὰς τῶν Ἰνδῶν. Τὴν παρὰ τοῦ Δαμασίππου τοῦ πατρὸς οὐσίαν εἰς τρία μέρη νεμηθεῖσαν τοῖς ἀδελφοῖς τοῖς τρισὶ, τ' ἀργύριον μόνον λαβὼν ἐφόδιον τῆς ὁδοῦ, τὰ λοιπὰ τοῖς ἀδελφοῖς εἴασε. Διὰ ταῦτά τοι καὶ Θεόφραστος αὐτὸν ἐπῄνει, ὅτι περιῄει κρείττονα ἀγερμὸν ἀγείρων Μενελάου, καὶ Ὀδυσσέως. Ἐκεῖνοι μὲν γὰρ ἠλῶντο, αὐτόχρημα Φοινίκων ἐμπόρων μηδὲν διαφέροντες· χρήματα γὰρ ἤθροιζον, καὶ τοῦ περίπλου ταύτην εἶχον τὴν πρόφασιν.

Ὅτι οἱ Ἀβδηρῖται ἐκάλουν τὸν Δημόκριτον Φιλοσοφίαν, τὸν δὲ Πρωταγόραν, Λόγον. Κατεγέλα δὲ πάντων ὁ Δημόκριτος, καὶ ἔλεγεν αὐτοὺς μαίνεσθαι· ὅθεν καὶ Γελασῖνον αὐτὸν ἐκάλουν οἱ πολῖται. Λέγουσι δὲ οἱ αὐτοὶ τὸν Ἱπποκράτην περὶ τὴν πρώτην ἔντευξιν ὑπὲρ τοῦ Δημοκρίτου δόξαν λαβεῖν, ὡς μαινομένου· προϊούσης δὲ αὐτοῖς τῆς συνουσίας, εἰς ὑπερβολὴν θαυμάσαι τὸν ἄνδρα. Λέγουσι δὲ, Δωριέα ὄντα τὸν Ἱπποκράτην, ἀλλ' οὖν τὴν τοῦ Δημοκρίτου χάριν, τῇ Ἰάδι φωνῇ συγγράψαι τὰ συγγράμματα.

## ΚΕΦ. κά.

### Παιδικὰ Σωκράτους, καὶ Πλάτωνος.

Ὅτι παιδικὰ ἐγένετο, Σωκράτους μὲν Ἀλκιβιάδης, Πλάτωνος δὲ Δίων. Ὁ μέν τοι Δίων καὶ ἀπώνητό τι τοῦ ἐραστοῦ.

## ΚΕΦ. κβ'.

### Περὶ Ἀθηναίων ἀβροσύνης.

Οἱ πάλαι Ἀθηναῖοι ἁλουργῆ μὲν ἠμπείχοντο ἱμάτια, ποικίλους δὲ ἐνέδυνον χιτῶνας· κορύμβους δὲ ἀναδούμενοι τῶν ἐν τῇ κεφαλῇ τριχῶν, χρυσοῦς ἐνείροντες αὐταῖς τέττιγας, καὶ κόσμον ἄλλον πρόσθετον περιαπτόμενοι χρυσοῦ, προήεσαν. Καὶ ὀκλαδίας αὐτοῖς δίφρους οἱ παῖδες ὑπέφερον, ἵνα μὴ καθίζωσιν ἑαυτοὺς εἰκῇ, καὶ ὡς ἔτυχε. Δῆλον δὲ, ὅτι καὶ ἡ τράπεζα ἦν αὐτοῖς, καὶ ἡ λοιπὴ δίαιτα ἀβροτέρα. Τοιοῦτοι δὲ ὄντες τὴν ἐν Μαραθῶνι μάχην ἐνίκησαν.

## ΚΕΦ. κγ'.

### Περί τινων ἀσώτων.

Ὅτι Περικλέα, καὶ Καλλίαν τὸν Ἱππονίκου, καὶ Νικιαν τὸν Περγασῆθεν, τὸ ἀσωτεύεσθαι, καὶ ὁ πρὸς ἡδονὴν βίος, εἰς ἀπορίαν περιέστησεν· ἐπεὶ γὰρ ἐπέλιπε τὰ χρήματα αὐτοὺς, οἱ τρεῖς κώνειον, τελευταίαν πρόποσιν, ἀλλήλοις προπιόντες, ὥσπεροῦν ἐκ συμποσίου ἀνέλυσαν.

## ΚΕΦ. κδ'.

### Πῶς ἂν ἡ φιλία διαμένοι μάλιστα.

Λεωπρέπης ὁ Κεῖος, ὁ τοῦ Σιμωνίδου πατὴρ, ἔτυχέ ποτε ἐν παλαίστρᾳ καθήμενος· εἶτα μειράκια πρὸς ἀλλήλους οἰκείως διακείμενα ἤρετο τὸν ἄνδρα, πῶς ἂν αὐτοῖς ἡ φιλία διαμένοι μάλιστα. Ὁ δὲ εἶπεν, Ἐὰν ταῖς ἀλλήλων ὀργαῖς ἐξίστασθε, καὶ μὴ ὁμόσε χωροῦντες τῷ θυμῷ, εἶτα παροξύνητε ἀλλήλους κατ' ἀλλήλων.

## ΚΕΦ. κέ.

### Περὶ Θρασύλλου παραδόξου μανίας.

Θράσυλλος ὁ Αἰξωνεὺς παράδοξον καὶ καινὴν ἐνόσησε μανίαν. Ἀπολιπὼν γὰρ τὸ ἄστυ, καὶ κατελθὼν εἰς τὸν Πειραιᾶ, καὶ ἐνταῦθα οἰκῶν, τὰ πλοῖα τὰ καταίροντα ἐν αὐτῷ πάντα

ἑαυτοῦ ἐνόμιζεν εἶναι, καὶ ἀπεγράφετο αὐτὰ, καὶ αὖ πάλιν ἐξέπεμπε, καὶ τοῖς περισωζομένοις, καὶ εἰσιοῦσιν εἰς τὸν λιμένα ὑπερέχαιρε· χρόνους δὲ διετέλεσε πολλοὺς συνοικῶν τῷ ἀῤῥωστήματι τούτῳ. Ἐκ Σικελίας δὲ ἀναχθεὶς ὁ ἀδελφὸς αὐτοῦ, παρέδωκεν αὐτὸν ἰατρῷ ἰάσασθαι· καὶ ἐπαύσατο τῆς νόσου οὕτως. Ἐμέμνητο δὲ πολλάκις τῆς ἐν μανίᾳ διατριβῆς, καὶ ἔλεγε μηδέποτε ἡσθῆναι τοσοῦτον, ὅσον τότε ἥδετο ἐπὶ ταῖς μηδὲν αὐτῷ προσηκούσαις ναυσὶν ἀποσωζομέναις.

### ΚΕΦ. κϛʹ.

### Περὶ Ἠλέκτρας.

Ξάνθος, ὁ ποιητὴς τῶν μελῶν (ἐγένετο δὲ οὗτος πρεσβύτερος Στησιχόρου τοῦ Ἱμεραίου), λέγει τὴν Ἠλέκτραν τοῦ Ἀγαμέμνονος οὐ τοῦτο ἔχειν τοὔνομα πρῶτον, ἀλλὰ Λαοδίκην. Ἐπεὶ δὲ Ἀγαμέμνων ἀνῃρέθη, τὴν δὲ Κλυταιμνήστραν ὁ Αἴγισθος ἔγημε, καὶ ἐβασίλευσεν, ἄλεκτρον οὖσαν, καὶ καταγηρῶσαν παρθένον, Ἀργεῖοι Ἠλέκτραν ἐκάλεσαν, διὰ τὸ ἀμοιρεῖν ἀνδρὸς, καὶ μὴ πεπειρᾶσθαι λέκτρου.

### ΚΕΦ. κζʹ.

### Περὶ Παμφάους δώρου, καὶ Διοτίμου.

Ὅτι Παμφάης ὁ Πριηνεὺς Κροίσῳ τῷ Λυδῷ, τοῦ πατρὸς αὐτοῦ περιόντος, τριάκοντα μνᾶς ἐδωρήσατο. Παραλαβὼν δὲ τὴν ἀρχὴν, μεστὴν ἅμαξαν ἀργυρίου ἀπέπεμψεν αὐτῷ.

Ὅτι Διογένης, λαβὼν παρὰ Διοτίμου τοῦ Καρυστίου νόμισμα ὀλίγον, ἔφη·

> Σοὶ δὲ θεοὶ τόσα δοῖεν, ὅσα φρεσὶ σῇσι μενοινᾷς,
> Ἄνδρα τε, καὶ οἶκον.

Ἐδόκει δέ πως ὁ Διότιμος μαλθακώτερος εἶναι.

### ΚΕΦ. κηʹ.

### Ὅτι ὁ Φερεκύδης φθειρίασιν ἔπαθε δι᾽ ἀθεότητα.

Φερεκύδης ὁ Σύριος τὸν βίον ἀλγεινότατον ἀνθρώπων κατ-

έστρεψε, τοῦ παντὸς αὐτῷ σώματος ὑπὸ τῶν φθειρῶν ἀναλωθέντος· καὶ γενομένης αἰσχρᾶς αὐτῷ τῆς ὄψεως, τὴν ἐκ τῶν συνήθων ἐξέκλινε συνουσίαν. Ὁπότε δέ τις προσελθὼν ἐπυνθάνετο, ὅπως διάγοι; διὰ τῆς ὀπῆς, τῆς κατὰ τὴν θύραν, διείρας τὸν δάκτυλον, ψιλὸν γεγονότα τῆς σαρκὸς, ἐπέλεγεν, οὕτω διακεῖσθαι καὶ τὸ πᾶν αὐτοῦ σῶμα. Λέγουσι δὲ Δηλίων παῖδες τὸν θεὸν τὸν ἐν Δήλῳ, μηνίσαντα αὐτῷ, τοῦτο ποιῆσαι. Καθήμενον γὰρ ἐν Δήλῳ μετὰ τῶν μαθητῶν, ἄλλα τε πολλά φασι περὶ τῆς ἑαυτοῦ σοφίας εἰπεῖν, καὶ δὴ καὶ τοῦτο, μηδενὶ τῶν θεῶν θῦσαι, καὶ ὅμως οὐδὲν ἧττον ἡδέως βεβιωκέναι καὶ ἀλύπως, οὐ μεῖον τῶν ἑκατόμβας καταθυόντων. Ὑπὲρ ταύτης οὖν τῆς κουφολογίας βαρυτάτην ζημίαν ἐξέτισεν.

## ΚΕΦ. κθ'.

### Περὶ Ἀλεξάνδρου γελοῖον.

Οὐ γὰρ δὴ δύναμαι πείθειν ἐμαυτὸν μὴ γελᾷν ἐπ' Ἀλεξάνδρῳ τῷ Φιλίππου· εἴ γε, ἀπείρους ἀκούων εἶναί τινας κόσμους λέγοντος Δημοκρίτου ἐν τοῖς συγγράμμασιν, ὅδε ἠνιᾶτο μηδὲ τοῦ ἑνὸς καὶ κοινοῦ κρατῶν. Πόσον δὲ ἐπ' αὐτῷ Δημόκριτος ἐγέλασεν ἂν αὐτὸς, τί δεῖ καὶ λέγειν, ᾧ ἔργον τοῦτο ἦν;

# ΑΙΛΙΑΝΟΥ

## ΠΟΙΚΙΛΗΣ ΙΣΤΟΡΙΑΣ.

### ΒΙΒΛΙΟΝ ΠΕΜΠΤΟΝ.

#### ΚΕΦ. α΄.

Ὅτι Ταχὼς δι' ἁβροτέραν δίαιταν ἐτελεύτησεν.

Ταχὼς ὁ Αἰγύπτιος, ἕως μὲν ἐχρῆτο τῇ ἐπιχωρίῳ διαίτῃ, καὶ εὐτελῶς διεβίω, ὑγιεινότατος ἀνθρώπων διῆγεν· ἐπεὶ δὲ εἰς Πέρσας ἀφίκετο, καὶ εἰς τὴν ἐκείνων τρυφὴν ἐξέπεσε, τὸ ἄηθες τῶν σιτίων οὐκ ἐνεγκὼν, ὑπὸ δυσεντερίας τὸν βίον κατέστρεψε, τῆς τρυφῆς ἀλλαξάμενος θάνατον.

#### ΚΕΦ. β΄.

Φερεκύδης πῶς τέθνηκεν.

Ὅτι Φερεκύδης, Πυθαγόρου διδάσκαλος, ἐμπεσὼν εἰς τὴν ἀῤῥωστίαν, πρῶτον μὲν ἵδρου ἱδρῶτα θερμὸν, ἰξώδη, ὅμοιον ὡς μύξαις, ὕστερον δὲ, θηριώδη, μετὰ δὲ, ἐφθειρίασε. Καὶ διαλυομένων τῶν σαρκῶν εἰς τοὺς φθεῖρας, ἐπεγένετο τῆξις, καὶ οὕτω τὸν βίον κατήλλαξεν.

#### ΚΕΦ. γ΄.

Περὶ τῶν Ἡρακλείων στηλῶν.

Ἀριστοτέλης τὰς νῦν Ἡρακλείους στήλας καλουμένας, πρὶν ἢ κληθῆναι τοῦτό φησι Βριάρεω καλεῖσθαι αὐτάς· ἐπεὶ δὲ καθῆρε γῆν καὶ θάλασσαν Ἡρακλῆς, καὶ ἀναμφιλόγως εὐεργέτης ἐγένετο τῶν ἀνθρώπων, τιμῶντες αὐτὸν, τὴν μὲν Βριάρεω μνήμην παρ' οὐδὲν ἐποιήσαντο, Ἡρακλείους δὲ προσηγόρευσαν·

## ΚΕΦ. δ'.

### Περὶ φυτῶν τινῶν ἐν Δήλῳ θαλόντων.

Ὅτι ἀναθῆλαι λόγος ἐστὶ Δήλιος φυτὰ ἐν Δήλῳ, ἐλαίαν καὶ φοίνικα, ὧν ἀψαμένην τὴν Λητὼ, εὐθὺς ἀποκυῆσαι, τέως οὐ δυναμένην τοῦτο δρᾶσαι.

## ΚΕΦ. ἑ.

### Περὶ Ἐπαμινώνδου ἀκτημοσύνης, καὶ μεγαλοφροσύνης.

Ἐπαμινώνδας ἕνα εἶχε τρίβωνα, καὶ αὐτὸν ῥυπῶντα· εἴ ποτε δὲ αὐτὸν ἔδωκεν εἰς γναφεῖον, αὐτὸς ὑπέμενεν οἴκοι δι᾽ ἀπορίαν ἑτέρου. Ἐν δὴ τούτοις τῆς περιουσίας ὢν, τοῦ Περσῶν βασιλέως πέμψαντος αὐτῷ πολὺ χρυσίον, οὐ προσήκατο· καὶ, εἴτι ἐγὼ νοῶ, μεγαλοφρονέστερος ἦν τοῦ διδόντος ὁ μὴ λαβών.

## ΚΕΦ. ς'.

### Περὶ Καλάνου ἑκουσίας τελευτῆς.

Ἄξιον δὲ καὶ τὸ Καλάνου τοῦ Ἰνδοῦ τέλος ἐπαινέσαι, ἄλλος δ᾽ ἂν εἶπεν, ὅτι καὶ ἀγασθῆναι· Ἐγένετο δὲ τοιοῦτον. Κάλανος ὁ Ἰνδῶν σοφιστὴς, μακρὰ χαίρειν φράσας Ἀλεξάνδρῳ, καὶ Μακεδόσι, καὶ τῷ βίῳ, ὅτε ἐβουλήθη ἀπολῦσαι αὐτὸν ἐκ τῶν τοῦ σώματος δεσμῶν, ἐνένηστο μὲν ἡ πυρὰ ἐν τῷ καλλίςῳ προαςείῳ τῆς Βαβυλῶνος· καὶ ἦν τὰ ξύλα αὖα, καὶ πρὸς εὐωδίαν εὖ μάλα ἐπίλεκτα, κέδρου, καὶ θύου, καὶ κυπαρίττου, καὶ μυρσίνης, καὶ δάφνης. Αὐτὸς δὲ γυμνασάμενος γυμνάσιον τὸ εἰωθὸς (ἦν δὲ αὐτὸ δρόμος), ἀνελθὼν ἐπὶ μέσης τῆς πυρᾶς ἔστη ἐστεφανωμένος καλάμου κόμῃ. Καὶ ὁ μὲν Ἥλιος αὐτὸν προσέβαλλεν· ὁ δὲ αὐτὸν προσεκύνει, καὶ τοῦτο ἦν τὸ σύνθημα εἰς τὸ ἐξάπτειν τὴν πυρὰν τοῖς Μακεδόσι. Καὶ τὸ μὲν ἐδρᾶτο, ὁ δὲ περιληφθεὶς ὑπὸ τῆς φλογὸς, ἀτρέπτως εἱστήκει, καὶ οὐ πρότερον ἀνετράπη, πρὶν ἢ διελύθη. Ἐνταῦθά φασιν ἐκπλαγῆναι καὶ τὸν Ἀλέξανδρον, καὶ εἰπεῖν,

ὅτι μείζονος ἀντιπάλους αὐτοῦ Κάλανος κατηγωνίσατο· ὁ μὲν γὰρ πρὸς Πῶρον, καὶ Ταξίλην, καὶ Δαρεῖον διήθλησεν, ὁ δὲ Κάλανος πρὸς τὸν πόνον, καὶ τὸν θάνατον.

## ΚΕΦ. ζ'.

### Περὶ Ἀναχάρσιδος.

Οἱ μὲν Σκύθαι περὶ τὴν ἑαυτῶν πλανῶνται· Ἀνάχαρσις δὲ, ἅτε ἀνὴρ σοφὸς, καὶ περαιτέρω προήγαγε τὴν πλάνην. Ἧκε γοῦν εἰς τὴν Ἑλλάδα, καὶ ὁ Σόλων ἐθαύμασεν αὐτόν.

## ΚΕΦ. η'.

### Πῶς τινες τὰ σκώμματα ἤνεγκαν.

Τὰ σκώμματα καὶ αἱ λοιδορίαι οὐδέν μοι δοκεῖ δύνασθαι. Ἐὰν γὰρ στερεᾶς γνώμης λάβωνται, καταλέλυνται· ἐὰν δὲ ἀγεννοῦς καὶ ταπεινῆς, ἴσχυσε, καὶ οὐ μόνον ἐλύπησε πολλάκις, ἀλλὰ καὶ ἀπέκτεινε. Τούτων ἀπόδειξις ἐκεῖνα ἔστω. Σωκράτης μὲν οὖν κωμῳδούμενος, ἐγέλα· Πολίαγρος δὲ ἀπήγξατο.

## ΚΕΦ. θ'.

### Περὶ Ἀριστοτέλους.

Ἀριςοτέλης ἀσωτευσάμενος τὰ ἐκ τοῦ πατρὸς χρήματα, ὥρμησεν ἐπὶ στρατείαν· εἶτα ἀπαλλάττων κακῶς ἐν τούτῳ, φαρμακοπώλης ἀνεφάνη. Παρεισρυεὶς δὲ εἰς τὸν Περίπατον, καὶ παρακούων τῶν λόγων, ἀμείνων πέφυκὼς πολλῶν, εἶτα ἕξιν περιεβάλετο, ἣν μετὰ ταῦτα ἐκτήσατο.

## ΚΕΦ. ι'.

### Νηῶν τινῶν καὶ ὁπλιτῶν ἀριθμὸς, οὓς οἱ Ἀθηναῖοι ἀπώλεσαν.

Νηΐτην στόλον Ἀθηναῖοι εἰργάζοντο ἑαυτοῖς ἀεὶ φιλοπόνως. Κατὰ χρόνους δὲ, τὰ μὲν κατορθοῦντες, τὰ δὲ ἡττώμενοι, ἀπώλεσαν τριήρεις μὲν ἐν Αἰγύπτῳ διακοσίας, σὺν τοῖς πληρώμασι·

ρώμασι· περὶ Κύπρον δὲ πεντήκοντα καὶ ἑκατόν· ἐν Σικελίᾳ τεσσαράκοντα καὶ διακοσίας· ἐν δὲ Ἑλλησπόντῳ διακοσίας. Ὁπλῖται δὲ ἀπώλοντο αὐτοῖς ἐν Σικελίᾳ μυριάδες τέσσαρες, χίλιοι δὲ ἐν Χαιρωνείᾳ.

## ΚΕΦ. ιά

Περὶ Θρᾳκῶν βασιλέως ὠμότητος κατὰ τῶν αὐτοῦ υἱῶν.

Θρᾳκῶν βασιλεὺς (τὸ δὲ ὄνομα λεγέτω ἄλλος), ὅτε ὁ Ξέρξης ἐπὶ τὴν Ἑλλάδα ἐστράτευσεν, εἰς Ῥοδόπην τὸ ὄρος ἀπέδρα· τοῖς δὲ ἓξ παισὶν αὐτοῦ συνεβούλευε μὴ στρατεύειν ἐπὶ τὴν Ἑλλάδα. Δῆλον δὲ, ὅτι φιλέλλην ἦν ὁ ἀνήρ. Οἱ δὲ οὐκ ἐπείσθησαν· ὑποστρέψαντας δὲ αὐτοὺς πάντας ἐξετύφλωσε, μὴ ποιήσας Ἑλληνικά.

## ΚΕΦ. ιβ'.

Ὅτι ὁ Δημάδης ἐζημιώθη ψηφισάμενος θεὸν τὸν Ἀλέξανδρον.

Οὐ δύναμαι δὲ Ἀθηναίων μὴ οὐ φιλεῖν ταῦτα. Ἐκκλησίας οὔσης Ἀθηναίοις, παρελθὼν ὁ Δημάδης ἐψηφίσατο θεὸν τὸν Ἀλέξανδρον τρισκαιδέκατον. Τῆς δὲ ἀσεβείας ὁ δῆμος τὸ ὑπερβάλλον μὴ ἐνεγκὼν, ζημίαν ἐτιμήσαντο τῷ Δημάδῃ ταλάντων ἑκατὸν, ὅτι θνητὸν αὐτὸν δὴ τὸν Ἀλέξανδρον ὄντα ἐνέγραψε τοῖς Ὀλυμπίοις.

## ΚΕΦ. ιγ'.

Ὅτι οἱ Ἀθηναῖοι ἀγχίστροφοι πρὸς νεωτερισμούς.

Ἦσαν δὲ ἄρα Ἀθηναῖοι δεινῶς εἰς τὰς πολιτείας εὐτράπελοι, καὶ ἐπιτήδειοι πρὸς τὰς μεταβολὰς παντὸς μᾶλλον. Βασιλείαν μὲν γὰρ ἤνεγκαν σωφρόνως ἐπὶ Κέκροπος, και Ἐρεχθέως, καὶ Θησέως, καὶ τῶν Κοδριδῶν κάτω. Τυραννίδος ἐπειράθησαν ἐπὶ τῶν Πεισιστρατιδῶν· ἀριστοκρατίᾳ δὲ ἐχρήσαντο μέχρι τῶν τετρακοσίων. Εἶτα ὕστερον δέκα τῶν πολιτῶν καθ' ἕκαστον ἔτος ἦρχον τῆς πόλεως· τελευταῖον δὲ ἐγένετο ἀναρχία περὶ τὴν τῶν Τριάκοντα κατάστασιν. Ταύτην δὲ τὴν οὕτως

ἀγχίστροφον μεταβολὴν τοῦ τρόπου εἰ ἐπαινεῖν χρὴ, ἀλλὰ ἔγωγε τοῦτο οὐκ οἶδα.

ΚΕΦ. ιδ'.

Νόμος Ἀττικὸς περὶ σωμάτων ταφῆς, καὶ βοῶν σφαγῆς.

Νόμος καὶ οὗτος Ἀττικός. Ὃς ἂν ἀτάφῳ περιτύχῃ σώματι ἀνθρώπου, πάντως ἐπιβάλλειν αὐτῷ γῆν· θάπτειν δὲ πρὸς δυσμὰς βλέποντας. Καὶ τοῦτο δὲ ἦν φυλαττόμενον παρ' αὐτοῖς. Βοῦν ἀρότην, καὶ ὑπὸ ζυγὸν πονήσαντα σὺν ἀρότρῳ, ἢ καὶ σὺν τῇ ἁμάξῃ, μηδὲ τοῦτον θύειν· ὅτι καὶ οὗτος εἴη ἂν γεωργὸς καὶ τῶν ἐν ἀνθρώποις καμάτων κοινωνός.

ΚΕΦ. ιέ.

Δικαστήριον ἐν Ἀθήναις περὶ τῶν σφαγέων.

Οτι δικαστήρια ἦν Ἀττικὰ, περὶ μὲν τῶν ἐκ προνοίας ἀποκτεινάντων, ἐν Ἀρείῳ πάγῳ· περὶ δὲ τῶν ἀκουσίως, ἐπὶ Παλλαδίῳ· περὶ δὲ τῶν κτεῖναι μὲν ὁμολογούντων, ἀμφισβητούντων δὲ, ὅτι δικαίως, ἐπὶ Δελφινίῳ γίνονται αἱ εὐθύναι.

ΚΕΦ. ις'.

Ὅτι παιδίον διὰ ἱεροσυλίαν θάνατον κατεκρίθη.

Οτι ἐκ τοῦ τῆς Ἀρτέμιδος στεφάνου πέταλον χρυσοῦν ἐκπεσὸν ἀνείλετο παιδίον, οὐ μὴν ἔλαθεν. Οἱ οὖν δικασταὶ παίγνια καὶ ἀστραγάλους προὔθηκαν τῷ παιδὶ, καὶ τὸ πέταλον· ὁ δὲ καὶ αὖθις ἐπὶ τὸν χρυσὸν κατηνέχθη. Καὶ διὰ ταῦτα ἀπέκτειναν αὐτὸ ὡς θεοσύλην, οὐ δόντες συγγνώμην τῇ ἡλικίᾳ, ἀλλὰ τιμωρησάμενοι διὰ τὴν πρᾶξιν.

ΚΕΦ. ιζ'.

Περὶ Ἀθηναίων δεισιδαιμονίας.

Οτι τοσοῦτον ἦν Ἀθηναίοις δεισιδαιμονίας· εἴ τις πρινίδιον ἐξέκοψεν ἐξ Ἡρῴου, ἀπέκτεινον αὐτόν. Ἀλλὰ καὶ Ἀτάρβην,

ὅτι τοῦ Ἀσκληπιοῦ τὸν ἱερὸν στρουθὸν ἀπέκτεινε πατάξας, οὐκ ἀργῶς τοῦτο Ἀθηναῖοι παρεῖδον, ἀλλ' ἀπέκτειναν Ἀτάρβην, καὶ οὐκ ἔδοσαν οὔτε ἀγνοίας συγγνώμην, οὔτε μανίας, πρεσβύτερα τούτων ἀμφοτέρων τὰ τοῦ θεοῦ ποιησάμενοι. Ἐλέγετο γὰρ ἀκουσίως, οἱ δὲ, μεμηνὼς τοῦτο δρᾶσαι.

## ΚΕΦ. ιη΄.

Περὶ ἐγκύου γυναικὸς θάνατον κατακριθείσης.

Ἡ ἐξ Ἀρείου πάγου βουλὴ, ἐπεί τινα φαρμακίδα συνέλαβον, καὶ ἔμελλον θανατώσειν, οὐ πρῶτον αὐτὴν ἀπέκτειναν, πρὶν ἢ ἀπεκύησεν· ὅτε γὰρ συνελήφθη, ἔκυε. Τὸ ἀναίτιον οὖν βρέφος ἀναλύοντες τῆς καταδίκης, τὴν αἰτίαν μόνην ἐδικαίωσαν τῷ θανάτῳ.

## ΚΕΦ. ιθ΄.

Αἰσχύλος ἀσεβείας κριθεὶς πῶς διεσώθη.

Αἰσχύλος ὁ τραγῳδὸς ἐκρίνετο ἀσεβείας ἐπί τινι δράματι. Ἑτοίμων οὖν ὄντων Ἀθηναίων βάλλειν αὐτὸν λίθοις, Ἀμεινίας ὁ νεώτερος ἀδελφὸς, διακαλυψάμενος τὸ ἱμάτιον, ἔδειξε τὸν πῆχυν ἔρημον τῆς χειρός. Ἔτυχε δὲ ἀριστεύων ἐν Σαλαμῖνι ὁ Ἀμεινίας, ἀποβεβληκὼς τὴν χεῖρα, καὶ πρῶτος Ἀθηναίων τῶν ἀριςείων ἔτυχεν. Ἐπεὶ δὲ εἶδον οἱ δικασταὶ τοῦ ἀνδρὸς τὸ πάθος, ὑπεμνήσθησαν τῶν ἔργων αὐτοῦ, καὶ ἀφῆκαν τὸν Αἰσχύλον.

## ΚΕΦ. κ΄.

Περὶ Ταραντίνων νηστείας καὶ Ῥηγίνων.

Ταραντίνων πολιορκουμένων ὑπὸ Ἀθηναίων, καὶ μελλόντων ἁλῶναι λιμῷ, οἱ Ῥηγῖνοι ἐψηφίσαντο μίαν ἡμέραν ἐν ταῖς δέκα νηστεύειν, καὶ ἐκείνης τὰς τροφὰς ἐκχωρῆσαι Ταραντίνοις. Ἀποστάντων οὖν αὐτῶν, ἐσώθησαν, καὶ μεμνημένοι τοῦ πάθους, ἑορτὴν ἄγουσι τὴν καλουμένην Νηστείαν οἱ Ταραντῖνοι.

## ΚΕΦ. κά.

Ὅτι ἡ Μήδεια τὰ οἰκεῖα τέκνα οὐκ ἀπέκτεινεν.

Λέγει τις λόγος, τὴν φήμην τὴν κατὰ τῆς Μειδείας ψευδῆ εἶναι· μὴ γὰρ αὐτὴν ἀποκτεῖναι τὰ τέκνα, ἀλλὰ Κορινθίους. Τὸ δὲ μυθολόγημα τοῦτο ὑπὲρ τῆς Κολχίδος, καὶ τὸ δρᾶμα, Εὐριπίδην φασὶ διαπλάσαι, δεηθέντων Κορινθίων· καὶ ἐπικρατῆσαι τοῦ ἀληθοῦς τὸ ψεῦδος διὰ τὴν τοῦ ποιητοῦ ἀρετήν. Ὑπὲρ δὲ τοῦ τολμήματός, φασι, τῶν παίδων μέχρι τοῦ νῦν ἐναγίζουσι τοῖς παισὶ Κορίνθιοι, οἱονεὶ δασμὸν τούτοις ἀποδιδόντες.

# ΑΙΛΙΑΝΟΥ

## ΠΟΙΚΙΛΗΣ ΙΣΤΟΡΙΑΣ

### ΒΙΒΛΙΟΝ ΕΚΤΟΝ.

---

### ΚΕΦ. ά.

Περί τινων κατ' ἄλλων ὀργῆς, ἀπανθρωπίας, ὕβρεως, ἀδικίας, ἐπάρσεως.

ΑΘΗΝΑΪΟΙ, κρατήσαντες Χαλκιδέων, κατεκληρούχησαν αὐτῶν τὴν γῆν εἰς δισχιλίους κλήρους, τὴν Ἱππόβοτον καλουμένην χώραν. Τεμένη δὲ ἀνῆκαν τῇ Ἀθηνᾷ ἐν τῷ Λιλάντῳ ὀνομαζομένῳ τόπῳ· τὴν δὲ λοιπὴν ἐμίσθωσαν, κατὰ τὰς ςήλας τὰς πρὸς τῇ βασιλείῳ ςοᾷ ἑςηκυίας, αἵπερ οὖν τὰ τῶν μισθώσεων ὑπομνήματα εἶχον. Τοὺς δὲ αἰχμαλώτους ἔδησαν, καὶ οὐδὲ ἐνταῦθα ἔσβεσαν τὸν κατὰ Χαλκιδέων θυμόν.

Λακεδαιμόνιοι, Μεσσηνίων κρατήσαντες, τῶν μὲν γινομένων ἁπάντων ἐν τῇ Μεσσηνίᾳ τὰ ἡμίση ἐλάμβανον αὐτοί· καὶ τὰς γυναῖκας τὰς ἐλευθέρας εἰς τὰ πένθη βαδίζειν ἠνάγκαζον, καὶ τοὺς ἀλλοτρίους, καὶ μηδὲν σφίσι προσήκοντας νεκροὺς κλαίειν· τοὺς δὲ τῶν ἀνδρῶν ἀπέλιπον γεωργεῖν, οὓς δὲ ἀπέδοντο, οὓς δὲ ἀπέκτειναν.

Ἀθηναῖοι δὲ ὕβρισαν καὶ ἐκείνην τὴν ὕβριν, εὐτυχίας γὰρ λαβόμενοι, τὴν εὐπραγίαν σωφρόνως οὐκ ἤνεγκαν. Τὰς γοῦν παρθένους τῶν μετοίκων σκιαδηφορεῖν ἐν ταῖς πομπαῖς ἠνάγκαζον ταῖς ἑαυτῶν κόραις, τὰς δὲ γυναῖκας ταῖς γυναιξὶ, τοὺς δὲ ἄνδρας σκαφηφορεῖν.

Σικυώνιοι δὲ Πελλήνην ἑλόντες, τάς τε γυναῖκας τῶν Πελληνέων καὶ τὰς θυγατέρας ἐπ' οἰκήματος ἔςησαν· ἀγριώ-

τατα ταῦτα, ὦ Θεοὶ Ἑλλήνιοι, καὶ οὐδὲ ἐν βαρβάροις καλὰ, κατά γε τὴν ἐμὴν μνείαν.

Ἐπεὶ τὴν ἐν Χαιρωνείᾳ μάχην ἐνίκησεν ὁ Φίλιππος, ἐπὶ τῷ πραχθέντι αὐτός τε ἦρτο, καὶ οἱ Μακεδόνες πάντες. Οἱ δὲ Ἕλληνες δεινῶς αὐτὸν κατέπτηξαν, καὶ ἑαυτοὺς κατὰ πόλεις ἐνεχείρισαν αὐτῷ φέροντες. Καὶ τοῦτό γε ἔδρασαν Θηβαῖοι, καὶ Μεγαρεῖς, καὶ Κορίνθιοι, καὶ Ἀχαιοὶ, καὶ Ἠλεῖοι, καὶ Εὐβοεῖς, καὶ οἱ ἐν τῇ Ἀκτῇ πάντες. Οὐ μὴν ἐφύλαξε τὰς πρὸς αὐτοὺς ὁμολογίας ὁ Φίλιππος, ἀλλ' ἐδουλώσατο πάντας, ἔκδικα καὶ παράνομα δρῶν.

## ΚΕΦ. ϐ'.

### Περὶ ἀνδρείας τοῦ υἱοῦ τοῦ Ἁρματίδου.

Ὁ Ἁρματίδου τοῦ Θεσπιέως παῖς, παραγενόμενος σύμμαχος Ἀθηναίοις μετὰ καὶ ἄλλων πολιτῶν, τὰ μὲν πρῶτα ἐμάχετο εὖ καὶ καλῶς· καταναλωθέντων δὲ αὐτοῦ τῶν ὅπλων, ψιλαῖς ταῖς χερσὶ πρὸς καθωπλισμένους ἀγωνιζόμενος, εὐκλεῶς τὸν βίον ἐτελεύτα. Πατρόθεν οὖν τὸν νεανίαν προσεῖπον, κυδαίνων αὐτὸν Ὁμηρικῶς. Τὸ δὲ ὄνομα αὐτοῦ εἴ τῳ ἐπιμελὲς εἰδέναι, ἀλλαχόθεν εἴσεται.

## ΚΕΦ. γ'.

### Περὶ Ἰσάδα, ἔτι παιδός.

Ὅτι Λακεδαιμόνιοι Ἰσάδαν, ἔτι παῖδα ὄντα, καὶ μήπω τοῦ νόμου καλοῦντος αὐτὸν εἰς ὅπλα, ὅτι ἐκ τοῦ γυμνασίου ἐκπηδήσας ἠρίστευσεν, ἐστεφάνωσαν μὲν, ὅτι δὲ πρὸ τῆς ἀπαιτουμένης ἡλικίας, καὶ μὴ τὰ ἐπιχώρια ἔχων ὅπλα, ὥρμησεν εἰς τοὺς ἐχθροὺς, ἐζημίωσαν.

## ΚΕΦ. δ'.

### Περὶ τοῦ τὴν Λυσάνδρου θυγατέρα ἐγγυησαμένου.

Ὁ μὲν Λύσανδρος ἐτεθνήκει· ὁ δὲ τὴν θυγατέρα αὐτοῦ ἔτι ζῶντος ἐγγυησάμενος, ἐπεὶ καὶ ἡ παῖς ἐρήμη πατρὸς ἀπελεί-

πετο, καὶ ὁ Λύσανδρος, μετὰ τὴν τοῦ βίου καταστροφὴν ἀνεφάνη πένης ὤν, ὅδε ἀνεδύετο ὁ ἐγγυησάμενος, καὶ οὐδὲ ἔφασκεν ἄξεσθαι γυναῖκα. Ἐπὶ τούτοις οἱ Ἔφοροι τὸν ἄνδρα ἐζημίωσαν· οὔτε γὰρ Λακωνικὰ ἐφρόνει, οὔτε ἄλλως Ἑλληνικὰ, φίλου τε ἀποθανόντος ἀμνημονῶν, καὶ τῶν συνθηκῶν τὸν πλοῦτον προτιμῶν.

## ΚΕΦ. έ.

### Περὶ Ἀθηναίων πρέσϐεων.

Ὅτι Ἀθηναῖοι τοὺς εἰς Ἀρκαδίαν ἀποσταλέντας πρεσβευτὰς, ἐπεὶ ἑτέραν ὁδὸν ἦλθον, καὶ οὐ τὴν προστεταγμένην, καίτοι κατορθώσαντας, ὅμως ἀπέκτειναν.

## ΚΕΦ. ϛ'.

### Λακωνικοὶ νόμοι.

Ἦ γὰρ οὐ καὶ ταῦτα Λακωνικά; Νόμος ἐστὶ τοῖς Σπαρτιάταις, τὸν παρασχόμενον υἱοὺς τρεῖς, ἀτέλειαν ἔχειν φρουρᾶς, τὸν δὲ πέντε, πασῶν τῶν λειτουργειῶν ἀφεῖσθαι. Γαμεῖν δὲ ἀπροίκους ἔτι. Βάναυσον δὲ εἰδέναι τέχνην ἄνδρα Λακεδαιμόνιον οὐκ ἐξῆν. Φοινικίδα δὲ ἀμπέχεσθαι κατὰ τὰς μάχας, ἀνάγκη ἦν· ἔχειν δὲ τὴν χρόαν καὶ σεμνότητός τι· πρὸς ταύτῃ γε μὴν καὶ τὴν ῥύσιν τοῦ ἐπιγενομένου αἵματος ἐκ τῶν τραυμάτων ἔτιγε μᾶλλον ἐκπλήττειν τοὺς ἀντιπάλους, βαθυτέρας τῆς ὄψεως γινομένης καὶ φοβερωτέρας μᾶλλον.

Ὅτι οὐκ ἐξῆν ἀνδρὶ Λάκωνι οὐδὲ σκυλεῦσαι τὸν πολέμιον. Οἱ δὲ καλῶς ἀγωνισάμενοι, καὶ ἀποθανόντες, θαλλοῖς ἀνεδοῦντο καὶ κλάδοις ἑτέροις, καὶ δι' ἐπαίνων ἤγοντο· οἱ δὲ τελέως ἀριστεύσαντες, καὶ φοινικίδος αὐτοῖς ἐπιϐληθείσης, ἐνδόξως ἐθάπτοντο.

## ΚΕΦ. ζ'.

### Περὶ σεισμοῦ τῇ Σπάρτῃ ἐπιπεσόντος.

Ὅτε οἱ Λακεδαιμόνιοι τοὺς ἐκ Ταινάρου ἱκέτας παρασπονδήσαντες ἀνέστησαν καὶ ἀπέκτειναν (ἦσαν δὲ οἰκέται τῶν

Εἱλώτων), κατὰ μῆνιν τοῦ Ποσειδῶνος σεισμὸς ἐπιπεσὼν τῇ Σπάρτῃ, τὴν πόλιν ἀνδρειότατα κατέσεισεν, ὡς πέντε μόνας ἀπολειφθῆναι οἰκίας ἐξ ἁπάσης τῆς πόλεως.

ΚΕΦ. ή.

Περὶ Ἀρταξέρξου ἀναιρέσεως.

Ἀρταξέρξην, τὸν καὶ Ὦχον ἐπικληθέντα, ὅτε ἐπεβούλευσεν αὐτῷ Βαγώας ὁ εὐνοῦχος, ὃς ἦν Αἰγύπτιος, φασὶν ἀναιρεθέντα καὶ κατακοπέντα τοῖς αἰλούροις παραβληθῆναι· ἐτάφη δέ τις ἄλλος ἀντ' αὐτοῦ, καὶ ἀπεδόθη ταῖς βασιλικαῖς θήκαις. Θεοσυλίαι μὴν τοῦ Ὤχου καὶ ἄλλαι μὲν λέγονται, καὶ μάλιστα κατὰ τὴν Αἴγυπτον. Τῷ δὲ Βαγώᾳ οὐκ ἀπέχρησε τὸ ἀποκτεῖναι τὸν Ὦχον· ἀλλὰ γὰρ καὶ ἐκ τῶν μηρῶν αὐτοῦ λαβὰς μαχαιρῶν ἐποίησε, τὸ φονικὸν αὐτοῦ ἐκδεικνύμενος διὰ τούτων. Ἐμίσησε δὲ αὐτὸν, ἐπεὶ τὸν Ἆπιν, ἐν Αἰγύπτῳ γενόνος, ἀπέκτεινε καὶ οὗτος, ὡς ὁ Καμβύσης πρότερον.

ΚΕΦ. θ'.

Περὶ θησαυροῦ ὑπὸ Δελφῶν ζητουμένου ἐν Πυθοῖ.

Ἐπεὶ καὶ ἐκ τῶν Ὁμήρου ποιημάτων ἧκεν εἰς Δελφοὺς λέγουσα δόξα, παλαιόπλουτον εἶναι τὸ τοῦ Ἀπόλλωνος χωρίον, ἐν τοῖς ἔπεσιν ἐκείνοις,

Οὐδ' ὅσα λάϊνος οὐδὸς ἀφήτορος ἐντὸς ἐέργει
Φοίβου Ἀπόλλωνος Πυθοῖ ἐνὶ πετρηέσσῃ,

τοὺς Δελφοὺς ἐπιχειρῆσαι διασκάπτειν λόγος ἔχει τὰ περὶ τὴν ἑστίαν, καὶ τὸν τρίποδα· γενομένων δὲ σεισμῶν περὶ τὸ μαντεῖον ἀνδρικῶν, παύσασθαι σωφρονήσαντας.

ΚΕΦ. ί.

Νόμος περὶ ἀστῶν παρὰ Περικλέους τεθείς.

Περικλῆς, στρατηγῶν, Ἀθηναίοις νόμον ἔγραψεν, Ἐὰν μὴ τύχῃ τις ἐξ ἀμφοῖν ὑπάρχων ἀστῶν, τούτῳ μὴ μετεῖναι τῆς

πολιτείας. Μετῆλθε δὲ ἄρα αὐτὸν ἡ ἐκ τοῦ νόμου νέμεσις. Οἱ γὰρ δύο παῖδες, οἵπερ οὖν ἤστην αὐτῷ, Πάραλός τε καὶ Ξάνθιππος, ἀλλὰ οὗτοι μὲν κατὰ τὴν νόσον τὴν δημοσίαν τοῦ λοιμοῦ ἀπέθανον· κατελείφθη δὲ ὁ Περικλῆς ἐπὶ τοῖς νόθοις, οἵπερ οὖν οὐ μετέσχον τῆς πολιτείας κατὰ τὸν πατρῷον νόμον.

## ΚΕΦ. ιά.

### Περὶ Γέλωνος τὴν ἀρχὴν ἀποδοῦναι βουλομένου.

Γέλων ἐν Ἱμέρα νικήσας Καρχηδονίους, πᾶσαν ὑφ' ἑαυτὸν τὴν Σικελίαν ἐποιήσατο. Εἶτα ἐλθὼν εἰς τὴν ἀγορὰν γυμνὸς, ἔφατο ἀποδιδόναι τοῖς πολίταις τὴν ἀρχήν· οἱ δὲ οὐκ ἤθελον, δηλονότι πιπειραμένοι αὐτοῦ, καὶ δημοτικωτέρου, ἢ κατὰ τὴν τῶν μονάρχων ἐξουσίαν. Διὰ ταῦτά τοι καὶ ἐν τῷ τῆς Σικελίας Ἥρας ναῷ ἕστηκεν αὐτοῦ εἰκὼν, γυμνὸν αὐτὸν δεικνῦσα, καὶ ὡμολόγει τὴν πρᾶξιν τοῦ Γέλωνος τὸ γράμμα.

## ΚΕΦ. ιβ'.

### Περὶ Διονυσίου εὐδαιμονίας, καὶ οἵου τέλους αὐτῆς ἔλαχεν.

Διονύσιος δὲ ὁ δεύτερος τὴν ἀρχὴν εἶχεν εὖ μάλα πεφραγμένην τοῦτον τὸν τρόπον. Ναῦς μὲν ἐκέκτητο οὐκ ἐλάττονας τῶν τετρακοσίων, ἑξήρεις καὶ πεντήρεις· πεζῶν δὲ δύναμιν εἰς δέκα μυριάδας, ἱππεῖς δὲ ἐννεακισχιλίους. Ἡ δὲ πόλις τῶν Συρακουσίων λιμέσιν ἐκεκόσμητο μεγίστοις, καὶ τεῖχος αὐτῇ περιεβέβλητο ὑψηλότατον· σκεύη δὲ εἶχεν ἕτοιμα ναυσὶν ἄλλαις πεντακοσίαις· τεθησαύριστο δὲ αὐτῇ καὶ σῖτος εἰς ἑκατὸν μεδίμνων μυριάδας. Καὶ ὁπλοθήκη νενησμένη ἀσπίσι, καὶ μαχαίραις, καὶ δόρασι, καὶ κνημῖσι περιτταῖς, καὶ θώραξι, καὶ καταπέλταις· ὁ δὲ καταπέλτης εὕρημα ἦν αὐτοῦ Διονυσίου. Εἶχε δὲ καὶ συμμάχους παμπόλλους. Καὶ τούτοις ἐπιθαῤῥῶν ὁ Διονύσιος ἀδάμαντι δεδεμένην ᾤετο τὴν ἀρχὴν κεκτῆσθαι. Ἀλλ' οὗτός γε πρώτους μὲν ἀπέκτεινε τοὺς ἀδελφούς· εἶδε δὲ

καὶ τοὺς υἱοὺς βιαίως ἀποσφαγέντας, καὶ τὰς θυγατέρας καταισχυνθείσας, εἶτα ἀποσφαγείσας γυμνάς. Οὐδεὶς δὲ τῶν ἀπ' αὐτοῦ ταφῆς τῆς νομιζομένης ἔτυχεν· οἱ μὲν γὰρ ζῶντες κατεκαύθησαν, οἱ δὲ κατατμηθέντες εἰς τὸ πέλαγος ἐξεῤῥίφησαν. Τοῦτο δὲ ἀπήντησεν αὐτῷ, Δίωνος τοῦ Ἱππαρίνου ἐπιθεμένου τῇ ἀρχῇ. Αὐτὸς δὲ ἐν πενίᾳ μυρίᾳ διάγων κατέστρεψε τὸν βίον γηραιός. Λέγει δὲ Θεόπομπος, ὑπὸ τῆς ἀκρατοποσίας τῆς ἄγαν αὐτὸν διαφθαρῆναι τὰς ὄψεις, ὡς ἀμυδρὸν βλέπειν· ἀποκαθῆσθαι δὲ ἐν τοῖς κουρείοις, καὶ γελωτοποιεῖν. Καὶ ἐν τῷ μεσαιτάτῳ τῆς Ἑλλάδος ἀσχημονῶν διετέλει, βίον διαντλῶν ἀλγεινότατον. Καὶ ἦν δεῖγμα οὐ τὸ τυχὸν τοῖς ἀνθρώποις εἰς σωφροσύνην, καὶ τρόπου κόσμον ἡ τοῦ Διονυσίου ἐκ τῶν τηλικούτων εἰς οὕτω ταπεινὰ μεταβολή.

## ΚΕΦ. ιγ'.

### Περὶ τυραννίδων αἳ εἰς ἐγγόνους ἐν Ἑλλάδι διήρκεσαν.

Καλῶς τὸ δαιμόνιον ἐπὶ τριγονίαν τυραννίδας μὴ ἄγον· ἀλλὰ ἢ παραχρῆμα ἐκτρίβον τοὺς τυράννους, πίτυος δίκην, ἢ παίδων ἐξισχύον. Μνημονεύονται δὲ ὑφ' Ἑλλήνων ἐξ αἰῶνος καὶ εἰς ἐγγόνους διαρκέσαι αἵδε, ἥτε Γέλωνος ἐν Σικελίᾳ, καὶ ἡ τῶν Λευκωνιδῶν περὶ Βόσπορον, καὶ ἡ τῶν Κυψελιδῶν ἐν Κορίνθῳ.

## ΚΕΦ. ιδ'.

### Περὶ Δαρείου ἐπιβουλευθέντος.

Ἡμερώτατον δὲ Δαρείου τοῦτο τὸ ἔργον ἀκούω τοῦ παιδὸς τοῦ Ὑστάσπου. Ἀρίβαζος ὁ Ὑρκανὸς ἐπεβούλευσεν αὐτῷ, μετὰ καὶ ἄλλων ἀνδρῶν, οὐκ ἀφανῶν τῶν ἐν Πέρσαις· ἦν δὲ ἡ ἐπιβουλὴ ἐν κυνηγεσίῳ. Ἅπερ προμαθὼν ὁ Δαρεῖος οὐκ ἔπτηξεν, ἀλλὰ, προστάξας αὐτοῖς λαβεῖν τὰ ὅπλα, καὶ τοὺς ἵππους, ἐκέλευσεν αὐτοὺς διατείνασθαι τὰ παλτὰ, καὶ δριμὺ ἐνιδὼν, Τί οὖν οὐ δρᾶτε τοῦτο, εἶπεν, ἐφ' ὃ καὶ ὡρμήσατε;

Οἱ δὲ, ἰδόντες ἄτρεπτον ἀνδρὸς βλέμμα, ἀνεστάλησαν τὴν ὁρμήν. Τὸ δέος δὲ αὐτοὺς κατέσχεν οὕτως, ὡς καὶ ἐκβαλεῖν τὰς αἰχμὰς, καὶ ἀφάλασθαι τῶν ἵππων, καὶ προσκυνῆσαι Δαρεῖον, καὶ ἑαυτοὺς παραδοῦναι, ὅ,τι καὶ βούλοιτο πράττειν. Ὁ δὲ διέστησεν ἄλλους ἄλλῃ, καὶ τοὺς μὲν ἐπὶ τὰ τῆς Ἰνδικῆς ὅρια ἀπέπεμψε, τοὺς δὲ ἐπὶ τὰ Σκυθικά. Καὶ ἐκεῖνοι ἔμειναν αὐτῷ πιστοὶ, διὰ μνήμης ἔχοντες τὴν εὐεργεσίαν.

# ΑΙΛΙΑΝΟΥ

## ΠΟΙΚΙΛΗΣ ΙΣΤΟΡΙΑΣ.

### ΒΙΒΛΙΟΝ ΕΒΔΟΜΟΝ.

#### ΚΕΦ. α'.

Περὶ Σεμιράμιδος, καὶ πῶς τὴν τῶν Ἀσσυρίων ἀρχὴν κατέσχε.

ΣΕΜΙΡΑΜΙΝ τὴν Ἀσσυρίαν ἄλλοι μὲν ἄλλως ᾄδουσιν· ὡραιοτάτη δὲ ἐγένετο γυναικῶν, εἰ καὶ ἀφελέστερον ἐχρῆτο τῷ κάλλει. Ἀφικομένη δὲ πρὸς τὸν τῶν Ἀσσυρίων βασιλέα κλητὴ, κατὰ κλέος τῆς ὥρας, ὅδε ἐντυχὼν τῇ ἀνθρώπῳ, ἠράσθη αὐτῆς. Ἡ δὲ ᾔτησεν ἐκ τοῦ βασιλέως τὴν βασίλειον στολὴν λαβεῖν δῶρα, καὶ πέντε ἡμερῶν τῆς Ἀσίας ἄρξαι, καὶ τὰ ἀπὸ ταύτης προστάττόμενα δρᾶσαι· καὶ οὐδὲ τῆς αἰτήσεως ἠτύχησεν. Ἐπεὶ δὲ ἐκάθισεν αὐτὴν ὁ βασιλεὺς ἐπὶ τοῦ θρόνου, καὶ ἔγνω διὰ χειρὸς καὶ γνώμης ἔχουσα τὰ πάντα, προσέταξε τοῖς δορυφόροις αὐτὸν τὸν βασιλέα κτεῖναι· καὶ οὕτω τὴν τῶν Ἀσσυρίων ἀρχὴν κατέσχε. Λέγει δὲ ταῦτα Δείνων.

#### ΚΕΦ. β'.

Περὶ Στράτωνος καὶ Νικοκλέους τρυφῆς.

Στράτων ὁ Σιδώνιος λέγεται τρυφῇ καὶ πολυτελείᾳ ὑπερβαλέσθαι σπεῦσαι ἀνθρώπους πάντας. Καὶ Θεόπομπος ὁ Χῖος παραβάλλει αὐτοῦ τὸν βίον τῇ τῶν Φαιάκων διαίτῃ, ἥνπερ καὶ Ὅμηρος κατὰ τὴν ἑαυτοῦ μεγαλόνοιαν, ὥσπερ εἴθιστο, ἐξετραγῴδησε. Τούτῳ γε μὴν οὐχ εἷς παρῆν ᾠδὸς, κατᾴδων αὐτοῦ τὸ δεῖπνον, καὶ καταθέλγων αὐτόν· ἀλλὰ πολλαὶ μὲν παρῆσαν γυναικῶν μουσουργοὶ, καὶ αὐλητρίδες, καὶ ἑταῖραι

κάλλει διαπρέπουσαι, καὶ ὀρχηστρίδες. Διεφιλοτιμεῖτο δὲ ἰσχυρῶς καὶ πρὸς Νικοκλέα τὸν Κύπριον, ἐπεὶ καὶ ἐκεῖνος πρὸς αὐτόν. Ἦν δὲ ἡ ἅμιλλα ὑπὲρ οὐδενὸς σπουδαίου, ἀλλὰ ὑπὲρ τῶν προειρημένων. Καὶ πυνθανόμενοι παρὰ τῶν ἀφικνουμένων τὰ παρ' ἀλλήλοις, εἶτα ἀντεφιλοτιμοῦντο ἑκάτερος ὑπερβαλέσθαι τὸν ἕτερον. Οὐ μὴν εἰς τὸ παντελὲς ἐν τούτοις διεγένοντο· ἀμφότεροι γὰρ βιαίου θανάτου ἔργον ἐγένοντο.

### ΚΕΦ. γ'.

### Λύπης ἀνασταλτικός τις Ἀριστίππου λόγος.

Ὅτι Ἀρίστιππος ἑταίρων αὐτῷ τινων ὀδυρομένων βαρύτατα, πολλὰ μὲν καὶ ἄλλα πρὸς αὐτοὺς εἶπε λύπης ἀνασταλτικὰ, καὶ ταῦτα δὲ ἐν προοιμίοις· Ἀλλ' ἔγωγε ἥκω παρ' ὑμᾶς, οὐχ ὡς συλλυπούμενος, ἀλλ' ἵνα παύσω ὑμᾶς λυπουμένους.

### ΚΕΦ. δ'.

### Περὶ μύλης ἐπαίνου.

Ὅτι Πιττακὸς πάνυ σφόδρα ἐπῄνει τὴν μύλην, τὸ ἐγκώμιον αὐτῆς ἐκεῖνο ἐπιλέγων, ὅτι ἐν μικρῷ τόπῳ διάφορά ἐστι γυμνάσασθαι. Ἦν δέ τι ᾆσμα ἐπιμύλιον οὕτω καλούμενον.

### ΚΕΦ. έ.

### Περὶ τῆς ἐν πολλοῖς αὐτουργίας τοῦ τε Ὀδυσσέως καὶ τοῦ Ἀχιλλέως.

Καὶ Λαέρτης δὲ αὐτουργῶν ὑπὸ τοῦ παιδὸς πεφώραται, καὶ φυτὸν ξύων, καίτοι γηράσκων βαθύτατα. Ὁμολογεῖ δὲ καὶ Ὀδυσσεὺς αὐτὸς πολλὰ εἰδέναι, καὶ τεχνίτης αὐτῶν εἶναι.

> Δρηστοσύνῃ δ' οὐκ ἄν μοι ἐρίσσειεν βροτὸς ἄλλος,
> Πῦρ τ' εὖ νηῆσαι, διά τε ξύλα πολλὰ κεάσαι

Καὶ τὴν σχεδίαν δὲ, οὐ δεηθεὶς ναυπηγῶν, ἀλλὰ δι' ἑαυτοῦ τὴν ταχίστην εἰργάσατο. Καὶ Ἀχιλλεὺς δὲ, τρίτος ὢν ἀπὸ τοῦ Διὸς, αὐτὸς διακόπτει τὰ κρέα, δεῖπνον τοῖς παρὰ τῶν Ἀχαιῶν πρέσβεσιν ἀφικομένοις εὐτρεπίσαι σπεύδων.

## ΚΕΦ. ϛʹ.

### Σκύθου τινὸς ἀπόκρισις περὶ ῥίγους.

Χιόνος ποτὲ πιπτούσης, ἤρετο ὁ βασιλεὺς τῶν Σκυθῶν τινα, εἰ ῥιγοῖ, γυμνὸν διακαρτεροῦντα. Ὁ δὲ αὐτὸν ἀντήρετο, εἰ τὸ μέτωπον ῥιγοῖ; τοῦ δὲ, οὐ, φήσαντος, Οὐκοῦν, εἶπεν, οὐδὲ ἐγὼ, πᾶς γάρ μέτωπόν εἰμι.

## ΚΕΦ. ζʹ.

### Περὶ Δημοσθένους ἀγρυπνίας.

Ὅτι Πυθέας ἐπέσκωπτεν εἰς Δημοσθένη τὸν Δημοσθένους, ἐπιλέγων αὐτοῦ τὰ ἐνθυμήματα ἐλλυχνίων ἀπόζειν· ὅτι ἐκεῖνος διὰ τῆς νυκτὸς πάσης ἠγρύπνει φροντίζων, καὶ ἐκμανθάνων, ἃ ἔμελλεν ἐρεῖν ἐλθὼν εἰς τοὺς Ἀθηναίους.

## ΚΕΦ. ηʹ.

### Περὶ Ἀλεξάνδρου πένθους ἐπὶ τῷ τοῦ Ἡφαιστίωνος θανάτῳ.

Ὅτε Ἡφαιστίων ἀπέθανεν, Ἀλέξανδρος ὅπλα αὐτῷ εἰς τὴν πυρὰν ἐνέβαλε, καὶ χρυσὸν καὶ ἄργυρον τῷ νεκρῷ συνέτηξε, καὶ ἐσθῆτα τὴν μέγα τιμίαν ἐν Πέρσαις. Ἀπέκειρε δὲ καὶ τοὺς πολεμικοὺς, καὶ ἀγαθοὺς, καὶ ἑαυτὸν, Ὁμηρικὸν πάθος δρῶν, καὶ μιμούμενος τὸν Ἀχιλλέα τὸν ἐκείνου. Βιαιότερον δὲ, καὶ θερμότερον ἐκείνου ἔδρασεν οὗτος, τὴν τῶν Ἐκβατάνων ἀκρόπολιν περικείρας, καὶ τὸ τεῖχος αὐτῆς ἀφελόμενος. Μέχρι μὲν οὖν τῆς κόμης τῆς ἑαυτοῦ, Ἑλληνικὰ ἐδόκει μοι δρᾷν· ἐπιχειρήσας δὲ τοῖς τείχεσιν, ἀλλ᾽ ἐνταῦθα ἐπένθει βαρβαρικῶς Ἀλέξανδρος ἤδη, καὶ τὰ κατὰ τὴν στολὴν ἤμειψε, θυμῷ καὶ ἔρωτι ἐπιτρέπων πάντα, καὶ δακρύοις.

Ὅτι Ἡφαιστίων εἰς Ἐκβάτανα ἀπέθανε. Διαῤῥεῖ δὲ λόγος, Ἡφαιστίωνι μὲν ταῦτα εὐτρεπισθῆναι νεκρῷ, Ἀλέξανδρον δὲ αὐτοῖς ἀποθανόντα χρήσασθαι· μὴ γὰρ φθάσαι τὸ ἐπὶ τῷ μειρακίῳ τελεσθὲν πένθος, ἐπιλαβεῖν δὲ τὸν τοῦ Ἀλεξάνδρου θάνατον.

## ΚΕΦ. θ'.

### Περὶ σώφρονος γυναικός.

Εἶτα οὐκ ἔστι σωφροσύνη μεγάλη (ἐμοὶ μὲν δοκεῖ), εἴγε καὶ ἡ Φωκίωνος γυνὴ τὸ Φωκίωνος ἱμάτιον ἐφόρει, καὶ οὐδὲν ἐδεῖτο οὐ κροκωτοῦ, οὐ ταραντινοῦ, οὐκ ἀναβολῆς, οὐκ ἐγκύκλου, οὐ κεκρυφάλου, οὐ καλύπτρας, οὐ βαπτῶν χιτωνίσκων; ἠμπείχετο δὲ πρώτῃ μὲν τῇ σωφροσύνῃ, δευτέροις γε μὴν τοῖς παροῦσιν.

## ΚΕΦ. ί.

### Περὶ τῆς τοῦ Σωκράτους γυναικός.

Τῇ Ξανθίππῃ δὲ ὁ Σωκράτης, ἐπεὶ οὐκ ἠβούλετο τὸ ἐκείνου ἱμάτιον ἐνδύσασθαι, καὶ οὕτως ἐπὶ τὴν θέαν τῆς πομπῆς βαδίζειν, ἔφη, Ὁρᾷς, ὡς οὐ θεωρήσουσα, θεωρησομένη δὲ μᾶλλον βαδίζεις;

## ΚΕΦ. ιά.

### Γυναικῶν Ῥωμαίων ὑποδήματα.

Ῥωμαίων δὲ αἱ πολλαὶ γυναῖκες, καὶ τὰ ὑποδήματα αὐτὰ φορεῖν τοῖς ἀνδράσιν εἰθισμέναι εἰσίν.

## ΚΕΦ. ιβ'.

### Λυσάνδρου, ἢ Φιλίππου, ἀπόφθεγμα περὶ ἐπιορκίας.

Δεῖ τοὺς παῖδας τοῖς ἀστραγάλοις ἐξαπατᾷν, τοὺς δὲ ἄνδρας τοῖς ὅρκοις. Οἱ μὲν Λυσάνδρου εἶναι λέγουσι τὸν λόγον, οἱ δὲ Φιλίππου τοῦ Μακεδόνος. Ὁποτέρου δ' ἂν ᾖ, οὐκ ὀρθῶς λέγεται, κατά γε τὴν ἐμὴν γνώμην. Καὶ ἴσως οὐ παράδοξον, εἰ μὴ τὰ αὐτὰ ἀρέσκει ἐμοὶ, καὶ Λυσάνδρῳ. Ὁ μὲν γὰρ ἐτυράννει· ἐγὼ δὲ ὡς φρονῶ, δῆλον ἐξ ὧν μὴ τὸ λεχθὲν ἀρέσκει με.

## ΚΕΦ. ιγ΄.

### Περὶ καρτερίας Ἀγησιλάου.

Ἀγησίλαος ὁ Λακεδαιμόνιος, γέρων ἤδη ὢν, ἀνυπόδετος πολλάκις καὶ ἀχίτων προήει, τὸν τρίβωνα περιβαλλόμενος αὐτὸν, καὶ ταῦτα ἑωθινὸς ἐν ὥρᾳ χειμερίῳ. Ἠτιάσατο δέ τις αὐτὸν, ὡς νεανικώτερα τῆς ἡλικίας ἐπιχειροῦντα· ὁ δὲ, ἀλλ' οἵ γε νέοι, φησὶ, τῶν πολιτῶν, ὥσπεροῦν πῶλοι, πρὸς τὸν τέλειον ἀποβλέπουσιν ἐμέ.

## ΚΕΦ. ιδ΄.

### Περὶ φιλοσόφων στρατηγῶν καὶ πολιτευσαμένων.

Τί δέ; οὐκ ἦσαν καὶ οἱ φιλόσοφοι τὰ πολέμια ἀγαθοί; Ἐμοὶ μὲν δοκοῦσιν· εἴγε Ἀρχύταν μὲν εἵλοντο ἑξάκις στρατηγὸν Ταραντῖνοι, Μέλισσος δὲ ἐναυάρχησε, Σωκράτης δὲ ἐστρατεύσατο τρὶς, Πλάτων δὲ καὶ αὐτὸς, εἰς Τανάγραν, καὶ εἰς Κόρινθον. Τὴν δὲ Ξενοφῶντος ςρατείαν καὶ στρατηγίαν πολλοὶ μὲν καὶ ἄλλοι ᾄδουσι, καὶ αὐτὸς δὲ ὁμολογεῖ ἐν τοῖς περὶ Κύρου λόγοις. Δίων δὲ ὁ Ἱππαρίνου τὴν Διονυσίου τυραννίδα κατέλυσε. Καὶ Ἐπαμινώνδας Βοιωταρχῶν ἐν Λεύκτροις ἐνίκησε Λακεδαιμονίους, καὶ τῶν Ῥωμαίων, καὶ τῶν Ἑλλήνων πρῶτος ἐγένετο. Πολλὰ δὲ καὶ Ζήνων ὑπὲρ Ἀθηναίων ἐπολιτεύσατο πρὸς Ἀντίγονον. Οὐδὲν γὰρ διοίσει, εἴτε τις διὰ γνώμης ὤνησέ τινας, εἴτε δι' ὅπλων.

## ΚΕΦ. ιέ.

### Πῶς οἱ τῶν Μιτυληναίων σύμμαχοι ἀφιστάμενοι ἐτιμωρήθησαν.

Ἡνίκα τῆς θαλάσσης ἦρξαν Μιτυληναῖοι, τοῖς ἀφισταμένοις τῶν συμμάχων τιμωρίαν ἐκείνην ἐπήρτησαν, γράμματα μὴ μανθάνειν τοὺς παῖδας αὐτῶν, μηδὲ μουσικὴν διδάσκεσθαι. πασῶν κολάσεων ἡγησάμενοι βαρυτάτην εἶναι ταύτην, ἐν ἀμαθίᾳ καὶ ἀμουσίᾳ καταβιῶναι.

## ΚΕΦ. ις'.

Περὶ Ῥώμης, Ῥώμου, Ῥωμύλου, καὶ Σερβίας.

Ὅτι Ῥώμη ὑπὸ Ῥώμου καὶ Ῥωμύλου ἐκτίσθη, τῶν Ἄρεως καὶ Σερβίας παίδων. Ἦν δὲ αὕτη μία τῶν Αἰνείου ἀπογόνων.

## ΚΕΦ. ιζ'.

Περὶ Εὐδόξου εἰς Σικελίαν ἀφικομένου.

Ὅτε εἰς Σικελίαν ἧκεν Εὔδοξος, χάριν αὐτῷ πολλὴν ὁ Διονύσιος τῆς ἀφίξεως ᾔδει. Ὁ δὲ, οὐδέν τι πρὸς ταῦτα θωπεύσας, οὐδὲ ὑποδραμὼν, Ἀφικόμην, εἶπεν, ὡσπερανεὶ πρὸς πανδοκέα ἀγαθὸν, παρ' ᾧ κατήγετο Πλάτων· ὁμολογήσας, ὅτι μὴ δι' ἐκεῖνον, ἀλλὰ διὰ τοῦτον, ἀφίκετο.

## ΚΕΦ. ιη'.

Ὅτι οἱ Αἰγύπτιοι καρτεροὶ ἐν ταῖς βασάνοις, καὶ περὶ Ἰνδῶν γυναικῶν.

Αἰγυπτίους φασὶ δεινῶς ἐγκαρτερεῖν ταῖς βασάνοις, καὶ ὅτι θᾶττον τεθνήξεται ἀνὴρ Αἰγύπτιος στρεβλούμενος, ἢ τἀληθὲς ὁμολογήσει. Παρὰ Ἰνδοῖς δὲ αἱ γυναῖκες τὸ αὐτὸ πῦρ ἀποθανοῦσι τοῖς ἀνδράσιν ὑπομένουσι. Φιλοτιμοῦνται δὲ περὶ τούτου αἱ γυναῖκες τοῦ ἀνδρός· καὶ ἡ κλήρῳ λαχοῦσα συγκαίεται.

## ΚΕΦ. ιθ'.

Περὶ Σόλωνος στρατηγήματος κατὰ τῶν Μεγαρέων, καὶ πῶς ἔπειτα ἐκείνων λόγοις ἐκράτησεν.

Σόλων εἰς τὴν ὑπὲρ Σαλαμῖνος μάχην ἐστρατήγησε, καὶ δύο νεῶν Μεγαρίδων κρατήσας, μετεβίβασε στρατηγοὺς Ἀττικοὺς εἰς αὐτὰς, καὶ τὰ τῶν πολεμίων ὅπλα τοῖς οἰκείοις περιθεὶς, καὶ μεθορμισθεὶς δι' ἀπάτης, πολλοὺς τῶν Μεγαρέων κατέκοψεν ἀνόπλους. Ἐκράτησε δὲ καὶ τοῖς λόγοις αὐτῶν, οὐ λόγων δεινότητι, ἀλλὰ δι' αὐτῶν τῶν ἐλέγχων τὸ πλέον ἐναγκά-

μενος. Ἀρχαίας γὰρ θήκας ἀνοίξας, ἀπέδειξε πάντας Ἀθηναίους πρὸς δύσιν κειμένους κατὰ τὸ πάτριον αὐτοῖς ἔθος· τοὺς δὲ Μεγαρεῖς εἰκῇ, καὶ ὡς ἔτυχε, τεθαμμένους. Ἔκριναν δὲ τὴν δίκην Λακεδαιμόνιοι.

## ΚΕΦ. κ'.

### Περὶ γέροντος Κείου τὴν τρίχα βαψαμένου.

Ἀνὴρ εἰς Λακεδαίμονα ἀφίκετο Κεῖος, γέρων ἤδη ὤν, τὰ μὲν ἄλλα ἀλαζὼν, ᾐδεῖτο δὲ ἐπὶ τῷ γήρᾳ, καὶ διὰ ταῦτα τὴν τρίχα πολιὰν οὖσαν ἐπειρᾶτο βαφῇ ἀφανίζειν. Παρελθὼν οὖν εἰς τοὺς Λακεδαιμονίους, καὶ τοιαύτην ὑποφαίνων τὴν κεφαλὴν, ἐκεῖνα εἶπεν, ὑπὲρ ὧν καὶ ἀφίκετο. Ἀναστὰς οὖν ὁ Ἀρχίδαμος ὁ τῶν Λακεδαιμονίων βασιλεὺς, Τί δ' ἂν, ἔφη, οὗτος ὑγιὲς εἴποι, ὃς οὐ μόνον ἐπὶ τῇ ψυχῇ τὸ ψεῦδος, ἀλλὰ καὶ ἐπὶ τῇ κεφαλῇ περιφέρει· καὶ ἐξέωσε τὰ ὑπ' αὐτοῦ λεχθέντα, διαβάλλων τοῦ Κείου τὸν τρόπον, ἐξ ὧν ἑωρᾶτο.

## ΚΕΦ. κά.

### Περὶ Καίσαρος καὶ Πομπηΐου ἐπιμελείας, ὑπὲρ τοῦ μανθάνειν ἃ προσῆκε πρὸς τὸ καλῶς ἄρχειν.

Οὐκ ἀπηξίου Καῖσαρ ἐπὶ τὰς Ἀρίστωνος θύρας φοιτᾷν, Πομπήϊος δὲ ἐπὶ τὰς Κρατίππου. Οὐ γὰρ, ἐπεὶ μέγα ἐδύναντο, ὑπερεφρόνουν τῶν τὰ μέγιστα αὐτοὺς ὀνῆσαι δυναμένων· ἀλλ' ἐδέοντο αὐτῶν, καίτοι τοσοῦτοι ὄντες τὴν ἀξίωσιν. Οὐ γὰρ ἄρχειν, ὡς ἔοικεν, ἀλλὰ καλῶς ἄρχειν ἐβούλοντο.

# ΑΙΛΙΑΝΟΥ

## ΠΟΙΚΙΛΗΣ ΙΣΤΟΡΙΑΣ

### ΒΙΒΛΙΟΝ ΟΓΔΟΟΝ.

ΚΕΦ. α'.

Περὶ τοῦ Δαιμονίου τοῦ Σωκράτους.

ΕΛΕΓΕ δήπου Σωκράτης περὶ τοῦ Δαιμονίου, τοῦ συνόντος αὐτῷ, πρὸς Θεάγην, καὶ Δημόδοκον, καὶ πρὸς ἄλλους πολλούς· φωνὴν πολλάκις ἔφασκε θείᾳ πομπῇ συγκεκληρωμένην αὐτῷ, ἥπερ ὅταν γένηται, ἀεί μοι, φησὶ, σημαίνει, ὃ μέλλω πράττειν, τούτου ἀποτροπὴν, προτρέπει δὲ οὐδέποτε. Καὶ αὖ πάλιν, ἐάν τις μοι, φησὶ, τῶν φίλων ἀνακοινῶται ὑπέρ του, καὶ ἐπιγένηται ἡ φωνὴ ἐκείνη, πάλιν ἀποτρέπει. Καὶ ἐμοὶ μὲν αὕτη συμβουλεύει τοῦτο· ἐγὼ δὲ τῷ συμβουλευομένῳ μοι, καὶ οὐκ ἐῶ πράττειν, ἑπόμενος τῇ θείᾳ προῤῥήσει. Παρείχετο δὲ μάρτυρα Χαρμίδην τὸν Γλαύκωνος· ἀνεκοινώσατο γὰρ αὐτῷ, εἰ μέλλοι ἀσκήσειν εἰς Νεμέαν, καὶ εὐθὺς, ἀπαρχομένου λέγειν, φωνὴ ἐπεγένετο. Καὶ ὁ Σωκράτης τὸν Χαρμίδην διεκώλυσεν ἔχεσθαι, ὧν εἴχετο εἰπών. Ὁ δὲ οὐκ ἐπείσθη· οὐ μὴν εἰς δέον ἀπήντησεν αὐτῷ ἡ σπουδή.

ΚΕΦ. β'.

Περὶ Ἱππάρχου σοφίας, καὶ σπουδῆς περὶ τοὺς πεπαιδευμένους, καὶ περὶ τῶν Ὁμηρικῶν ἐπῶν.

Ἵππαρχος ὁ Πεισιστράτου παῖς, πρεσβύτατος ὢν τῶν Πεισιστράτου, καὶ σοφώτατος ἦν Ἀθηναίων. Οὗτος καὶ τὰ Ὁμήρου ἔπη ἐκόμισε πρῶτος εἰς τὰς Ἀθήνας, καὶ ἠνάγκασε τοὺς ῥαψῳδοὺς τοῖς Παναθηναίοις αὐτὰ ᾄδειν. Καὶ ἐπ' Ἀνακρέοντα δὲ

τὸν Τήϊον πεντηκόντορον ἔστειλεν, ἵνα αὐτὸν πορεύσῃ ὡς αὐτόν. Σιμωνίδην δὲ τὸν Κεῖον διὰ σπουδῆς ἄγων, ἀεὶ περὶ αὐτὸν εἶχε, μεγάλοις δώροις, ὡς τὸ εἰκὸς, πείθων, καὶ μισθοῖς· καὶ γὰρ ὡς ἦν φιλοχρήματος ὁ Σιμωνίδης, οὐδεὶς ἀντιφήσει. Ἔργον δὲ ἦν ἄρα τούτῳ τῷ Ἱππάρχῳ ἡ περὶ τοὺς πεπαιδευμένους σπουδή. Καὶ ἐβούλετο ὑπὸ προσχήματι τῷ ἑαυτοῦ Ἀθηναίους παιδεύεσθαι, καὶ βελτιόνων αὐτῶν ὄντων ἄρχειν ἔσπευδεν· οὐκ ᾤετο γὰρ δεῖν οὐδενὶ φθονεῖν σοφίας, ἅτε ὢν καλὸς καὶ ἀγαθός. Λέγει δὲ Πλάτων ταῦτα, εἰ δὴ ὁ Ἵππαρχος Πλάτωνός ἐστι τῷ ὄντι.

## ΚΕΦ. γ'.

### Περὶ βοὸς παρ' Ἀθηναίοις σφαγῆς, καὶ Διϊπολίων, καὶ Βουφονίων, ἑορτῶν.

Ὅτι Ἀττικὸν τοῦτο τὸ ἔθος, ὅταν ὁ βοῦς ἀποσφαγῇ, τῶν μὲν ἄλλων ἀποψηφίζονται, κρίνοντες ἕκαστον ἐν τῷ μέρει φόνου· καταγινώσκουσι δὲ τῆς μαχαίρας, καὶ λέγουσι ταύτην ἀποκτεῖναι αὐτόν. Καὶ ἐν ᾗ ταῦτα ἡμέρᾳ δρῶσι, Διϊπόλια τὴν ἑορτὴν καλοῦσι, καὶ Βουφόνια.

## ΚΕΦ. δ'.

### Περὶ Πολιάρχου τρυφῆς.

Πολίαρχόν φασι τὸν Ἀθηναῖον εἰς τοσοῦτον προελθεῖν τρυφῆς, ὥστε καὶ κύνας, καὶ ἀλεκτρυόνας ἐκείνους, οἷς ἔχαιρεν, ἐκκομίζειν ἀποθανόντας δημοσίᾳ. Καὶ ἐπὶ τὴν ἐκφορὰν αὐτῶν παρεκάλει τοὺς φίλους, καὶ ἐπιστήματα αὐτοῖς ἀναστήσας, ἐπιγράμματα κατ' αὐτῶν ἐνεκόλαπτεν.

## ΚΕΦ. ε'.

### Περὶ Νηλέως, καὶ Μέδοντος, καὶ τῶν ἐν Ἰωνίᾳ δώδεκα πόλεων.

Ὅτι Νηλεὺς ὁ Κόδρου, τῆς βασιλείας ἀμοιρήσας, ἀπέλιπε τὰς Ἀθήνας, διὰ τὸ τὴν Πυθίαν Μέδοντι τὴν ἀρχὴν περιάψαι, εἰς

ἀποικίαν στελλόμενος. Τῇ Νάξῳ δὲ προσωρμίσθη οὐχ ἑκὼν, ἀλλ' ὑπὸ χειμῶνος βιασθείς· ἀπᾶραι δὲ βουλόμενον, καταπνέοντες ἐναντίοι ἄνεμοι διεκώλυον. Ἀποροῦντι δὲ αὐτῷ ὑπὲρ τῶν ἐνεστώτων, οἱ μάντεις ἔφασαν δεῖν καθαρθῆναι τὸ στρατόπεδον, ὡς συμπλεόντων πολλῶν οὐ καθαρῶν τὰς χεῖρας. Προσεποιήσατο δὴ καὶ αὐτὸς ἀποκτεῖναί τινα παῖδα, καὶ δεῖσθαι καθαρμοῦ· καὶ αὐτὸς ἀνεχώρησε, καὶ τοὺς ἄλλους ἔπεισε τοὺς συνειδότας ἑαυτοῖς. Οὗ γενομένου, καὶ γνωσθέντων ἐκείνων, αὐτοὺς μὲν ἀπέλιπεν, οἱ δὲ ᾤκισαν τὴν Νάξον. Νηλεὺς δὲ εἰς τὴν Ἰωνίαν ἀφίκετο, καὶ πρῶτον μὲν ᾤκισε Μίλητον, Κᾶρας ἐξελάσας, καὶ Μυγδόνας, καὶ Λέλεγας, καὶ ἄλλους βαρβάρου, ἀφ' ὧν αἱ δώδεκα πόλεις ἐκλήθησαν ἐν Ἰωνίᾳ. Εἰσὶ δὲ αἵδε· Μίλητος, Ἔφεσος, Ἐρυθραὶ, Κλαζομεναὶ, Πριήνη, Λέβεδος, Τέως, Κολοφὼν, Μυοῦς, Φώκαια, Σάμος, καὶ Χίος. Καὶ ἄλλας δὲ πολλὰς ὕστερον ᾤκισε πόλεις ἐν τῇ ἠπείρῳ

## ΚΕΦ. ϛ'.

### Περὶ ἀγραμματίας καὶ ἀπαιδευσίας τῶν βαρβάρων.

Τῶν ἀρχαίων φασὶ Θρᾳκῶν μηδένα ἐπίστασθαι γράμματα· ἀλλὰ καὶ ἐνόμιζον αἴσχιστον εἶναι πάντες οἱ τὴν Εὐρώπην οἰκοῦντες βάρβαροι χρῆσθαι γράμμασιν. Οἱ δὲ ἐν τῇ Ἀσίᾳ, ὡς λόγος, ἐχρῶντο αὐτοῖς μᾶλλον. Ἔνθεν τοι καὶ τολμῶσι λέγειν· μηδὲ τὸν Ὀρφέα σοφὸν γεγονέναι, Θρᾷκα ὄντα, ἀλλ' ἄλλως τοὺς μύθους αὐτοῦ καταψεύσασθαι. Ταῦτα Ἀνδροτίων λέγει, εἴ τῳ πιστὸς ὑπὲρ τῆς ἀγραμματίας καὶ ἀπαιδευσίας Θρᾳκῶν τεκμηριῶσαι.

## ΚΕΦ. κ'.

### Περὶ ἑστιωμένων γάμων ὑπ' Ἀλεξάνδρου, ὅτε Δαρεῖον ἐνίκησεν.

Ἀλέξανδρος, ὅτε Δαρεῖον εἷλε, γάμους εἱστία, καὶ ἑαυτοῦ, καὶ τῶν φίλων. Ἐννενήκοντα δὲ ἦσαν οἱ γαμοῦντες, καὶ ἰσά-

ριθμοι τούτοις οἱ θάλαμοι. Ἦν δὲ ὁ ἀνδρὼν, ὁ ὑποδεχόμενος καὶ ἑστιῶν αὐτοὺς, ἑκατοντάκλινος· καὶ ἑκάστη κλίνη ἀργυρόπους ἦν, ἡ δὲ αὐτοῦ χρυσόπους. Καὶ κεκόσμηντο πᾶσαι ἁλουργοῖς καὶ ποικίλοις ἱματίοις ὑφῆς βαρβαρικῆς μεγατίμου. Συμπαρέλαβε δὲ εἰς τὸ συμπόσιον καὶ τοὺς ἰδιοξένους, καὶ κατέκλινεν ἀντιπροσώπους ἑαυτῷ. Ἐν δὲ τῇ αὐλῇ εἱστιῶντο αἵτε ἄλλαι δυνάμεις, αἱ πεζαὶ, καὶ αἱ ναυτικαὶ, καὶ οἱ ἱππεῖς, καὶ αἱ πρεσβεῖαι δὲ εἱστιῶντο, καὶ οἱ παρεπιδημοῦντες Ἕλληνες. Καὶ ἐγένετο τὰ δεῖπνα πρὸς σάλπιγγα, τὸ μὲν συγκλητικὸν μέλος ᾀδούσης, ὅτε αὐτοὺς ἐχρῆν παριέναι ἐπὶ τὴν δαῖτα, τὸ δὲ ἀνακλητικὸν, ὅτε ἐσήμαινεν ἀπαλλάσσεσθαι. Πέντε δὲ ἡμέρας καθεξῆς τοὺς γάμους ἔθυεν. Ἀφίκοντο δὲ καὶ μουσουργοὶ, καὶ ὑποκριταὶ, οἱ μὲν κωμῳδίας, οἱ δὲ τραγῳδίας, πάμπολλοι. Ἦσαν δὲ καὶ ἐκ τῆς Ἰνδικῆς θαυματοποιοὶ διαπρέποντες, καὶ ἔδοξαν δὲ αὐτοὶ κρατεῖν τῶν ἄλλων τῶν ἀλλαχόθεν.

## ΚΕΦ. ή.

### Περὶ γραφικῆς τέχνης.

Κόνων ὁ Κλεωναῖος ἐξειργάσατό, φασι, τὴν τέχνην τὴν γραφικὴν, ὑποφυομένην ἔτι, καὶ ἀτέχνως ὑπὸ τῶν πρὸ αὐτοῦ καὶ ἀπείρως ἐκτελουμένης, καὶ τρόπον τινὰ ἐν σπαργάνοις καὶ γάλαξιν οὖσαν. Διὰ ταῦτά τοι καὶ μισθοὺς τῶν πρὸ αὐτοῦ πρῶτος ἔλαβεν ἁδροτέρους.

## ΚΕΦ. θ΄.

### Περὶ τυράννου ὑπὸ τῶν ἑαυτοῦ παιδικῶν φονευθέντος.

Ἀρχέλαον τὸν Μακεδόνων τύραννον (οὕτω γὰρ καὶ Πλάτων αὐτὸν ὀνομάζει, καὶ οὐ βασιλέα,) τὰ παιδικὰ αὐτοῦ, Κρατεύας, ἐρασθεὶς τῆς τυραννίδος, οὐδὲν ἧττον, ἤπερ ἐκεῖνος τῶν παιδικῶν ἠράσθη, ἀπέκτεινε τὸν ἐραστὴν, ὁ Κρατεύας Ἀρχέλαον, ὡς τύραννός τε καὶ εὐδαίμων ἀνὴρ ἐσόμενος. Τρεῖς δὲ ἢ τέσσαρας ἡμέρας τὴν τυραννίδα κατασχὼν, τὸ

μειράκιον πάλιν αὐτὸς ἐπιβουλευθεὶς ὑφ' ἑτέρων ἐτελεύτησεν. Εἴη δ' ἂν πρεπωδέστατον ἐπειπεῖν τῷδε τῷ Μακεδονικῷ δράματι τὸ ἔπος ἐκεῖνο·

Τεύχων ὡς ἑτέρῳ τις, ἑῷ κακὸν ἥπατι τεύχει.

Ὅτι διεψεύσατο αὐτῷ, φασιν, Ἀρχέλαος τῶν θυγατέρων μίαν δώσειν· ὅτε δὴ ἄλλῳ συνῴκισε τὴν παῖδα, ὑπεραγανακτήσας διέφθειρε τὸν Ἀρχέλαον.

## ΚΕΦ. ί.

### Περὶ Σόλωνος, καὶ τῶν αὐτῷ, καὶ Δράκοντι, γραφέντων νόμων.

Σόλωνα αἱρετὸν Ἀθηναῖοι προείλοντο ἄρχειν αὐτοῖς, οὐ γὰρ κληρωτὸν τοῦτον. Ἐπεὶ δὲ ἡρέθη, τά τε ἄλλα ἐκόσμησε τὴν πόλιν, καὶ δὴ καὶ τοὺς νόμους, τοὺς νῦν ἔτι φυλαττομένους, συνέγραψεν αὐτοῖς. Καὶ τότε ἐπαύσαντο Ἀθηναῖοι χρώμενοι τοῖς Δράκοντος· ἐκαλοῦντο δὲ ἐκεῖνοι Θεσμοί. Μόνους δὲ ἐφύλαξαν τοὺς φονικοὺς αὐτοῦ.

## ΚΕΦ. ιά.

### Περὶ πραγμάτων μειώσεως καὶ φθορᾶς, καὶ τοῦ κόσμου αὐτοῦ.

Οὐδὲν ἔτι θαυμάζωμεν, εἰ ἡ τῶν ἀνθρώπων φύσις, θνητὴ οὖσα, καὶ ἐφήμερος φθείρεσθαι αὐτοὺς ἀναγκάζει, ὅπου καὶ τοὺς ποταμοὺς ὁρῶμεν ἐπιλείποντας, καὶ τῶν ὀρῶν δὲ τὰ ὑψηλότατα ἀκούομεν μειούμενα καὶ ἐκεῖνα. Τὴν γοῦν Αἴτνην φασὶν οἱ πλέοντες ἐξ ἐλάσσονος ὁρᾶν, ἢ προτοῦ ἐβλέπετο· τὸ δὲ αὐτὸ τοῦτο καὶ τὸν Παρνασσὸν παθεῖν, καὶ τὸν Ὄλυμπον τὸν Πιερικόν. Οἱ δὲ ἔτι μᾶλλον δοκοῦντες τὴν τῶν ὅλων φύσιν κατεσκέφθαι λέγουσι καὶ τὸν κόσμον διαφθείρεσθαι αὐτόν.

## ΚΕΦ. ιβ'.

### Περὶ Δημοσθένους, Αἰσχίνου, Θεοφράστου, καὶ Δημοχάρους.

Παράδοξόν γε, οὐ γάρ; ἀλλ' ἀληθές. Ἐκπεσόντος Δημοσθένους ἐν Μακεδονίᾳ, Αἰσχίνης ὁ Ἀτρομήτου ὁ Κοθωκίδης καὶ ἐνευδοκίμει τοῖς Μακεδόσι, καὶ πάμπολυ περιῆν τῶν πρέσβεων τὸ φρονήματι. Αἰτία δὲ ἦν ἄρα τούτου τῷ Αἰσχίνῃ, ἥτε πρὸς Φίλιππον φιλία, καὶ τὰ ἐξ αὐτοῦ δῶρα, καὶ ὅτι πρᾴως καὶ ἡδέως ἤκουεν αὐτοῦ ὁ Φίλιππος, μειλιχίῳ τῷ βλέμματι προσβλέπων καὶ ὑποφαίνων τὴν ἐξ αὐτοῦ εὔνοιαν. Ἅπερ οὖν πάντα ἐφολκὰ ἦν εἰς τὴν παῤῥησίαν τῷ Αἰσχίνῃ, καὶ τὴν τῶν λόγων εὔροιαν. Οὐ μόνος δὲ τοῦτο ἔπαθε Δημοσθένης ἐν Μακεδονίᾳ, καίτοι δεινότατος ὢν εἰπεῖν, ἀλλὰ καὶ Θεόφραστος ὁ Ἐρέσιος. Ἐξέπεσε γὰρ καὶ οὗτος ἐπὶ τῆς ἐξ Ἀρείου πάγου βουλῆς λέγων· καὶ ταύτην ἀπολογίαν προεφέρετο, ὅτι κατεπλάγη τὸ ἀξίωμα τοῦ συνεδρίου. Πικρότατα οὖν ἀπήντησε καὶ ἑτοιμότατα πρὸς τοῦτον αὐτοῦ τὸν λόγον ὁ Δημοχάρης, εἰπὼν, Ὦ Θεόφραστε, Ἀθηναῖοι ἦσαν, ἀλλ' οὐχ οἱ δώδεκα θεοὶ οἱ δικάζοντες.

## ΚΕΦ. ιγ'.

### Τίνες οὐκ ἐγέλων.

Ἀναξαγόραν τὸν Κλαζομένιόν φασι μὴ γελῶντά ποτε ὀφθῆναι, μήτε μειδιῶντα τὴν ἀρχήν. Λέγουσι δὲ καὶ Ἀριστόξενον τῷ γέλωτι ἀνὰ κράτος πολέμιον γενέσθαι· Ἡράκλειτόν τε ὅτι πάντα τὰ ἐν τῷ βίῳ ἔκλαεν.

## ΚΕΦ. ιδ'.

### Περὶ Διογένους τελετῆς.

Διογένης ὁ Σινωπεὺς, ὅτε λοιπὸν ἐνόσει ἐπὶ θανάτῳ, ἑαυτὸν φέρων μόνον ἔῤῥιψε κατά τινος γεφυρίου πρὸς γυμνασίῳ ὄντος, καὶ προσέταξε τῷ παλαιστροφύλακι, ἐπειδὰν αἴσθηται

ἀποπεπνευκότα αὐτὸν, ῥίψαι εἰς τὸν Ἰλισσόν. Οὕτως ἄρα ὀλίγον ἔμελε Διογένει καὶ θανάτου, καὶ ταφῆς.

## ΚΕΦ. ιε'.

### Περὶ Φιλίππου ἐν νίκῃ ἐγκρατείας, καὶ τίνος ἐβούλετο ἀναμιμνήσκεσθαι.

Ἐν Χαιρωνείᾳ τοὺς Ἀθηναίους νίκῃ ἐνίκησε Φίλιππος. Ἐπαρθεὶς δὲ τῇ εὐπραγίᾳ, ὅμως λογισμῷ ἐκράτησε, καὶ οὐχ ὕβρισε· καὶ διὰ ταῦτα ᾤετο δεῖν αὐτὸν ὑπομιμνήσκεσθαι ὑπό τινος τῶν παίδων ἕωθεν, ὅτι ἄνθρωπός ἐστι, καὶ προσέταξε τῷ παιδὶ τοῦτο ἔχειν ἔργον. Καὶ οὐ πρότερόν, φασιν, οὔτε αὐτὸς προῄει, οὔτε τις τῶν δεομένων αὐτοῦ παρ' αὐτὸν εἰσῄει, πρὶν τοῦτο αὐτῷ τὸν παῖδα ἑκάστης ἡμέρας ἐκβοῆσαι τρίς· ἔλεγε δὲ αὐτῷ, Φίλιππε, ἄνθρωπος εἶ.

## ΚΕΦ. ις'.

### Περὶ Σόλωνος καὶ Πεισιστράτου.

Σόλων ὁ Ἐξηκεστίδου, γέρων ἤδη ὢν, ὑπώπτευε Πεισίστρατον τυραννίδι ἐπιθήσεσθαι, ἡνίκα παρῆλθεν εἰς τὴν ἐκκλησίαν τῶν Ἀθηναίων, καὶ ᾔτει φρουρὰν ὁ Πεισίστρατος. Ὁρῶν δὲ τοὺς Ἀθηναίους τῶν μὲν αὐτοῦ λόγων ῥαθύμως ἀκούοντας, προσέχοντας δὲ τῷ Πεισιστράτῳ, ἔφη, ὅτι τῶν μέν ἐστι σοφώτερος, τῶν δὲ ἀνδρειότερος. Ὁπόσοι μὲν μὴ γινώσκουσιν, ὅτι, φυλακὴν λαβὼν περὶ τὸ σῶμα, τύραννος ἔσται, ἀλλὰ τούτων μέν ἐστι σοφώτερος· ὁπόσοι δὲ γινώσκοντες, ὑποσιωπῶσι, τούτων ἀνδρειότερός ἐστιν. Ὁ δὲ λαβὼν τὴν δύναμιν, τύραννος ἦν. Καθεζόμενος δὲ Σόλων πρὸ τῆς οἰκίας, τὴν ἀσπίδα καὶ τὸ δόρυ παραθέμενος ἔλεγεν, ὅτι ἐξώπλισται, καὶ βοηθεῖ τῇ πατρίδι, ᾗ δύναται, στρατηγὸς μὲν διὰ τὴν ἡλικίαν οὐκ ἔτι ὤν, εὔνους δὲ διὰ τὴν γνώμην. Ὅμως οὖν Πεισίστρατος, εἴτε αἰδοῖ τῇ πρὸς τὸν ἄνδρα, καὶ τὴν σοφίαν αὐτοῦ, εἴτε καὶ μνήμῃ τῶν ἐφ' ἡλικίας (λέγεται γὰρ αὐτῷ παιδικὰ γενέσθαι), οὐδέν γε ἔδρασε κακὸν

Σόλωνα. Ὁ δ᾽ οὖν Σόλων ὀλίγον ὕστερον, ὑπέργυρος ὤν, τὸν βίον ἐτελεύτησεν, ἐπὶ σοφίᾳ καὶ ἀνδρείᾳ μεγάλην ἀπολιπὼν δόξαν. Καὶ ἀνέστησαν αὐτῷ χαλκῆν εἰκόνα ἐν τῇ ἀγορᾷ· ἀλλὰ καὶ ἔθαψαν αὐτὸν δημοσίᾳ παρὰ τὰς πύλας πρὸς τῷ τείχει ἐν δεξιᾷ εἰσιόντων, καὶ περιῳκοδόμητο αὐτῷ ὁ τάφος.

## ΚΕΦ. ιζ΄.

### Περὶ Σκύθου, Ζαγκλαίων μονάρχου.

Ὅτι Σκύθης ὁ Ἰνύκινος, ὁ τῶν Ζαγκλαίων μονάρχης, ἀνέβη εἰς Ἀσίαν παρὰ βασιλέα Δαρεῖον. Καὶ αὐτὸν ἐνόμισε πάντων δικαιότατον ἀνδρῶν εἶναι, ὅσοι ἐκ τῆς Ἑλλάδος παρ᾽ αὐτὸν ἀνέβησαν, ὅτι παραιτησάμενος βασιλέα ἀφίκετο εἰς Σικελίαν, καὶ πάλιν ἐκ Σικελίας παρὰ βασιλέα ὀπίσω. Τοῦτο δὲ Δημοκήδης ὁ Κροτωνιάτης οὐκ ἐποίησε· καὶ διὰ τοῦτο Δαρεῖος ὑπὲρ αὐτοῦ φλαύρως ἔλεγεν, ἀπατεῶνα λέγων, καὶ ἄνθρωπον κάκιστον. Ὁ οὖν Σκύθης ἐν Πέρσαις, μέγα ὄλβιος ὤν, γήρᾳ κατέστρεψε τὸν βίον.

## ΚΕΦ. ιη΄.

### Περὶ Εὐθύμου, καὶ τοῦ ἐν Τεμέσῃ Ἥρωος, καὶ παροιμίας.

Εὔθυμος ὁ Λοκρὸς τῶν ἐν Ἰταλίᾳ, πύκτης ἀγαθὸς ἦν, ῥώμῃ τε σώματος πεπίστευται θαυμασιώτατος γενέσθαι. Λίθον γὰρ μεγέθει μέγιστον δεικνύουσι Λοκροὶ, ὃν ἐκόμισε, καὶ ἔθηκε πρὸ τῶν θυρῶν. Καὶ τὸν ἐν Τεμέσῃ Ἥρωα, φόρους πραττόμενον παρὰ τῶν προσοίκων ἔπαυσεν. Ἀφικόμενος γὰρ εἰς τὸ ἱερὸν αὐτοῦ, ὅπερ ἄβατον ἦν τοῖς πολλοῖς, διηγωνίσατο πρὸς αὐτὸν, καὶ ἠνάγκασεν, ὧνπερ ἐσύλησεν, ἀποτίσαι πλείω. Ἐντεῦθέν τοι καὶ ἔῤῥευσεν ἡ παροιμία, ἡ λέγουσα, ἐπὶ τῶν ἀλυσιτελῶς τι κερδαινόντων, ὅτι αὐτοῖς ἀφίξεται ὁ ἐν Τεμέσῃ Ἥρως. Λέγουσι δὲ τὸν αὐτὸν Εὔθυμον, καταβάντα ἐπὶ τὸν Καικινὸν ποταμὸν, ὅς ἐστι πρὸ τῆς τῶν Λοκρῶν πόλεως, ἀφανισθῆναι.

## ΚΕΦ. ιθ΄.

### Ἐπιτύμβιον Ἀναξαγόρου, καὶ βωμὸς αὐτοῦ.

Ὅτι τοῦτο ἐπιγέγραπται Ἀναξαγόρᾳ·

Ἐνθάδ᾽ ὁ πλεῖστον ἀληθείας ἐπὶ τέρμα περήσας
Οὐρανίου κόσμου, κεῖται Ἀναξαγόρας.

Ὅτι καὶ βωμὸς αὐτῷ ἵσταται, καὶ ἐπιγέγραπται, οἱ μὲν, Νοῦ, οἱ δὲ, Ἀληθείας.

# ΑΙΛΙΑΝΟΥ

## ΠΟΙΚΙΛΗΣ ΙΣΤΟΡΙΑΣ

### ΒΙΒΛΙΟΝ ΕΝΝΑΤΟΝ.

#### ΚΕΦ. α'.

Ὅτι Ἱέρων καὶ παιδείαν ἠγάπησε, καὶ εὐεργέτης ἦν, καὶ τοῖς ἀδελφοῖς ἐν ἀγάπῃ συνεβίου.

ἹΈΡΩΝΑ φασι τὸν Συρακούσιον φιλέλληνα γενέσθαι, καὶ τιμῆσαι παιδείαν ἀνδρειότατα. Καὶ ὡς ἦν προχειρότατος εἰς τὰς εὐεργεσίας λέγουσι· προθυμότερον γάρ φασιν αὐτὸν χαρίζεσθαι, ἢ τοὺς αἰτοῦντας λαμβάνειν. Ἦν δὲ καὶ τὴν ψυχὴν ἀνδρειότατος. Ἀβασανίστως δὲ καὶ τοῖς ἀδελφοῖς συνεβίωσε, τρισὶν οὖσι, πάνυ σφόδρα ἀγαπήσας αὐτοὺς, καὶ ὑπ' αὐτῶν φιληθεὶς ἐν τῷ μέρει. Τούτῳ, φασὶ, καὶ Σιμωνίδης συνεβίωσε καὶ Πίνδαρος. Καὶ οὐκ ὤκνησέ γε Σιμωνίδης, βαρὺς ὢν ὑπὸ γήρως, πρὸς αὐτὸν ἀφικέσθαι. Ἦν μὲν γὰρ καὶ φύσει φιλάργυρος ὁ Κεῖος· προὔτρεπε δὲ αὐτὸν καὶ πλέον ἡ τοῦ Ἱέρωνος φιλοδωρία, φασίν.

#### ΚΕΦ. β'.

Περὶ Ταυροσθένους νίκης.

Ὅτι ἐν Αἰγίνῃ ἐξ Ὀλυμπίας αὐθημερὸν διηγγέλη ἡ νίκη τοῦ Ταυροσθένους τῷ πατρὶ αὐτοῦ ὑπὸ φάσματός, φασιν. Ἄλλοι δέ φασι, περιστερὰν τὸν Ταυροσθένην ἐπάγεσθαι, ἀπολιποῦσαν τοὺς ἑαυτῆς νεοσσοὺς, ὑγροὺς ἔτι καὶ ἀπτῆνας. Νικήσαντα δὲ ἀφεῖναι τὴν πελειάδα, προσάψαντα πορφύραν αὐτῇ· τὴν δὲ, ἐπειγομένην πρὸς τοὺς νεοττοὺς, ἀπαυθημερίσαι ἐκ Πίσης εἰς Αἴγιναν.

## ΚΕΦ. γ'.

Περὶ τινων, καὶ τῆς τοῦ Ἀλεξάνδρου τρυφῆς, καὶ ὑπεριφανίας.

Ὅτι διέθρυπτε τοὺς ἑταίρους Ἀλέξανδρος, τρυφᾶν ἐπιχωρῶν αὐτοῖς. Εἴγε καὶ Ἄγνων χρυσοῦς ἥλους ἐν ταῖς κρηπῖσιν ἐφόρει. Κλεῖτος δὲ, εἴποτε μέλλοι τισὶ χρηματίζειν, ἐπὶ πορφυρῶν βαδίζων εἱμάτων, τοὺς δεομένους προσίετο. Περδίκκα δὲ καὶ Κρατερῷ φιλογυμναστοῦσιν ἠκολούθουν διφθέραι σταδιαῖαι τὸ μέγεθος, ὑφ' ὧν περιλαμβάνοντες τόπον εὐμεγέθη ἐν ταῖς καταστρατοπεδείαις ἐγυμνάζοντο. Εἵπετο δὲ αὐτοῖς καὶ πολλὴ κόνις δι ὑποζυγίων, εἰς τὰ γυμνάσια λυσιτελὴς οὖσα. Λεοννάτῳ δὲ καὶ Μενελάῳ φιλοθηροῦσιν αὐλαῖαι σταδίων ἑκατὸν ἠκολούθουν. Αὐτῷ δὲ Ἀλεξάνδρῳ ἡ μὲν σκηνὴ ἦν κλινῶν ἑκατόν· χρυσοῖ δὲ κίονες πεντήκοντα διειλήφεσαν αὐτὴν, καὶ τὸν ὄροφον αὐτῆς ἀνεῖχον· αὐτὸς δὲ ὁ ὄροφος διάχρυσος ἦν, καὶ ἐκπεπόνητο ποικίλμασι πολυτελέσι. Καὶ πρῶτοι μὲν Πέρσαι πεντακόσιοι, οἱ καλούμενοι Μηλοφόροι, περὶ αὐτὴν ἐκτὸς εἱστήκεσαν, πορφυρᾶς καὶ μηλίνας ἠσθημένοι στολάς· ἐπ' αὐτοῖς δὲ τοξόται χίλιοι· φλόγινα ἐνδεδυκότες καὶ ὑσγινοβαφῆ· πρὸ δὲ τούτων οἱ ἀργυράσπιδες, πεντακόσιοι Μακεδόνες. Ἐν μέσῃ δὲ τῇ σκηνῇ χρυσοῦς ἐτίθετο δίφρος, καὶ ἐπ' αὐτῷ καθήμενος Ἀλέξανδρος ἐχρημάτιζε, περιεστώτων αὐτῷ πάντοθεν τῶν σωματοφυλάκων. Περιῄει δὲ τὴν σκηνὴν περίβολος, ἔνθα ἦσαν Μακεδόνες χίλιοι, καὶ Πέρσαι μύριοι. Καὶ οὐδεὶς ἐτόλμα ῥᾳδίως προσελθεῖν αὐτῷ· πολὺ γὰρ ἦν τὸ ἐξ αὐτοῦ δέος, ἀρθέντος ὑπὸ φρονήματος καὶ τύχης εἰς τυραννίδα.

## ΚΕΦ. δ'.

Περὶ Πολυκράτους σπουδῆς περὶ τὸν Ἀνακρέοντα, καὶ ζηλοτυπίας.

Πολυκράτης ὁ Σάμιος ἐν Μούσαις ἦν, καὶ Ἀνακρέοντα ἐτίμα τὸν Τήϊον, καὶ διὰ σπουδῆς ἦγε, καὶ ἔχαιρεν αὐτῷ, καὶ τοῖς

ἐκείνου μέλεσιν. Οὐκ ἐπαινῶ δὲ αὐτοῦ τὴν τρυφήν. Ἀνακρέων ἐπῄνεσε Σμερδίην θερμότερον, τὰ παιδικὰ Πολυκράτους. Εἶτα ἥσθη τὸ μειράκιον τῷ ἐπαίνῳ, καὶ τὸν Ἀνακρέοντα ἠσπάζετο σεμνῶς εὖ μάλα, ἐρῶντα τῆς ψυχῆς, ἀλλ᾽ οὐ τοῦ σώματος. Μὴ γάρ τις ἡμῖν διαβαλλέτω, πρὸς Θεῶν, τὸν Ποιητὴν τὸν Τήϊον, μηδ᾽ ἀκόλαστον εἶναι λεγέτω. Ἐζηλοτύπησε δὲ Πολυκράτης, ὅτι τὸν Σμερδίην ἐτίμησε, καὶ ἑώρα τὸν Ποιητὴν ὑπὸ τοῦ παιδὸς ἀντιφιλούμενον· καὶ ἀπέκειρε τὸν παῖδα ὁ Πολυκράτης, ἐκεῖνον μὲν αἰσχύνων, οἰόμενος δὲ λυπεῖν Ἀνακρέοντα. Ὁ δὲ οὐ προσεποιήσατο αἰτιᾶσθαι τὸν Πολυκράτην σωφρόνως καὶ ἐγκρατῶς· μετήγαγε δὲ τὸ ἔγκλημα ἐπὶ τὸ μειράκιον, ἐν οἷς ἐπεκάλει τόλμαν αὐτῷ καὶ ἀμαθίαν, ὁπλισαμένῳ κατὰ τῶν ἑαυτοῦ τριχῶν. Τὸ δὲ ᾆσμα τὸ ἐπὶ τῷ πάθει τῆς κόμης Ἀνακρέων ᾀσάτω· ἐμοῦ γὰρ αὐτὸς ἄμεινον ᾄσεται.

## ΚΕΦ. έ.

### Περὶ Ἱέρωνος καὶ Θεμιστοκλέους.

Θεμιστοκλῆς Ἱέρωνα ἥκοντα εἰς Ὀλυμπίαν, Ὀλυμπίων ἀγομένων, ἵππους ἄγοντα, εἶρξε τῆς ἀγωνίας εἰπὼν, τὸν μὴ μεταλαβόντα τοῦ μεγίστου τῶν κινδύνων, τῶν πανηγύρεων μεταλαμβάνειν μὴ δεῖν· καὶ ἐπῃνέθη Θεμιστοκλῆς.

## ΚΕΦ. ς'.

### Περὶ Περικλέους, καὶ υἱῶν αὐτοῦ λοιμῷ ἀποθανόντων.

Ὅτι Περικλῆς, ἐν τῷ λοιμῷ τοὺς παῖδας ἀποβαλὼν, ἀνδρειότατα τὸν θάνατον αὐτῶν ἤνεγκε, καὶ πάντας Ἀθηναίους εὐθυμότερον ἔπεισε τοὺς τῶν φιλτάτων θανάτους φέρειν.

## ΚΕΦ. ζ'.

### Περὶ Σωκράτους ἐν πᾶσιν εὐθυμίας.

Ἔλεγεν ἡ Ξανθίππη, ὡς μυρίων μεταβολῶν τὴν πόλιν κατασχουσῶν, ἐν πάσαις ὅμοιον ἦν τὸ Σωκράτους πρόσωπον,

καὶ προϊόντος ἐκ τῆς οἰκίας, καὶ ἐπανιόντος, ἀεὶ θεᾶσθαι· ἥρμοστο γὰρ πρὸς πάντα ἐπιεικῶς, καὶ ἦν ἵλεως ἀεὶ τὴν διάνοιαν, καὶ λύπης ὑπεράνω πάσης, καὶ φόβου κρείττων παντὸς ὤν.

## ΚΕΦ. ἡ.

Ὅτι ἀκόλαστος περὶ γυναῖκας Διονύσιος.

Ὁ νέος Διονύσιοςς εἰς τὴν Λοκρῶν πόλιν παριὼν (εἴγε ἡ Δωρὶς ἡ μήτηρ αὐτοῦ Λοκρὶς ἦν), τοὺς οἴκους τῶν μεγίστων τῶν ἐν τῇ πόλει καταλαμβάνων, ῥόδοις, καὶ ἑρπύλλοις, καὶ ἄλλοις ἄνθεσι καταστρωννὺς, τὰς τῶν Λοκρῶν θυγατέρας μετεπέμπετο, καὶ συνῆν αὐταῖς ἀκολαστότερον· Ὑπὲρ δὴ τούτου ἔτισε δίκην· ἐπειδὴ γὰρ αὐτοῦ ἡ τυραννὶς κατελύθη ὑπὸ Δίωνος, ἐνταῦθα οἱ Λοκροὶ τὴν γυναῖκα τοῦ Διονυσίου καὶ τὰς θυγατέρας κατεπόρνευσαν, καὶ ἀνέδην αὐταῖς ἐνύβριζον πάντες, μάλιστα οἱ προσήκοντες ταῖς παρθένοις ταῖς ὑπὸ Διονυσίου διεφθαρμέναις. Ἡνίκα δὲ διακορεῖς ἐγένοντο ὑβρίζοντες, κεντοῦντες αὐτὰς ὑπὸ τοῖς ὄνυξι τοῖς τῶν χειρῶν βελόναις ἀπέκτειναν. Τὰ δὲ ὀστᾶ κατέκοψαν ἐν ὅλμοις, καὶ τὰ κρέα τῶν ὀστῶν ἀφελόντες ἐπηράσαντο τοῖς μὴ γευσαμένοις αὐτῶν· εἰ δέ τι περιελείφθη ἐξ αὐτῶν, κατεπόντωσαν. Ὁ δὲ ἐν Κορίνθῳ, πολλαῖς καὶ ποικίλαις χρησάμενος βίου μεταβολαῖς, διὰ τὴν ὑπερβάλλουσαν ἀπορίαν, τελευταῖον δὲ μητραγυρτῶν, καὶ κρούων τύμπανα, καὶ καταυλούμενος δὲ, τὸν βίον κατέστρεψεν.

## ΚΕΦ. θ'.

Ὅτι καὶ Δημήτριος ἀκόλαστος.

Δημήτριος ὁ Πολιορκητὴς ᾕρει τὰς πόλεις, καὶ τῇ ἑαυτοῦ τρυφῇ καταχρώμενος, χίλια μὲν καὶ διακόσια τάλαντα πρόσοδον ἑαυτῷ περιεποιήσατο καθ' ἕκαστον ἔτος, καὶ ἐκ τούτων ὀλίγα μὲν εἰς τὸ στρατόπεδον ἐδαπάνα, τὰ δὲ λοιπὰ εἰς τὴν ἀκολασίαν τὴν ἑαυτοῦ. Μύροις τε ἐῤῥαίνετο αὐτῷ τὸ

δάπανον, καὶ καθ' ἑκάστην ἔτους ὥραν τὰ ἐνακμάζοντα τῶν ἀνθῶν πάντα ὑπεσπείρετο αὐτῷ, ἵνα κατ' αὐτῶν βαδίζῃ. Ἦν δὲ καὶ πρὸς γυναῖκας ἀκόλαστος, καὶ νεανικοῖς ἔρωσιν ἐπεχείρει. Ἔμελλε δὲ αὐτῷ καὶ καλῷ εἶναι εὐθετίζοντι τὴν τρίχα, καὶ ξανθιζομένῳ, καὶ ὑπαλειφομένῳ τὸ πρόσωπον παιδέρωτι. Καὶ τοῖς ἄλλοις δὲ ἐχρίετο ἀλείμμασι, προσφιλοτιμούμενος τῇ ῥαθυμίᾳ.

## ΚΕΦ. ι.

### Περὶ Πλάτωνος βίου ὀλιγωρίας.

Ὁ Πλάτων, νοσεροῦ χωρίου λεγομένου εἶναι τῆς Ἀκαδημίας, καὶ συμβουλευόντων αὐτῷ ἰατρῶν εἰς τὸ Λύκειον μετοικῆσαι, οὐκ ἠξίωσεν, εἰπὼν, Ἀλλ' ἔγωγε οὐκ ἂν οὐδὲ εἰς τὰ ἄκρα τὰ τοῦ Ἄθω μετῴκησα ἂν ὑπὲρ τοῦ μακροβιώτερος γενέσθαι.

## ΚΕΦ. ιά.

### Περὶ Παῤῥασίου τοῦ ζωγράφου.

Παῤῥάσιος ὁ ζωγράφος, ὅτι μὲν πορφυρίδα ἐφόρει, καὶ χρυσοῦν στέφανον περιέκειτο, μαρτυροῦσι καὶ ἄλλοι, καὶ τὰ ἐπιγράμματα δὲ ἐπὶ πολλῶν εἰκόνων αὐτοῦ. Ἠγωνίσατο δὲ ποτὲ ἐν Σάμῳ, συνέτυχε δὲ ἀντιπάλῳ οὐ κατὰ πολὺ ἐνδεεστέρῳ αὐτοῦ, εἶτα ἡττήθη. Τὸ δὲ ἐπίγραμμα ἦν αὐτῷ, ὁ Αἴας ὑπὲρ τῶν ὅπλων τῶν Ἀχιλλέως ἀγωνισάμενος πρὸς τὸν Ὀδυσσέα. Ἡττηθεὶς δὲ, εὖ μάλα ἀστείως ἀπεκρίνατο πρὸς τὸν συναχθόμενον αὐτῷ τῶν ἑταίρων, ὁ Παῤῥάσιος· ἔφη γὰρ αὐτὸς μὲν ὑπὲρ τῆς ἥττης ὀλίγον φροντίζειν, συνάχθεσθαι δὲ τῷ παιδὶ τοῦ Τελαμῶνος, δεύτερον τοῦτο ὑπὲρ τῶν αὐτῶν ἡττηθέντι. Κατεῖχε δὲ καὶ σκίπωνα χρυσᾶς ἕλικας ἔχοντα περιεπούσας, χρυσοῖς τε ἀνασπάστοις ἐπέσφιγγε τοὺς ἀναγωγέας τῶν βλαυτῶν. Φασὶ δὲ αὐτὸν, μηδὲ ἄκοντα, μηδὲ ἐπιπόνως τὰ ἐν τῇ τέχνῃ χειρουργεῖν, πάνυ δὲ εὐθύμως, καὶ ῥᾳδίως· καὶ γὰρ καὶ ᾖδε, καὶ ὑποκινυρόμενος, τὸν κάματον

τὸν

τὸν ἐκ τῆς ἐπιστήμης ἐπειρᾶτο ἐπελαφρύνειν. Λέγει δὲ ταῦτα Θεόφραστος.

## ΚΕΦ. ιβ'.

### Περὶ Ἐπικουρείων ἐξωσθέντων ὑπὸ Ῥωμαίων καὶ Μεσσηνίων.

Ὅτι Ῥωμαῖοι Ἀλκαῖον καὶ Φιλίσκον, τοὺς Ἐπικουρείους, ἐξέβαλον τῆς πόλεως, ὅτι πολλῶν καὶ ἀτόπων ἡδονῶν εἰσηγηταὶ τοῖς νέοις ἐγένοντο. Καὶ Μεσσήνιοι δὲ ἐξέωσαν τοὺς Ἐπικουρείους.

## ΚΕΦ. ιγ'.

### Περὶ Διονυσίου ἀδδηφαγίας, καὶ παχύτητος.

Διονύσιον τὸν Ἡρακλεώτην, Κλεάρχου τοῦ τυράννου υἱὸν, ἀκούω ἐκ τῆς καθ' ἡμέραν ἀδδηφαγίας καὶ τρυφῆς λαθεῖν αὐτὸν ὑπερσαρκήσαντα καὶ καταπιανθέντα. Τὰ ἐπίχειρα γοῦν τοῦ κατὰ τὸ σῶμα μεγέθους, καὶ τοῦ περὶ τὰς σάρκας ὄγκου, ἐκαρπώσατο δύσπνοιαν. Φάρμακον οὖν αὐτῷ τοῦδε τοῦ πάθους συνέταξαν οἱ ἰατροί, φασι, βελόνας λεπτὰς κατασκευάσαι μηκίστας, εἶτα ταύτας διὰ τῶν πλευρῶν καὶ τῆς κοιλίας διωθεῖν, ὅταν εἰς ὕπνον τύχῃ βαθύτερον ἐμπεσών. Ἦν δὲ ἄρα τοῦτο ἐπιμελὲς ἐκείνοις δρᾷν, ἔστ' ἂν ὅλη διὰ τῆς πεπωρωμένης καὶ τρόπον τινὰ ἀλλοτρίας αὐτοῦ σαρκὸς διεῖρπεν ἡ βελόνη· ἀλλ' ἐκεῖνός γε ἔκειτο λίθου διαφέρων οὐδέν. Εἰ δὲ ἀφίκετο τὸ βέλος ἔνθα λοιπὸν ἦν αὐτῷ τὸ σῶμα ἐῤῥωμένον, καὶ ἴδιον, ἀλλ' οὐκ ἐκ τῆς ἄγαν πιμελῆς ἀλλότριον, τηνικαῦτα καὶ ἐκεῖνος ᾐσθάνετο, καὶ ἠγείρετο ἐκ τοῦ ὕπνου. Τοὺς δὲ χρηματισμοὺς ἐποιεῖτο τοῖς βουλομένοις αὐτῷ προσιέναι, κιβωτὸν τοῦ σώματος προβαλλόμενος. Οἱ δὲ οὐδὲ κιβωτόν φασιν, ἀλλὰ πυργίσκον, ἵνα τὰ μὲν λοιπὰ μέρη αὐτοῦ ἀποκρύπτοιτο, τὸ δὲ πρόσωπον μόνον ὑπερέχον διαλέγηται· πονηρὰν, ὦ Θεοὶ, ταύτην ἐκεῖνος τὴν στολὴν ἀμπεχόμενος, καὶ θηρίου φρουρὰν μᾶλλον, ἢ ἀνθρώπου ἐσθῆτα.

ΚΕΦ. ιδ'.

Περὶ Φιλήτα σώματος λεπτότητος.

Φιλήταν λέγουσι τὸν Κῷον λεπτότατον γενέσθαι το σῶμα. Ἐπεὶ τοίνυν ἀνατραπῆναι ῥᾴδιος ἦν ἐκ πάσης προφάσεως, μολίβδου, φασὶ, πεποιημένα εἶχεν ἐν τοῖς ὑποδήμασι πέλματα, ἵνα μὴ ἀνατρέπηται ὑπὸ τῶν ἀνέμων, εἴ ποτε σκληροὶ κατέπνεον. Εἰ δὲ ἦν οὕτως ἀδύνατος, ὥστε μὴ ἀντέχειν πνεύματι, πῶς οἷός τε ἦν τοσοῦτον φορτίον ἐπάγεσθαι; Ἐμὲ μὲν οὖν τὸ λεχθὲν οὐ πείθει· ὃ δὲ ἔγνων ὑπὲρ τοῦ ἀνδρὸς, τοῦτο εἶπον.

ΚΕΦ. ιέ.

Περὶ Ὁμήρου.

Ὅτι ποιητικῆς ἁπάσης Ἀργεῖοι τὰ πρῶτα Ὁμήρῳ ἔδωκαν, δευτέρους δὲ αὐτοῦ ἔταττον πάντας. Ποιοῦντες δὲ θυσίαν, ἐπὶ ξενίᾳ ἐκάλουν τὸν Ἀπόλλωνα, καὶ Ὅμηρον. Λέγεται δὲ κἀκεῖνο πρὸς τούτοις, ὅτι ἄρα ἀπορῶν ἐκδοῦναι τὴν θυγατέρα, ἔδωκεν αὐτῇ προῖκα ἔχειν τὰ ἔπη τὰ Κύπρια. Καὶ ὁμολογεῖ τοῦτο Πίνδαρος.

ΚΕΦ. ις'.

Περὶ Ἰταλίας, καὶ Μάρου ἱππομιγοῦς ἀνθρώπου.

Τὴν Ἰταλίαν ᾤκησαν πρῶται Αὔσονες, αὐτόχθονες. Πρεσβύτατον δὲ γενέσθαι Μάρην τινὰ καλούμενον, οὗ τὰ μὲν ἔμπροσθεν λέγουσιν ἀνθρώπῳ ὅμοια, τὰ κατόπισθεν δὲ ἵππου· καὶ αὐτὸ δὲ τοὔνομα εἰς τὴν Ἑλλάδα φράσιν ἱππομιγὴς δύναται. Δοκεῖ δέ μοι πρῶτος ἵππον ἀναβῆναι, καὶ ἐμβαλεῖν αὐτῷ χαλινὸν, εἶτα ἐκ τούτου διφυὴς πιστευθῆναι. Μυθολογοῦσι δὲ αὐτὸν καὶ βιῶναι ἔτη τρία καὶ εἴκοσι καὶ ἑκατόν· καὶ ὅτι τρὶς ἀποθανὼν, ἀνεβίω τρίς. Ἐμοὶ δὲ οὐ πιστὰ δοκοῦσιν. Ὅτι τὴν Ἰταλίαν φασὶν οἰκῆσαι ἔθνη πάμπολλα, καὶ ὅσα οὐκ ἄλλην γῆν. Τὸ δὲ αἴτιον, διὰ τὴν τῶν ὡρῶν εὐκρασίαν, καὶ τὴν τῆς χώρας ἀρετὴν, καὶ τὸ ἔνυδρον αὐτῆς, καὶ τὸ πάμφορον, καὶ

τὸ εὔβοτον, καὶ ὅτι ποταμοῖς ἐστι κατάῤῥυτος, καὶ ὅτι θάλασσα ἀγαθὴ παράκειται αὐτῇ, ὅρμοις πανταχόθεν διειλημμένη, καὶ καταγωγαῖς ἀφθόνοις, καὶ κατάρσεσιν. Ἀλλὰ καὶ τὸ τῶν οἰκητόρων ἥμερον καὶ πρᾶον ἐπῆρε πολλοὺς εἰς τὴν μετοίκησιν. Καὶ ὅτι πόλεις ᾤκησαν τὴν Ἰταλίαν πάλαι ἑπτὰ καὶ ἐννενήκοντα καὶ ἑκατὸν πρὸς ταῖς χιλίαις.

## ΚΕΦ. ιζ'.

### Περὶ Δημοσθένους τύφου.

Κουφότητα ἔοικε κατηγορεῖν οὗτος ὁ λόγος, ὁ λέγων περὶ Δημοσθένους, ὅτι ἄρα τύφου αὐτὸν ὑπεπλήρουν καὶ οἱ ὑδροφοροῦντες, εἴ ποτε, παριόντος αὐτοῦ, ὑπὲρ αὐτοῦ τι ψιθυρίσαιεν. Ὃς γὰρ καὶ ὑπ' ἐκείνων ἐκουφίζετο, καὶ ἐπαιρόμενος ἦν δῆλος, τίς ἦν, εἴ ποτε ὑπὸ τῆς ἐκκλησίας ἐκροτήθη.

## ΚΕΦ. ιή.

### Περὶ Θεμιστοκλέους.

Θεμιστοκλῆς ὁ Νεοκλέους ἑαυτὸν εἴκαζε ταῖς δρυσὶ, λέγων, ὅτι ἐκείνας ὑπέρχονται οἱ ἄνθρωποι, καὶ δέονται αὐτῶν, ὅταν ὕῃ, στέγην ἐκ τῶν κλάδων ποθοῦντες· ὅταν δὲ οὔσης εὐδίας παρίωσι, τίλλουσιν αὐτὰς, καὶ περικλῶσιν. Ὁ δὲ αὐτὸς ἔλεγεν, εἴ μοί τις ὁδοὺς δύο δείξειε, τὴν μὲν εἰς ᾅδου φέρουσαν, τὴν δὲ ἐπὶ τὸ βῆμα, ἥδιον ἂν τὴν ἑτέραν ἦλθον τὴν εὐθὺ τοῦ ᾅδου.

## ΚΕΦ. ιθ'.

### Ὅτι ὁ Δημοσθένης, καλοῦντος τοῦ Διογένους εἰς καπηλεῖον, οὐκ ἤθελεν εἰσιέναι.

Ἠρίστα ποτὲ Διογένης ἐν καπηλείῳ· εἶτα παριόντα Δημοσθένη ἐκάλει. Τοῦ δὲ μὴ ὑπακούσαντος, Αἰσχύνῃ, ἔφη, Δημόσθενες, παρελθεῖν εἰς καπηλεῖον; καὶ μὴν ὁ κύριός σου καθ' ἑκάστην ἡμέραν ἐνθάδε εἴσεισι, τοὺς δημότας λέγων, καὶ τοὺς καθ' ἕνα· δηλῶν, ὅτι οἱ δημηγόροι καὶ οἱ ῥήτορες δοῦλοι τοῦ πλήθους εἰσί·

## ΚΕΦ. κ'.

### Περὶ Ἀριστίππου.

Πλέων Ἀρίστιππος, χειμῶνος ἐπιγενομένου, πάνυ σφόδρα ἐταράττετο. Ἔφη δέ τις τῶν συμπλεόντων, Ὦ Ἀρίστιππε, καὶ σὺ δέδοικας, ὡς οἱ πολλοί; Ὁ δὲ, Καὶ μάλα γε εἰκότως· ὑμῖν μὲν γὰρ περὶ κακοδαίμονός ἐστι βίου ἡ σπουδὴ, καὶ ὁ νῦν κίνδυνος, ἐμοὶ δὲ περὶ εὐδαίμονος.

## ΚΕΦ. κά.

### Περὶ Θηραμένους.

Θηραμένης ἔτυχεν ἐν οἰκίᾳ ποτὲ διατρίβων, εἶτα, ἐπεὶ προῆλθεν αὐτῆς, παραχρῆμα ἐκείνη κατηνέχθη. Οἱ μὲν οὖν Ἀθηναῖοι, ἄλλοι ἀλλαχόθεν αὐτῷ περιφύντες, συνήδοντο ἐπὶ τῇ σωτηρίᾳ τῇ παραδόξῳ. Ὁ δὲ παρὰ τὴν πάντων ἐλπίδα ἀπεκρίνατο, Ὦ Ζεῦ, ἐς τίνα με καιρὸν φυλάττεις; καὶ μετ' οὐ πολὺν χρόνον ὑπὸ τῶν τριάκοντα ἀνῃρέθη, πιεῖν κώνειον καταναγκασθείς.

## ΚΕΦ. κβ'.

### Τίνες περὶ τὴν ἰατρικὴν ἐσπουδάκασιν.

Λέγουσι τοὺς Πυθαγορείους πάνυ σφόδρα περὶ τὴν ἰατρικὴν σπουδάσαι τέχνην. Καὶ Πλάτων δὲ φροντίδα εἰς αὐτὴν ἔσχε πλείστην, καὶ Ἀριστοτέλης ὁ Νικομάχου, καὶ ἄλλοι πολλοί.

## ΚΕΦ. κγ'.

### Περὶ Ἀριστοτέλους νοσοῦντος.

Ἀριστοτέλης ἐνόσει ποτέ. Προσέταξε δὲ αὐτῷ ὁ ἰατρὸς πρόσταγμά τι· καὶ ἐκεῖνος, Μήτε ὡς βοηλάτην με, ἔφη, θεράπευε, μήτε ὡς σκαπανέα, ἀλλὰ διδάξας πρότερον τὴν αἰτίαν, οὕτως ἕξεις ἕτοιμον πρὸς τὸ πείθεσθαι· διδάσκων ἐκ τούτων, μηδὲν χωρὶς αἰτίας προσφέρειν.

### ΚΕΦ. κδ'.

Περὶ Σμινδυρίδου τρυφῆς.

Σμινδυρίδης ὁ Συβαρίτης ἐς τοσοῦτον τρυφῆς ἐξώκειλε (καὶ γάρ τοι Συβαρίταις πᾶσιν ἔργον ἦν τρυφᾶν, καὶ τῷ βίῳ διαῤῥεῖν· ὁ δὲ Σμινδυρίδης καὶ πλέον)· φύλλοις ῥόδων γοῦν ἐπαναπεσὼν καὶ κοιμηθεὶς ἐπ᾽ αὐτῶν, ἐξανέστη, λέγων, φλυκταίνας ἐκ τῆς εὐνῆς ἔχειν. Σχολῇ γ᾽ ἂν οὗτος ἐπὶ χαμεύνης κατεκλίθη, ἢ στιβάδος, ἢ πόας ἐν προσάντει πεφυκυίας, ἢ ταύρου δορᾶς, ὡς ὁ Διομήδης, πρεπούσης στρατιώτῃ σκληρῷ καὶ γενναίῳ.

.... Ὑπὸ δ᾽ ἔστρωτο ῥινὸν βοὸς ἀγραύλοιο.

### ΚΕΦ. κέ.

Πῶς ὁ Πεισίστρατος τοῖς ἑαυτοῦ πολίταις ἐχρῆτο.

Πεισίστρατος, ὅτε τῆς ἀρχῆς ἐγκρατὴς ἐγένετο, μετεπέμπετο τοὺς ἐν ταῖς ἀγοραῖς ἀποσχολάζοντας, καὶ ἐπυνθάνετο, τί δήποτε εἴη τὸ αἴτιον τοῦ ἀλύειν αὐτούς. Καὶ ἐπέλεγεν, Εἰ μέν σοι τέθνηκε ζεῦγος, παῤ ἐμοῦ λαβὼν ἄπιθι, καὶ ἐργάζου· εἰ δὲ ἀπορεῖς σπερμάτων, παῤ ἐμοῦ σοι γενέσθω· δεδιὼς, μὴ ἡ σχολὴ τούτων ἐπιβουλὴν τέκῃ.

### ΚΕΦ. κς'.

Περὶ Ζήνωνος, καὶ Ἀντιγόνου.

Ζήνωνα τὸν Κιττιέα δι᾽ αἰδοῦς ἄγαν καὶ σπουδῆς ἦγεν Ἀντίγονος ὁ βασιλεύς. Καί ποτε οὖν ὑπερπλησθεὶς οἴνου ἐπεκώμασε τῷ Ζήνωνι, καὶ φιλῶν αὐτὸν καὶ περιβάλλων, ἅτε ἔξοινος ὢν, ἠξίου τι αὐτὸν προστάξαι, ὀμνὺς καὶ νεανιευόμενος σὺν ὅρκῳ μὴ ἀτυχήσειν αἰτήσας. Ὁ δὲ λέγει αὐτῷ, Πορευθεὶς ἔμεσον· σεμνῶς ἅμα, καὶ μεγαλοφρόνως τὴν μέθην ἐλέγξας, καὶ φεισάμενος αὐτοῦ, μήποτε διαῤῥαγῇ ὑπὸ πλησμονῆς.

### ΚΕΦ. κζ'.

Ἀφέλεια τρόπου.

Ἀνδρὶ Λακωνικῷ μὲν, χωριτικῷ δὲ, ἐπέπληξέ τις πενθοῦντι

πάνυ σφόδρα ἐκθύμως. Ὁ δὲ ἀπλάστως ἀπεκρίνατο· Τί πάθω; φησίν· οὐ γὰρ ἐγὼ αἴτιος τούτου, ἡ φύσις δέ μου ῥεῖ.

## ΚΕΦ. κή.

### Περὶ Διογένους.

Ἐπῄνει Σπαρτιάτης τὸ ἔπος Ἡσιόδου τὸ λέγον,

Οὐδ' ἂν βοῦς ἀπόλοιτ', εἰ μὴ γείτων κακὸς εἴη,

ἀκούοντος Διογένους. Ὁ δὲ εἶπε, Καὶ μὴν Μεσσήνιοι, καὶ οἱ βόες αὐτῶν ἀπολώλασι, καὶ ὑμεῖς αὐτῶν ἐστε οἱ γείτονες.

## ΚΕΦ. κθ'.

### Ὅτι Σωκράτης ἀδεὴς ἦν, καὶ δώρων κατεφρόνει.

Τῆς νυκτὸς ἤδη προηκούσης, ἐπάνεισί ποτε ἀπὸ δείπνου Σωκράτης. Νεανίσκοι γοῦν ἀκόλαστοι προμαθόντες ἐνελόχησαν. ἐπανιόντα, δᾷδας ἔχοντες ἡμμένας, καὶ Ἐριννύων πρόσωπα. Ἔθος δὲ ἦν αὐτοῖς, καὶ ἄλλοις προσπαίζειν διὰ τὴν σχολὴν τὴν ἐπὶ τὰ χείρω. Οὓς ἰδὼν ὁ Σωκράτης οὐ διεταράχθη, ἀλλ' ἐπιστὰς ἠρώτα, οἷα καὶ τοὺς ἄλλους, ἢ ἐν Λυκείῳ, ἢ ἐν Ἀκαδημίᾳ.

Ὅτι ἐφιλοτιμήσατο Ἀλκιβιάδης δῶρα πολλὰ πέμψαι Σωκράτει. Τῆς οὖν Ξανθίππης καταπλαγείσης τὰ πεμφθέντα, καὶ ἀξιούσης λαβεῖν αὐτὰ, ὅδε ἔφη, Ἀλλὰ καὶ ἡμεῖς τῇ φιλοτιμίᾳ τῇ τοῦ Ἀλκιβιάδου παραταξώμεθα, μὴ λαβεῖν τὰ πεμφθέντα ἀντιφιλοτιμησάμενοι. Ἐπεὶ δέ τις ἔφη πρὸς αὐτὸν, ὅτι μέγα ἐστὶν, ὧν ἐπιθυμεῖ τις, τούτων τυχεῖν, ὅδε, Ἀλλὰ μεῖζόν ἐστι τὸ μηδὲ ἐπιθυμεῖν τὴν ἀρχήν.

## ΚΕΦ. λ'.

### Περὶ τῆς Ἀναξάρχου προμηθείας.

Ἀνάξαρχος, ὅτε σὺν Ἀλεξάνδρῳ ἐστρατεύετο, χειμῶνος ἐπιγενομένου, προμαθὼν, ὅτι μέλλει ὁ Ἀλέξανδρος ἐν ἀξύλῳ ποιεῖσθαι χωρίῳ τὴν ϛρατοπεδείαν, εἰς τὸν ϛαθμὸν, ὅσα εἶχε σκεύη,

ταῦτα ἐκρίψας, ταῖς σκευοφόροις ἐπέθηκε ξύλα. Ἐπεὶ δὲ εἰς τὸν σταθμὸν ἀφίκοντο, καὶ ἐνέδει ξύλων, Ἀλεξάνδρου μὲν αἱ κλίναι κατεκαίοντο, ἵνα ἑαυτὸν ἀλεᾶναι δυνηθῇ. Ἐπεὶ δέ τις παρὰ Ἀναξάρχῳ πῦρ εἶναι ἤγγειλεν, ἀφίκετο παρ' αὐτὸν, καὶ ἠλείψατο ἐν τῇ σκηνῇ τοῦ Ἀναξάρχου· καὶ πυθόμενος τὴν προμήθειαν ὑπερεπῄνεσε, καὶ ὧν ἐξέῤῥιψε διπλάσιον δέδωκε, καὶ σκεύη, καὶ ἱμάτια, ὑπὲρ τῆς τοῦ πυρὸς χρείας.

## ΚΕΦ. λά.

Περὶ ἀριστεύσαντος ἀθλητοῦ, πρὸ τοῦ τὸν στέφανον λαβεῖν ἀποθανόντος.

Ἀθλητὴς Κροτωνιάτης Ὀλυμπιονίκης, ἀπιὼν πρὸς τοὺς Ἑλλανοδίκας, ἵνα λάβῃ τὸν ϛέφανον, ἐπίληπτος γενόμενος ἀπέθανε, κατενεχθεὶς μετὰ πτώματος.

## ΚΕΦ. λϐ'.

Περὶ Φρύνης ἑταίρας, καὶ Κίμωνος ἵππων ἀγαλμάτων.

Φρύνην τὴν ἑταίραν ἐν Δελφοῖς ἀνέϛησαν οἱ Ἕλληνες ἐπὶ κίονος εὖ μάλα ὑψηλοῦ. Οὐκ ἐρῶ δὲ ἁπλῶς τοὺς Ἕλληνας, ὡς ἂν μὴ δοκοίην δι' αἰτίας ἄγειν πάντας, οὓς φιλῶ πάντων μάλιϛα, ἀλλ' οἱ τῶν Ἑλλήνων ἀκρατέϛεροι. Τὸ δὲ ἄγαλμα χρυσοῦν ἦν. Καὶ αἱ Κίμωνος δὲ ἵπποι χαλκαῖ, καὶ αὗται Ἀθήνησιν, εἰκασμέναι ὅτι μάλιστα ταῖς Κίμωνος ἵπποις, εἱστήκεσαν.

## ΚΕΦ. κγ'.

Μειρακίου ἀπόκρισις, ἐρωτηθέντος ὑπὸ τοῦ πατρὸς, τί ἄρα μάθοι.

Μειράκιον Ἐρετρικὸν Ζήνωνι προσεφοίτησε πλείονα χρόνον. Ἐπανελθόντα δὲ ἤρετο ὁ πατὴρ, τί ἄρα μάθοι σοφόν. Ὁ δὲ ἔφη, δείξειν. Χαλεπήναντος δὲ τοῦ πατρὸς, καὶ πληγὰς ἐντείναντος, τὴν ἡσυχίαν ἀγαγὼν, καὶ ἐγκαρτερήσας, τοῦτο ἔφη μεμαθηκέναι, φέρειν ὀργὴν πατρός.

## ΚΕΦ. λδʹ.

### Περὶ τῶν πολυτελῶς ἠσθημένων.

Διογένης εἰς Ὀλυμπίαν ἐλθὼν, καὶ θεσάμενος ἐν τῇ πανηγύρει Ῥοδιακούς τινας νεανίσκους πολυτελῶς ἠσθημένους, γελάσας ἔφη, Τύφος τοῦτό ἐστι. Εἶτα περιτυχὼν Λακεδαιμονίοις ἐν ἐξωμίσι φαύλαις, καὶ ῥυπώσαις, Ἄλλος, εἶπεν, οὗτος τύφος.

## ΚΕΦ. λέ.

### Περὶ Ἀντισθένους μεγαλοφροσύνης ἐπὶ διεῤῥωγότι ἱματίῳ.

Ὁ δὲ Σωκράτης, ἰδὼν τὸν Ἀντισθένη τὸ διεῤῥωγὸς ἱματίου μέρος ἀεὶ ποιοῦντα φανερὸν, Οὐ παύσῃ, ἔφη, ἐγκαλλωπιζόμενος ἡμῖν;

## ΚΕΦ. λϛʹ.

### Περὶ Ἀντιγόνου, καὶ ψάλτου.

Ψάλτης Ἀντιγόνῳ ἐπεδείκνυτο. Τοῦ δὲ πολλάκις λέγοντος, Τὴν νήτην ἐπίσφιγξον, εἶτα πάλιν, Τὴν μέσην, ὅδε ἀγανακτήσας, ἔφη, Μὴ γένοιτό σοι οὕτω κακῶς, ὦ βασιλεῦ, ὡς ἐμοῦ ταῦτα ἀκριβοῦν μᾶλλον.

## ΚΕΦ. λζʹ.

### Πῶς ὁ Ἀνάξαρχος Ἀλέξανδρον, ἑαυτὸν ἐκθεοῦντα, ἐγέλασεν.

Ἀνάξαρχος, ὁ ἐπικληθὴς Εὐδαιμονικὸς, κατεγέλα Ἀλεξάνδρου, ἑαυτὸν ἐκθεοῦντος. Ἐπεὶ δὲ ἐνόσησέ ποτε Ἀλέξανδρος, εἶτα προσέταξεν αὐτῷ ὁ ἰατρὸς ῥόφημα σκευασθῆναι, γελάσας ὁ Ἀνάξαρχος, Τοῦ μέν τοι Θεοῦ ἡμῶν, εἶπεν, ἐν τρυβλίου ῥοφήματι αἱ ἐλπίδες κεῖνται.

## ΚΕΦ. λή.

### Περὶ Ἀλεξάνδρου, καὶ τῆς τοῦ Πάριδος λύρας.

Ὁ μὲν Ἀλέξανδρος εἰς τὴν Ἴλιον ἦλθεν. Ἀνασκοποῦντι δὲ

αὐτῷ φιλοπόνως, τῶν τις Τρώων προσελθὼν τὴν λύραν ἐδείκνυεν Ἀλεξάνδρου. Ὁ δὲ ἔφη, Προτιμησαίμην ἂν μᾶλλον ἰδεῖν τὴν Ἀχιλλέως. Ὑπέρευγε τοῦτο Ἀλέξανδρος· ἐπόθει γὰρ κτῆμα ἀγαθοῦ στρατιώτου, ᾧ συνῇδεν ἐκεῖνος τὰ τῶν ἀγαθῶν ἀνδρῶν κλέα. Τοῦ δὲ Πάριδος τί ἄρα ᾖσεν ἡ λύρα, εἰ μὴ μέλη μοιχικὰ, καὶ οἷα αἱρεῖν γυναῖκας καὶ θέλγειν;

## ΚΕΦ. λθ'.

Περὶ γελοίων καὶ παραδόξων ἐρώτων.

Πῶς δὲ οὐκ ἂν φαίη τις γελοίους ἅμα, καὶ παραδόξους τούσδε τοὺς ἔρωτας; Τὸν μὲν Ξέρξου, ὅτι πλατάνου ἠράσθη. Νεανίσκος δὲ Ἀθήνῃσι τῶν εὖ γεγονότων πρὸς τῷ πρυτανείῳ ἀνδριάντος ἑστῶτος τῆς Ἀγαθῆς Τύχης θερμότατα ἠράσθη. Κατεφίλει γοῦν τὸν ἀνδριάντα περιβάλλων, εἶτα ἐκμανεὶς καὶ οἰστρηθεὶς ὑπὸ τοῦ πόθου, παρελθὼν εἰς τὴν βουλὴν, καὶ λιτανεύσας, ἕτοιμος ἦν πλείστων χρημάτων τὸ ἄγαλμα πρίασθαι. Ἐπεὶ δὲ οὐκ ἔπειθεν, ἀναδήσας πολλαῖς ταινίαις, καὶ στεφανώσας τὸ ἄγαλμα, καὶ θύσας, καὶ κόσμον αὐτῷ περιβαλὼν πολυτελῆ, εἶτα ἑαυτὸν ἀπέκτεινε, μυρία προσκλαύσας. Γλαύκης δὲ τῆς κιθαρῳδοῦ οἱ μέν φασιν ἐρασθῆναι κύνα, οἱ δὲ κριὸν, οἱ δὲ χῆνα. Καὶ ἐν Σόλοις δὲ τῆς Κιλικίας, παιδὸς, Ξενοφῶντος, ἠράσθη κύων. Ἄλλου δὲ ὡραίου μειρακίου ἐν Σπάρτῃ κολοιός.

## ΚΕΦ. μ'.

Περὶ Κυβερνητῶν τῶν Καρχηδονίων νεῶν.

Ὅτι Καρχηδόνιοι δύο κυβερνήτας εἰσῆγον εἰς τὴν ναῦν, ἄτοπον λέγοντες εἶναι, δύο μὲν πηδάλια ἔχειν, τὸν δὲ λυσιτελέστατον τοῖς ἐμπλέουσι, καὶ τὴν ἀρχὴν ἔχοντα τῆς νεὼς, ἔρημον εἶναι καὶ μόνον διαδόχου καὶ κοινωνοῦ.

## ΚΕΦ. μά.

Περὶ Παυσανίου καὶ Σιμωνίδου.

Ἔν τινί, φασι, συνδείπνῳ παρῆν Σιμωνίδης ὁ Κεῖος, καὶ

Παυσανίας ὁ Λακεδαιμόνιος. Προσέταξεν οὖν ὁ Παυσανίας τῷ Σιμωνίδῃ σοφόν τι εἰπεῖν· ὁ δὲ γελάσας, ὁ Κεῖος, Μέμνησο, εἶπεν, ἄνθρωπος ὤν. Τοῦτο παραχρῆμα μὲν ἐξεφαύλισε Παυσανίας, καὶ παρ' οὐδὲν ἔθετο, ὑποτυφόμενος ἤδη εἰς τὸν τοῦ Μηδίζειν ἔρωτα, καὶ μεγαλοφρονῶν ἐπὶ τῇ πρὸς Βασιλέα ξενίᾳ, ἴσως δὲ καὶ ὑπὸ τοῦ οἴνου παραφερόμενος. Ἐπεὶ δὲ ἦν πρὸς τῇ Χαλκιοίκῳ, καὶ διεπάλαιε τῷ λιμῷ, καὶ ἔμελλεν ἀποθνήσκειν ἀνθρώπων ἀλγεινότατα, ἀλλὰ τηνικαῦτα ἐμνήσθη τοῦ Σιμωνίδου, καὶ ἐξεβόησεν εἰς τρίς, Ὦ ξένε Κεῖε, μέγα τι ἄρα χρῆμα ἦν ὁ λόγος σου, ἐγὼ δὲ ὑπ' ἀνοίας οὐδὲν αὐτὸν ᾤμην εἶναι.

## ΚΕΦ. μβ'.

### Περὶ Ἀρταξέρξου, καὶ Δαρείου.

Ἀρταξέρξου ἀποκτείναντος τὸν πρεσβύτερον υἱὸν Δαρεῖον, ἐπιβουλεύοντα, ὁ δεύτερος, ἀξιοῦντος τοῦ πατρὸς, σπασάμενος τὸν ἀκινάκην, ἑαυτὸν πρὸ τῶν βασιλείων ἀπέκτεινεν.

# ΑΙΛΙΑΝΟΥ

## ΠΟΙΚΙΛΗΣ ΙΣΤΟΡΙΑΣ

### ΒΙΒΛΙΟΝ ΔΕΚΑΤΟΝ.

#### ΚΕΦ. ά.

Περὶ Φερενίκης Ὀλύμπια θεασαμένης.

ΦΕΡΕΝΙΚΗ τὸν υἱὸν ἦγεν εἰς Ὀλύμπια ἀθλεῖν. Κωλυόντων δὲ αὐτὴν τῶν Ἑλλανοδικῶν τὸν ἀγῶνα θεάσασθαι, παρελθοῦσα ἐδικαιολογήσατο, πατέρα μὲν Ὀλυμπιονίκην ἔχειν, καὶ τρεῖς ἀδελφοὺς, καὶ αὐτὴ παῖδα Ὀλυμπίων ἀγωνιστήν· καὶ ἐξενίκησε τὸν δῆμον, καὶ τὸν εἴργοντα νόμον τῆς θέας γυναῖκας, καὶ ἐθεάσατο Ὀλύμπια.

#### ΚΕΦ. β΄.

Περὶ Εὐβάτου σωφροσύνης.

Εὐβάταν τὸν Κυρηναῖον ἰδοῦσα Λαῒς ἠράσθη αὐτοῦ θερμότατα, καὶ περὶ γάμου λόγους προσήνεγκεν. Ὁ δὲ, φοβηθεὶς τὴν ἐξ αὐτῆς ἐπιβουλὴν, ὑπέσχετο ταῦτα δράσειν· οὐ μὴν ὡμίλησεν αὐτῇ ὁ Εὐβάτας, σωφρόνως διαβιώσας. Ἡ δὲ ὑπόσχεσις αὐτοῦ μετὰ τὴν ἀγωνίαν ἦν. Νικήσας οὖν, ἵνα μὴ δόξῃ διαφθείρας τὰς ὁμολογίας τὰς πρὸς τὴν ἄνθρωπον, εἰκόνα γραψάμενος τῆς Λαΐδος, εἰς τὴν Κυρήνην ἐκόμισε, λέγων ἄγειν Λαΐδα, καὶ μὴ παραβῆναι τὰς συνθήκας. Ἀνθ᾽ ὧν ἡ νόμῳ γημαμένη αὐτῷ παμμέγιστον ἀνδριάντα ἐν Κυρήνῃ ἀνέστησεν, αὐτὸν ἀμειβομένη τῆς σωφροσύνης.

## ΚΕΦ. γ'.

### Περὶ ζώων τινῶν ἰδιότητος.

Τὰ τῶν περδίκων νεόττια, ἐπειδὰν τάχιστα τοὺς πόδας ἔξω ποιήσῃ τοῦ λέμματος, ἐντεῦθεν ἤδη δρομικώτατά εἰσι. Τὰ δὲ τῶν νηττῶν νεόττια, ὅταν ἴδῃ φῶς, παραχρῆμα ἐξ ὠδίνων νήχεται. Καὶ οἱ τῶν λεόντων δὲ σκύμνοι καταγράφουσι τοῖς ὄνυξι τὰς μήτρας τῶν μητέρων, πρὸς φῶς ἐπειγόμενοι.

## ΚΕΦ. δ'.

### Περὶ τῆς Ἀλεξάνδρου ταχυεργίας.

Ἀλέξανδρος ὁ Φιλίππου τρὶς τετρακόσια στάδια ἐφεξῆς μεθ' ὅπλων ὁδοιπορήσας, συμβαλὼν τοῖς πολεμίοις, πρὶν ἀναπαῦσαι τὸ στρατόπεδον, ἐκράτησε τῶν ἐχθρῶν.

## ΚΕΦ. έ.

### Περὶ τυράννων, ἐκ τῶν τοῦ Αἰσώπου.

Φρύγιος οὗτος λόγος· ἔστι γὰρ Αἰσώπου τοῦ Φρυγός. Τὴν ὗν, ἐάν τις ἅψηται αὐτῆς, βοᾷν, καὶ μάλα γε εἰκότως· οὔτε γὰρ ἔρια ἔχει, οὔτε ἄλλο τι, καὶ ὀνειροπολεῖ εὐθὺς τὸν θάνατον, εἰδυῖα εἰς ὅ,τι τοῖς χρησομένοις λυσιτελεῖ. Ἐοίκασι δὲ τῇ ὑῒ τοῦ Αἰσώπου οἱ τύραννοι, ὑποπτεύοντες, καὶ δεδοικότες πάντα· ἴσασι γὰρ, ὅτι, ὡσπεροῦν ἡ ὗς, ὀφείλουσι καὶ ἐκεῖνοι τὴν ψυχὴν πᾶσιν.

## ΚΕΦ. ς'.

### Περὶ ἀνδρῶν λεπτῶν.

Ἐκωμῳδοῦντο εἰς λεπτότητα, Σαννυρίων ὁ κωμῳδίας ποιητὴς, καὶ Μέλιτος ὁ τραγῳδίας ποιητὴς, καὶ Κινησίας κυκλίων χορῶν, καὶ Φιλήτας ποιητὴς ἑξαμέτρων. Ἀρχέστρατος δὲ ὁ μάντις ὑπὸ πολεμίων ἁλοὺς, καὶ ἐπὶ ζυγὸν ἀναβληθεὶς, ὀβολοῦ ὁλκὴν ἔχων εὑρέθη, ὥς φασι. Καὶ Πανάρετος δὲ λεπτότατος ἦν· διετέλεσε μέντοι ἄνοσος. Λέγουσι δὲ καὶ Ἱππώ-

νάκτα τὸν ποιητὴν οὐ μόνον γενέσθαι μικρὸν τὸ σῶμα, καὶ αἰσχρὸν, ἀλλὰ καὶ λεπτόν. Ἀλλὰ καὶ Φιλιππίδης, καθ' οὗ λόγος ἐστὶν Ὑπερίδῃ, λεπτότατος ἦν. Ὅθεν καὶ τὸ πάνυ κατισχνῶσθαι τὸ σῶμα, πεφιλιππιδῶσθαί, φασιν, ἔλεγον. Μάρτυς Ἄλεξις.

## ΚΕΦ. ζ'.

### Περὶ Ἀστρολόγων τινῶν, καὶ μεγάλου ἐνιαυτοῦ.

Οἰνοπίδης, ὁ Χῖος ἀστρολόγος, ἀνέθηκεν ἐν Ὀλυμπίοις τὸ χαλκοῦν γραμματεῖον, ἐγγράψας ἐν αὐτῷ τὴν ἀστρολογίαν τῶν ἑνὸς δεόντων ἑξήκοντα ἐτῶν, φήσας τὸν μέγαν ἐνιαυτὸν εἶναι τοῦτον.

Ὅτι Μέτων ὁ Λευκονοιεὺς, ἀστρολόγος, ἀνέστησε στήλας, καὶ τὰς τοῦ ἡλίου τροπὰς κατεγράψατο, καὶ μέγαν ἐνιαυτὸν, ὡς ἔλεγεν, εὗρε, καὶ ἔφατο αὐτὸν ἑνὸς δέοντα εἴκοσιν ἐτῶν.

## ΚΕΦ. ή.

### Περὶ εὐεργεσίας.

Ἀριστοτέλης ὁ Κυρηναῖος ἔλεγε μὴ δεῖν εὐεργεσίαν παρά τινος προσίεσθαι· ἢ γὰρ ἀποδιδόναι πειρώμενον, πράγματα ἂν ἔχειν, ἢ μὴ ἀποδιδόντα, ἀχάριστον φαίνεσθαι.

## ΚΕΦ. θ'.

### Ὅτι λίχνος ὁ Φιλόξενος.

Φιλόξενος λίχνος ἦν, καὶ γαστρὸς ἥττων. Λοπάδος οὖν ποτε ἑψομένης ἐν καπηλείῳ, τέως μὲν εὐφραίνετο, καὶ ἑαυτὸν εἱστία τῇ ὀσμῇ. Ἐπεὶ δὲ αὐτῷ ἐπετείνετο ἡ ὄρεξις, καὶ ἡττᾶτο τῆς φύσεως (κακῆς γε οὔσης, ὦ θεοὶ), τηνικαῦτα οὐκ ἐνεγκὼν, προσέταξε τὸν παῖδα πρίασθαι τὴν λοπάδα. Ἐπεὶ δὲ ἔφατο πωλεῖν αὐτὴν τὸν κάπηλον πολλοῦ, Ταύτῃ μᾶλλον ἡδίων ἔσται φησὶν, εἰ πλείονος ὠνήσομαι. Χρὴ δὲ καὶ τῶν τοιούτων μνημονεύειν, οὐκ εἰς ζῆλον αὐτῶν, ἀλλ' ὥστε φεύγειν αὐτά.

### ΚΕΦ. ί.

### Περὶ τῶν παλαιῶν ζωγράφων.

Ὅτε ὑπήρχετο ἡ γραφικὴ τέχνη, καὶ ἦν τρόπον τινὰ ἐν γάλαξι καὶ σπαργάνοις, οὕτως ἄρα ἀτέχνως εἴκαζον τὰ ζῶα, ὥστε ἐπιγράφειν αὐτοῖς τοὺς γραφέας, τοῦτο Βοῦς, ἐκεῖνο Ἵππος, τοῦτο Δένδρον.

### ΚΕΦ. ιά.

### Περὶ Διογένους ἀλγοῦντος τὸν ὦμον.

Ἤλγει τὸν ὦμον Διογένης, ἢ τρωθεὶς, οἶμαι, ἢ ἐξ ἄλλης τινὸς αἰτίας. Ἐπεὶ δὲ ἐδόκει σφόδρα ἀλγεῖν, τῶν τις ἀχθομένων αὐτῷ κατεκερτόμει, λέγων, Τί οὖν οὐκ ἀποθνήσκεις, ὦ Διόγενες, καὶ σεαυτὸν ἀπαλλάττεις κακῶν; Ὁ δὲ εἶπε, Τοὺς εἰδότας, ἃ δεῖ πράττειν ἐν τῷ βίῳ, καὶ ἃ δεῖ λέγειν, τούτους γε ζῆν προσήκει, ὧν καὶ αὐτὸς ὡμολόγει εἶναι. Σοὶ μὲν οὖν, ἔφη, οὐκ εἰδότι τά τε λεκτέα καὶ τὰ πρακτέα, ἀποθανεῖν ἐν καλῷ ἐστιν· ἐμὲ δὲ τὸν ἐπιστήμονα ἐκείνων, πρέπει ζῆν.

### ΚΕΦ. ιβ΄.

### Ἀρχύτου ἀπόφθεγμα περὶ ἀνθρώπων.

Ἀρχύτας ἔλεγεν, Ὥσπερ ἔργον ἐστὶν εὑρεῖν ἰχθὺν, ἄκανθαν μὴ ἔχοντα, οὕτω καὶ ἄνθρωπον, μὴ κεκτημένον τι δολερὸν, καὶ ἀκανθῶδες.

### ΚΕΦ. ιγ΄.

### Ὅτι Ἀρχίλοχος ἑαυτοῦ κατηγόρει

Αἰτιᾶται Κριτίας Ἀρχίλοχον, ὅτι κάκιστα ἑαυτὸν εἶπεν. Εἰ γὰρ μή, φησιν, ἐκεῖνος τοιαύτην δόξαν ὑπὲρ ἑαυτοῦ εἰς τοὺς Ἕλληνας ἐξήνεγκεν, οὐκ ἂν ἐπυθόμεθα ἡμεῖς, οὔτε ὅτι Ἐνιποῦς υἱὸς ἦν τῆς δούλης, οὐθ᾽ ὅτι καταλιπὼν Πάρον διὰ πενίαν, καὶ ἀπορίαν, ἦλθεν εἰς Θάσον, οὔθ᾽ ὅτι ἐλθὼν τοῖς ἐνταῦθα ἐχθρὸς ἐγένετο, οὐδὲ μὴν ὅτι ὁμοίως τοὺς φίλους

καὶ τοὺς ἐχθροὺς κακῶς ἔλεγε. Πρὸς δὲ τούτοις, ἦ δ' ὅς, οὔτε ὅτι μοιχὸς ἦν, ᾔδειμεν ἄν, εἰ μὴ παρ' αὐτοῦ μαθόντες, οὔτε ὅτι λάγνος καὶ ὑβριστὴς, καὶ, τὸ ἔτι τούτων αἴσχιστον, ὅτι τὴν ἀσπίδα ἀπέβαλεν. Οὐκ ἀγαθὸς ἄρα ἦν ὁ Ἀρχίλοχος μάρτυς ἑαυτῷ, τοιοῦτον κλέος ἀπολιπὼν, καὶ τοιαύτην ἑαυτῷ φήμην. Ταῦτα οὐκ ἐγὼ Ἀρχίλοχον αἰτιῶμαι, ἀλλὰ Κριτίας.

## ΚΕΦ. ιδ'.

### Περὶ ἀργίας.

Σωκράτης ἔλεγεν, ὅτι ἡ Ἀργία ἀδελφὴ τῆς Ἐλευθερίας ἐστί. Καὶ μαρτύριον ἔλεγεν, ἀνδρειοτάτους καὶ ἐλευθεριωτάτους Ἰνδοὺς, καὶ Πέρσας, ἀμφοτέρους δὲ πρὸς χρηματισμὸν ἀργοτάτους εἶναι· Φρύγας δὲ καὶ Λυδοὺς, ἐργαστικωτέρους, δουλεύειν δέ.

## ΚΕΦ. ιέ.

### Περὶ τῶν μνηστευσαμένων τὰς τοῦ Ἀριστείδου καὶ τοῦ Λυσάνδρου θυγατέρας.

Τὰς Ἀριστείδου θυγατέρας, ἔτι αὐτοῦ περιόντος, ἐμνηστεύοντο οἱ τῶν Ἑλλήνων δοκοῦντες διαφέρειν. Ἔβλεπον δὲ ἄρα οὐκ εἰς τὸν βίον Ἀριστείδου, οὐδὲ ἐθαύμαζον αὐτοῦ τὴν δικαιοσύνην· ἐπεὶ, τούτων γε εἰ ἦσαν ζηλωταὶ, κἂν μετὰ ταῦτα ἐπέμειναν τῇ μνηστείᾳ. Νῦν δὲ ὁ μὲν ἀπέθανεν, οἱ δὲ οὐδὲν ἡγήσαντο εἶναι πρᾶγμα κοινὸν πρὸς τὰς κόρας. Ἀποθανὼν γὰρ ἐγνώσθη ὁ παῖς Λυσιμάχου, ὅτι πένης ἦν· ὅπερ καὶ ἀνέστειλεν ἐκείνους τοὺς κακοδαίμονας ἐνδόξου τε ἅμα καὶ σεμνοτάτου γάμου, παρ' ἐμοὶ κριτῇ. Παραπλήσιον δὲ καὶ ἐπὶ Λυσάνδρου· μαθόντες γὰρ αὐτὸν εἶναι πένητα, τὸν γάμον ἀπέδρασαν.

## ΚΕΦ. ιϛ'.

### Περὶ Ἀντισθένους, καὶ Διογένους.

Ἐπεὶ ὁ Ἀντισθένης πολλοὺς προὔτρεπεν ἐπὶ φιλοσοφίαν,

οἱ δὲ οὐδὲν αὐτῷ προσεῖχον, τέλος ἀγανακτήσας, οὐδένα προσίετο. Καὶ Διογένην οὖν ἤλαυνεν ἀπὸ τῆς συνουσίας αὐτοῦ. Ἐπεὶ δὲ ἦν λιπαρέστερος ὁ Διογένης, καὶ ἐνέκειτο, ἐνταῦθα ἤδη καὶ τῇ βακτηρίᾳ καθίξεσθαι αὐτοῦ ἠπείλει· καί ποτε καὶ ἔπαισε κατὰ τῆς κεφαλῆς. Ὁ δὲ οὐκ ἀπηλλάττετο, ἀλλ' ἔτι μᾶλλον ἐνέκειτο φιλοπόνως, ἀκούειν αὐτοῦ διψῶν, καὶ ἔλεγε, Σὺ μὲν παῖε, εἰ βούλει, ἐγὼ δὲ ὑποθήσω τὴν κεφαλήν· καὶ οὐκ ἂν οὕτως ἐξεύροις βακτηρίαν σκληρὰν, ὥστε με ἀπελάσαι τῶν διατριβῶν τῶν σῶν. Ὁ δὲ ὑπερησπάσατο αὐτόν.

## ΚΕΦ. ιζ'.

### Περὶ τῶν πλουτησάντων ἐκ τῶν κοινῶν.

Λέγει Κριτίας Θεμιστοκλέα τὸν Νεοκλέους, πρὶν ἢ ἄρξασθαι πολιτεύεσθαι, τρία τάλαντα ἔχειν τὴν οὐσίαν τὴν πατρῴαν· ἐπεὶ δὲ τῶν κοινῶν προέστη, εἶτα ἔφυγε, καὶ ἐδημεύθη αὐτοῦ ἡ οὐσία, κατεφωράθη ἑκατὸν ταλάντων πλείω οὐσίαν ἔχων. Ὁμοίως δὲ καὶ Κλέωνα πρὸ τοῦ παρελθεῖν ἐπὶ τὰ κοινὰ, μηδὲν τῶν οἰκείων ἐλεύθερον εἶναι· μετὰ δὲ, πεντήκοντα ταλάντων τὸν οἶκον ἀπέλιπε.

## ΚΕΦ. ιή

### Περὶ Συρακουσίου Δάφνιδος, καὶ βουκολικῶν μελῶν.

Δάφνιν τὸν βουκόλον λέγουσιν, οἱ μὲν, ἐρώμενον Ἑρμοῦ, ἄλλοι δὲ, υἱόν· τὸ δὲ ὄνομα ἐκ τοῦ συμβάντος σχεῖν· γενέσθαι μὲν αὐτὸν ἐκ Νύμφης, τεχθέντα δὲ, ἐκτεθῆναι ἐν δάφνῃ. Τὰς δ' ὑπ' αὐτοῦ βουκολουμένας βοῦς φασιν ἀδελφὰς γεγονέναι τῶν Ἡλίου, ὧν Ὅμηρος ἐν Ὀδυσσείᾳ μέμνηται. Βουκολῶν δὲ κατὰ τὴν Σικελίαν ὁ Δάφνις, ἠράσθη αὐτοῦ Νύμφη μία, καὶ ὡμίλησε καλῷ ὄντι, καὶ νέῳ, καὶ πρῶτον ὑπηνήτῃ, ἔνθα τοῦ χρόνου ἡ χαριεστάτη ἐστὶν ἥβη τῶν καλῶν μειρακίων, ὥς πού φησι καὶ Ὅμηρος. Συνθήκας δὲ ἐποίησε, μηδεμιᾷ ἄλλῃ πλησιάσαι αὐτὸν, καὶ ἐπηπείλησεν, ὅτι πεπρωμένον

πρωμένον ἐςὶν αὐτὸν στερηθῆναι τῆς ὄψεως, ἐὰν παραβῇ· καὶ εἶχον ὑπὲρ τούτων ῥήτραν πρὸς ἀλλήλους. Χρόνῳ δὲ ὕστερον, βασιλέως θυγατρὸς ἐρασθείσης αὐτοῦ, οἰνωθεὶς ἔλυσε τὴν ὁμολογίαν, καὶ ἐπλησίασε τῇ κόρῃ. Ἐκ δὲ τούτου τὰ βουκολικὰ μέλη πρῶτον ᾔσθη, καὶ εἶχεν ὑπόθεσιν τὸ πάθος τὸ κατὰ τοὺς ὀφθαλμοὺς αὐτοῦ. Καὶ Στησίχορόν γε τὸν Ἱμεραῖον τῆς τοιαύτης μελοποιΐας ὑπάρξασθαι.

## ΚΕΦ. ιθ'.

### Περὶ τοῦ καταπιόντος τοὺς ἰδίους ὀδόντας.

Εὐρυδάμας ὁ Κυρηναῖος πυγμῇ ἐνίκησεν, ἐκκρουσθεὶς μὲν ὑπὸ τοῦ ἀνταγωνιστοῦ τοὺς ὀδόντας, καταπιὼν δὲ αὐτοὺς, ἵνα μὴ αἴσθηται ὁ ἀντίπαλος.

## ΚΕΦ. κ'.

### Περὶ Ἀγησιλάου.

Ὅτι ὁ Πέρσης ἐπέστειλε πρὸς Ἀγησίλαον, φίλον αὐτὸν ἔχειν. Ἀνταπέστειλε δὲ Ἀγησίλαος, ὅτι οὐ δυνατὸν φίλον αὐτὸν Ἀγησιλάου ἰδίᾳ εἶναι· εἰ δὲ εἴη Λακεδαιμονίοις κοινῇ φίλος, δῆλον, ὅτι καὶ αὐτοῦ ἔσται. Ἐφ' ἅπασι γὰρ καὶ ἐκεῖνον ἀριθμεῖσθαι.

## ΚΕΦ. κά.

### Περὶ Πλάτωνος.

Ὅτι τὸν Πλάτωνα ἡ Περικτιόνη ἔφερεν ἐν ταῖς ἀγκάλαις· θύοντι δὲ τῷ Ἀρίστωνι ἐν Ὑμηττῷ ταῖς Μούσαις, ἢ ταῖς Νύμφαις, οἱ μὲν πρὸς τὴν ἱερουργίαν ἦσαν, ἡ δὲ κατέκλινε Πλάτωνα ἐν ταῖς πλησίον μυῤῥίναις, δασείαις οὔσαις, καὶ πυκναῖς. Καθεύδοντι δὲ ἑσμὸς μελισσῶν Ὑμηττίου μέλιτος, ἐν τοῖς χείλεσιν αὐτοῦ καθίσασαι, ὑπῆδον, τὴν τοῦ Πλάτωνος εὐγλωττίαν μαντευόμεναι ἐντεῦθεν.

## ΚΕΦ. κβ'.

### Περὶ Διωξίππου.

Ὅτι Διώξιππος, παρόντος Ἀλεξάνδρου, καὶ Μακεδόνων, ῥόπαλον λαβὼν, Κόῤῥαγον τὸν Μακεδόνα ὁπλίτην μονομαχήσας, καὶ ἐκκρούσας αὐτοῦ τὸ ξυστὸν, καὶ ἁρπάσας τὸν ἄνδρα σὺν τῇ πανοπλίᾳ, ἐπιβὰς ἐπὶ τὸν αὐχένα αὐτοῦ κειμένου, τὴν μάχαιραν, ἣν ὑπέζωστο, ὑφαρπάσας, ἀπέκτεινε τὸν ὁπλίτην. Ἐμισήθη δὲ ὑπὸ Ἀλεξάνδρου. Ὁ δὲ ἀπογνοὺς, ὡς μισηθεὶς ὑπὸ Ἀλεξάνδρου, καὶ ἀθυμήσας ἀπέθανεν.

# ΑΙΛΙΑΝΟΥ

## ΠΟΙΚΙΛΗΣ ΙΣΤΟΡΙΑΣ

### ΒΙΒΛΙΟΝ ΕΝΔΕΚΑΤΟΝ.

### ΚΕΦ. α'.

Περὶ Ὀρικάδμου, καὶ τοῦ παλαίειν.

Ὅτι Ὀρίκαδμος πάλης ἐγένετο νομοθέτης, καθ' ἑαυτὸν ἐπινοήσας τὸν Σικελὸν τρόπον καλούμενον παλαίειν.

### ΚΕΦ. β'.

Περὶ Ὀροιβαντίου ἐπῶν, καὶ Δάρητος, καὶ Μελισάνδρου.

Ὅτι ἦν Ὀροιβαντίου Τροιζηνίου ἔπη πρὸ Ὁμήρου, ὥς φασιν οἱ Τροιζήνιοι λόγοι. Καὶ τὸν Φρύγα δὲ Δάρητα, οὗ Φρυγίαν Ἰλιάδα ἔτι καὶ νῦν ἀποσωζομένην οἶδα, πρὸ Ὁμήρου καὶ τοῦτον γενέσθαι λέγουσι. Μελίσανδρος ὁ Μιλήσιος Λαπιθῶν καὶ Κενταύρων μάχην ἔγραψεν.

### ΚΕΦ. γ'.

Περὶ Ἰκκοῦ, καὶ πάλης.

Ὅτι Ἰκκὸς ὁ Ταραντῖνος πάλης ὑπήρξατο, σωφρονέστερον τὸν τῆς ἀθλήσεως χρόνον διαζήσας, καὶ κεκολασμένῃ τροφῇ διαβιώσας, καὶ Ἀφροδίτης ἀμαθὴς διατελέσας.

### ΚΕΦ. δ'.

Περὶ Ἀγαθοκλέους φαλακρώματος.

Ἀγαθοκλέα φασὶ τὸν Σικελίας Τύραννον γελοιότατα τὴν κεφαλὴν ἀσχημονεῖν. Ψιλουμένης γὰρ αὐτῆς, κατὰ μικρὰ

ὑποῤῥεουσῶν αὐτῷ τῶν τριχῶν, ὅδε αἰδούμενος προκάλυμμα κόμης ἐποιήσατο μυῤῥίνης στέφανον· καὶ ἦν πρόβλημα τῆς ψιλώσεως. Ἤδεσαν μέν τοι τὸ φαλάκρωμα Συρακούσιοι, καὶ τὴν εἰς αὐτὸν τῶν τριχῶν ἐπιβουλὴν οὐκ ἠγνόουν· ἐσιώπων δὲ, διὰ τὸ τῶν τολμημάτων αὐτοῦ καὶ ἀσεβημάτων ἐμμανές.

## ΚΕΦ. έ.

### Περί τινων ἀδίκως θεοσυλίας κατακριθέντων.

Ἔθυόν τινες ἐν Δελφοῖς. Τούτοις ἐπιβουλεύοντες Δελφοὶ εἰς τὰ κανᾶ, ἔνθα ἦν αὐτοῖς ὅ,τε λιβανωτὸς, καὶ τὰ πόπανα, ἐνέβαλον τῶν ἱερῶν χρημάτων λάθρα. Λαβόντες οὖν αὐτοὺς ὡς θεοσύλας, ἀπήγαγον ἐπὶ τὴν πέτραν, καὶ κατεκρήμνισαν κατὰ τὸν Δελφικὸν νόμον.

## ΚΕΦ. ϛ'.

### Περὶ μοιχοῦ.

Συνέβη τινὰ μοιχὸν ἁλῶναι ἐν Θεσπιαῖς· εἶτα ἤγετο διὰ τῆς ἀγορᾶς δεδεμένος. Ἀφείλοντο οὖν αὐτὸν οἱ ἑταῖροι. Ἐξήφθη οὖν στάσις, καὶ συνέπεσε γενέσθαι φόνους πολλούς.

## ΚΕΦ. ζ'.

### Περὶ Λυσάνδρου, καὶ Ἀλκιβιάδου.

Ἔλεγεν Ἐτεοκλῆς ὁ Λάκων δύο Λυσάνδρους τὴν Σπάρτην μὴ ἂν ὑπομεῖναι. Καὶ Ἀρχέστρατος ὁ Ἀθηναῖος ἔλεγε δύο Ἀλκιβιάδας τὴν τῶν Ἀθηναίων. Οὕτως ἄρα αὐτῶν καὶ οἱ ἕτεροι ἦσαν ἀφόρητοι.

## ΚΕΦ. η'.

### Περὶ Ἱππάρχου τελετῆς.

Ἵππαρχος ἀνῃρέθη ὑπὸ Ἁρμοδίου καὶ Ἀριστογείτονος, ὅτι ἐν τοῖς Παναθηναϊκοῖς κομίσαι κανοῦν τῇ θεῷ, κατὰ τὸν νόμον τὸν ἐπιχώριον, οὐκ εἴασε τὴν ἀδελφὴν τὴν Ἁρμοδίου, καὶ ἴσως ἀξίαν οὖσαν.

## ΚΕΦ. θ'.

### Περί τινων ἀρίστων πενήτων, καὶ δῶρα μὴ προσηκαμένων.

Οἱ τῶν Ἑλλήνων ἄριστοι πενίᾳ διέζων παρὰ πάντα τὸν βίον. Ἐπαινείτωσαν οὖν πλοῦτόν τινες ἔτι, μετὰ τοὺς τῶν Ἑλλήνων ἀρίστους, οἷς ἡ πενία παρὰ πάντα τὸν βίον συνεκληρώθη. Εἰσὶ δὲ οὗτοι, οἷον Ἀριστείδης ὁ Λυσιμάχου, ἀνὴρ πολλὰ μὲν ἐν πολέμῳ κατορθώσας, καὶ τοὺς φόρους δὲ τοῖς Ἕλλησι τάξας. Ἀλλ' οὗτός γε ὁ τοιοῦτος οὔτε ἐντάφια ἑαυτῷ κατέλιπεν ἱκανά.

Καὶ Φωκίων δὲ πένης ἦν. Ἀλεξάνδρου δὲ πέμψαντος αὐτῷ τάλαντα ἑκατὸν, ἠρώτα, Διὰ τίνα αἰτίαν μοι δίδωσιν; Ὡς δ' εἶπον, ὅτι μόνον αὐτὸν ἡγεῖται Ἀθηναίων καλὸν καὶ ἀγαθὸν, Οὐκοῦν, ἔφη, ἐασάτω με τοιοῦτον εἶναι.

Καὶ Ἐπαμινώνδας δὲ ὁ Πολύμνιδος πένης ἦν. Ἰάσονος δὲ αὐτῷ πέμψαντος πεντήκοντα χρυσοῦς, ὅδε, Ἀδίκων, ἔφη, ἄρχεις χειρῶν. Δανεισάμενος δὲ παρά τινος τῶν πολιτῶν πεντήκοντα δραχμὰς, ἐφόδιον, εἰς Πελοπόννησον ἐνέβαλε. Πυθόμενος δὲ τὸν ὑπασπιστὴν αὐτοῦ χρήματα εἰληφέναι παρά τινος τῶν αἰχμαλώτων, Ἐμοὶ μὲν, εἶπεν, ἀπόδος τὴν ἀσπίδα, σεαυτῷ δὲ πρίω καπηλεῖον, ἐν ᾧ καταζήσεις· οὐ γὰρ ἔτι κινδυνεύειν ἐθελήσεις πλούσιος γενόμενος.

Πελοπίδας δὲ ἐπιτιμώντων αὐτῷ τῶν φίλων, ὅτι χρημάτων ἀμελεῖ, πράγματος εἰς τὸν βίον λυσιτελοῦς, Νὴ τὸν Δία, εἶπε, λυσιτελὲς, ἀλλὰ Νικομήδει τούτῳ, δείξας χωλόν τινα καὶ ἀνάπηρον.

Ὅτι Σκηπίων, τέσσαρα καὶ πεντήκοντα ἔτη βιώσας, οὐδὲν οὔτε ἐπρίατο, οὔτε ἀπέδοτο· οὕτως ἄρα ὀλίγων ἐδεῖτο. Ἀσπίδα δὲ αὐτῷ τινος ἐπιδείξαντος εὖ κεκοσμημένην, εἶπεν, Ἀλλὰ τόν γε Ῥωμαῖον ἄνδρα προσήκει ἐν τῇ δεξιᾷ τὰς ἐλπίδας ἔχειν, ἀλλ' οὐκ ἐν τῇ ἀριστερᾷ.

Ὅτι Ἐφιάλτης ὁ Σοφωνίδου πενέστατος ἦν· δέκα δὲ τάλαντα διδόντων αὐτῷ τῶν ἑταίρων, ὅδε οὐ προσήκατο, εἰπὼν, Ταῦτα μεν ἀναγκάσει αἰδούμενον ὑμᾶς, καταχαρίσασθαί τι τῶν

δικαίων, μὴ αἰδούμενον δὲ, μηδὲ χαριζόμενον ὑμῖν, ἀχάριςον δόξαι.

## ΚΕΦ. ί.

### Περὶ Ζωΐλου.

Ζωΐλος ὁ Ἀμφιπολίτης, ὁ καὶ εἰς Ὅμηρον γράψας, καὶ εἰς Πλάτωνα και εἰς ἄλλους, Πολυκράτους μὲν ἀκουστὴς ἐγένετο· οὗτος δὲ ὁ Πολυκράτης καὶ τὴν κατηγορίον ἔγραψε τὴν κατὰ Σωκράτους. Ἐκαλεῖτο δὲ Ζωΐλος οὗτος, Κύων ῥητορικός. Ἦν δὲ τοιοῦτος· τὸ μὲν γένειον αὐτῷ καθεῖτο, κέκαρτο δὲ ἐν χρῷ τὴν κεφαλὴν, καὶ θοιμάτιον ὑπὲρ τὸ γόνυ ἦν. Ἤρα δὲ ἀγορεύειν κακῶς, καὶ ἀπεχθάνεσθαι πολλοῖς σχολὴν εἶχε, καὶ ψογερὸς ἦν ὁ κακοδαίμων. Ἤρετο οὖν αὐτόν τις τῶν πεπαιδευμένων, διὰ τί κακῶς λέγει πάντας· ὁ δὲ, Ποιῆσαι γὰρ κακῶς βουλόμενος, οὐ δύναμαι.

## ΚΕΦ. ιά.

### Περὶ Διονυσίου τοῦ Σικελοῦ.

Οτι Δυονύσιος ὁ Σικελὸς περὶ τὴν ἰατρικὴν ἐσπούδασε καὶ αὐτὸς, καὶ ἰᾶτο, καὶ ἔτεμνεν, καὶ ἔκαε, καὶ τὰ λοιπά.

## ΚΕΦ ιβ'.

### Περὶ πλακοῦντος Σωκράτει ὑπὸ τοῦ Ἀλκιβιάδου. πεμφθέντος.

Πλακοῦντα ὁ Ἀλκιβιάδης μέγαν, καὶ ἐσκευασμένον κάλλιςα, διέπεμψε Σωκράτει. Ὡς οὖν ὑπὸ ἐρωμένου ἐραςῇ πεμφθὲν δῶρον ἐκκαυστικὸν τὸν πλακοῦντα, διαγανακτήσασα κατὰ τὸν αὐτῆς τρόπον ἡ Ξανθίππη, ῥίψασα ἐκ τοῦ κανοῦ, κατεπάτησε. Γελάσας δὲ ὁ Σωκράτης, Οὐκοῦν, ἔφη, οὐδὲ σὺ μεθέξεις αὐτοῦ. Εἰ δέ τις οἴεται περὶ μικρῶν με λέγειν, λέγοντα ταῦτα, οὐκ οἶδεν, ὅτι καὶ ἐκ τούτων ὁ σπουδαῖος δοκιμάζεται ὑπερφρονῶν αὐτῶν, ἅπερ οὖν οἱ πολλοὶ λέγουσιν εἶναι κόσμον τραπέζης, καὶ δαιτὸς ἀναθήματα.

## ΚΕΦ. ιγ'.

### Περὶ τοῦ ἐν Σικελίᾳ ὀξυδερκοῦς ἀνδρός.

Ἄνδρα φασὶ Σικελιώτην οἷον βλέπειν ὀξὺ γενέσθαι ἐν Σικελίᾳ, ὥστε αὐτὸν, ἐκ τοῦ Λιλυβαίου εἰς Καρχηδόνα τείναντα τὸν ὀφθαλμὸν, μηδὲν τὰς ὄψεις σφάλεσθαι. Καὶ ἀποδεῖξαι λέγουσι τὸν ἀριθμὸν τῶν νέων τῶν ἀναγομένων ἐκ Καρχηδόνος· καὶ οὐκ ἐψεύσατο οὐδεμίαν.

# ΑΙΛΙΑΝΟΥ
## ΠΟΙΚΙΛΗΣ ΙΣΤΟΡΙΑΣ,
### ΒΙΒΛΙΟΝ ΔΩΔΕΚΑΤΟΝ.

### ΚΕΦ. ά.

#### Περὶ Ἀσπασίας.

Ἀσπασία ἡ Ἑρμοτίμου θυγάτηρ, ἡ Φωκαῒς, ἐτράφη μὲν ἐν ὀρφανίᾳ, τῆς μητρὸς αὐτῆς ἀποθανούσης ἐν ὠδῖσιν· ἐκ δὴ τούτων ἐν πενίᾳ μὲν ἐτράφη ἡ Ἀσπασία, σωφρόνως μέντοι, καὶ καρτερῶς. Ὄνειρος δὲ αὐτῇ συνεχῶς ἐπεφοίτα, καὶ ἐμαντεύετο αὐτῇ χρηστὸν, τὴν μέλλουσαν αὐτῇ τύχην ὑπαινιττόμενος, ὅτι καλῷ καὶ ἀγαθῷ συνέσται ἀνδρί. Παῖς δ' ἔτι οὖσα, γίνεται αὐτῇ κατὰ τοῦ προσώπου φῦμα ὑπ' αὐτὸ τὸ γένειον, καὶ ἦν ἰδεῖν μοχθηρὸν, καὶ ἐλύπει τόν τε πατέρα, καὶ τὴν παῖδα. Δείκνυσι γοῦν αὐτὴν ὁ πατὴρ ἰατρῷ· ὁ δὲ ὑπέσχετο ἰάσασθαι, εἰ λάβοι τρεῖς στατῆρας. Ὁ δὲ ἔφατο μὴ ἔχειν. ὁ δὲ ἰατρὸς, μηδὲ αὐτὸς εὐπορεῖν φαρμάκου, φησίν. Καὶ ἠνιᾶτο, ὥσπερ εἰκὸς, ἐπὶ τούτοις ἡ Ἀσπασία· καὶ ἀπελθοῦσα ἔξω ἔκλαεν, ἔχουσα ἐν τοῖς γόνασι κάτοπτρον, καὶ ὁρῶσα ἑαυτὴν ἐν αὐτῷ σφόδρα ἤλγει. Ἀδείπνῳ δὲ οὔσῃ ὑπὸ τῆς ἀνίας ἀφίκετο οἱ εὖ μάλα εὔκαιρος ὕπνος, καὶ ἅμα τῷ ὕπνῳ περιστερὰ παραγίνεται, καὶ γενομένη γυνὴ, Θάῤῥει, εἶπε, καὶ μακρὰ χαίρειν εἰποῦσα ἰατροῖς τε αὐτοῖς, καὶ φαρμάκοις, σὺ δὲ τῶν τῆς Ἀφροδίτης στεφάνων τῶν ῥοδίνων, ὅσοι ἂν ὦσιν ἤδη αὖοι, τρίβουσα ἐπίπαττε τῷ φύματι. Ταῦτα ἀκούσασα ἡ παῖς, καὶ δράσασα, τὸ φῦμα ἠφανίσθη· καὶ ἡ Ἀσπασία καλλίστη τῶν συμπαρθένων ἦν αὖθις, παρὰ τῆς καλλίστης τῶν Θεῶν τὴν ὥραν ἀπολαβοῦσα. Καὶ χαρίτων μὲν ἀφθονίαν εἶχεν, ὡς οὐκ

ἄλλη παρθένος τῶν τότε. Ἦν δὲ καὶ τὴν κόμην ξανθὴ, καὶ οὔλη τὰς τρίχας ἠρέμα· ὀφθαλμοὺς δὲ εἶχε μεγίστους, ὀλίγον δὲ ἦν καὶ ἐπίγρυπος, τὰ δὲ ὦτα εἶχε βραχύτερα. Ἦν δὲ αὐτῇ καὶ δέρμα ἁπαλόν. Ἐῴκει δὲ ἡ χροιὰ ἡ κατὰ τοῦ προσώπου ῥόδοις. Διὰ ταῦτά τοι οἱ Φωκαοῖς, ἔτι παιδίον οὖσαν, ἐκάλουν Μιλτώ. Ὑπέφαινε δὲ καὶ τὰ χείλη ἐρυθρὰ, καὶ οἱ ὀδόντες λευκότεροι χιόνος ἦσαν. Ἦν δὲ καὶ τὰ σφυρὰ ἀγαθὴ, καὶ οἵας Ὅμηρος λέγει τὰς ὡραιωτάτας γυναῖκας, κατὰ τὴν ἑαυτοῦ φωνὴν, καλλισφύρους ὀνομάζων. Φώνημα δὲ εἶχεν ἡδὺ, καὶ ἁπαλόν· εἶπεν ἄν τις, λαλούσης αὐτῆς, ἀκούειν Σειρῆνος. Πολυπραγμοσύνης δ' ἁπάσης γυναικείας, καὶ περιεργίας ἀπήλλακτο. Ὁ μὲν γὰρ πλοῦτος φιλεῖ χορηγεῖν καὶ τὰ τοιαῦτα· πενομένη δὲ ἐκείνη καὶ τρεφομένη ὑπὸ πατρὶ, καὶ αὐτῷ πένητι, περίεργον μὲν οὐδὲν, οὐδὲ περιττὸν, εἰς τὸ εἶδος ἠράνιζεν. Ἀφίκετο δέ ποτε παρὰ Κῦρον τὸν Δαρείου καὶ Παρυσάτιδος ἡ Ἀσπασία, τὸν ἀδελφὸν Ἀρταξέρξου, οὐχ ἑκοῦσα, οὐδὲ ἑκόντος αὐτὴν τοῦ πατρὸς ἀποπέμψαντος, ἀλλὰ γὰρ πρὸς βίαν, οἷαι πολλάκις ἀπήντησαν, ἢ πόλεων ἁλουσῶν, ἢ τυράννων βιασαμένων, ἢ σατραπῶν πολλάκις. Εἷς οὖν τῶν Κύρου σατραπῶν μετὰ καὶ ἄλλων παρθένων ἀνήγαγεν αὐτὴν πρὸς Κῦρον. Καὶ τάχιστα τῶν ἄλλων παλλακίδων προετιμήθη, διά τε ἤθους ἀφέλειαν, καὶ τοῦ τρόπου τὸ αἰδῆμον, καὶ ὅτι ἀπεριέργως καλὴ ἦν. Συνεμάχετο δὲ πρὸς τὸ ὑπερφιλεῖσθαι, καὶ ὅτι σύνεσιν εἶχε· πολλάκις γοῦν καὶ ὑπὲρ τῶν ἐπειγόντων ἐχρήσατο αὐτῇ συμβούλῳ Κῦρος, καὶ πεισθεὶς οὐ μετέγνω. Ὡς δὲ ἦλθε τὸ πρῶτον πρὸς Κῦρον ἡ Ἀσπασία, ἔτυχε μὲν ἀπὸ δείπνου ὢν, καὶ πίνειν ἔμελλε κατὰ τὸν τρόπον τὸν Περσικόν· μετὰ γὰρ τὸ ἐμπλησθῆναι τροφῆς, οἱ Πέρσαι τῷ τε οἴνῳ, καὶ ταῖς προπόσεσιν εὖ μάλα ἀποσχολάζουσιν, οἱονεὶ πρὸς τὸν πότον, ὡς πρὸς ἀντίπαλον, ἀποδυόμενοι. Μεσοῦντος οὖν τοῦ πότου, τέσσαρες παρθένοι παράγονται τῷ Κύρῳ Ἑλληνικαὶ, ἐν δὲ ταῖς καὶ ἡ Φωκαῒς Ἀσπασία ἦν. Ἦσαν δὲ κάλλιστα διεσκευασμέναι. Αἱ μὲν γὰρ τρεῖς ὑπὸ τῶν οἰκείων γυναικῶν, αἳ ἔτυχον

αὐταῖς συνανελθοῦσαι, διαπεπλεγμέναι τε ἦσαν τὰς κόμας, καὶ διαπεποικιλμέναι τὰ πρόσωπα ἐντρίψεσι καὶ φαρμάκοις. Ἦσαν δε καὶ ὑπὸ τῶν τροφέων δεδιδαγμέναι, ὅπως τε ὑποδραμεῖν χρὴ τὸν Κῦρον, καὶ τίνα τρόπον θωπεῦσαι, καὶ προσιόντα μὴ ἀποστραφῆναι, καὶ ἁπτομένου μὴ δυσχερᾶναι, καὶ φιλοῦντος ὑπομεῖναι· ἑταιρικὰ εὖ μάλα μαθήματα, καὶ διδάγματα, καὶ γυναικῶν καπηλικῶς τῷ κάλλει χρωμένων ἔργα. Ἔσπευδον οὖν ἄλλη ἄλλην ὑπερβαλέσθαι τῷ κάλλει. Ἡ δὲ Ἀσπασία, οὔτε ἐνδῦναι πολυτελὴ χιτῶνα ἐβούλετο, οὔτε περίβλημα περιβαλέσθαι ποικίλον ἠξίου, οὔτε λούσασθαι ὑπέμενεν, ἀνευφημήσασα δὲ Θεοὺς πάντας ἐκάλει Ἑλληνίους, καὶ Ἐλευθερίους τοὺς αὐτοὺς, καὶ τὸ τοῦ πατρὸς ὄνομα ἐβόα, καὶ κατηρᾶτο ἑαυτῇ καὶ τῷ πατρὶ, δουλείαν σαφῆ καὶ ὡμολογημένην ὑπομένειν πιστεύουσα τὴν ἔξω τῆς συνηθείας περὶ τὸ σῶμα στολήν τε ἅμα, καὶ περίεργον κατασκευήν. Ῥαπισθεῖσα δὲ πρὸς ἀνάγκην ἐνέδυ, καὶ εἶκε τοῖς ἐπιτάγμασιν, ἀλγοῦσα ὅμως, ὅτι οὐ παρθενικὰ, ἀλλ' ἑταιρικὰ πράττειν ἐβιάζετο. Αἱ μὲν οὖν ἄλλαι παρελθοῦσαι ἀντέβλεπον τῷ Κύρῳ, καὶ ὑπεμειδίων, καὶ φαιδρότητα προσεποιοῦντο. Ἥ γε μὴν Ἀσπασία ἑώρα κάτω, καὶ ἐρυθημάτων εὖ μάλα φλογωδῶν ἐνεπίμπλατο αὐτῆς τὸ πρόσωπον, καὶ πεπλήρωντο οἱ ὀφθαλμοὶ δακρύων, καὶ ἐκ παντὸς αἰδουμένη τοῦ τρόπου δήλη ἦν. Ἐπεὶ δὲ ἐκέλευσε πλησίον αὐτοῦ τὰς ἀνθρώπους καθίσαι, αἱ μὲν ἐπείσθησαν καὶ πάνυ εὐκόλως· ἡ δὲ Φωκαῒς τῷ προστάγματι οὐδὲν προσεῖχεν, ἕως αὐτὴν ὁ ἀγαγὼν Σατράπης πρὸς βίαν ἐκάθισεν. Ἁπτομένου δὲ τοῦ Κύρου, καὶ διασκοποῦντος τοὺς ὀφθαλμοὺς αὐταῖς, καὶ τὰς παρειὰς, καὶ τοὺς δακτύλους, αἱ μὲν ἠνείχοντο, ἡ δὲ οὐχ ὑπέμενεν. Ἄκρᾳ γὰρ τῇ χειρὶ μόνον τοῦ Κύρου προσαψαμένου, ἐξεβόησέ τε, καὶ ἔφατο αὐτὸν οἰμώξεσθαι, τοιαῦτα δρῶντα. Ὑπερήσθη τούτοις ὁ Κῦρος. Ἐπανισταμένης τε αὐτῆς καὶ πειρωμένης φεύγειν, ἐπεὶ καὶ τῶν μαζῶν προσήψατο, ἀλλ' ἐνταῦθα μὲν ὑπερηγάσθη τὴν εὐγένειαν οὐ Περσικῶς ὁ τοῦ Δαρείου. Ἀλλὰ καὶ ἀποβλέψας πρὸς τὸν ἀγοραστὴν,

Ταύτην μόνην, ἔφη, ἐλευθέραν, καὶ ἀδιάφθορον ἤγαγες· αἱ δὲ λοιπαὶ καπηλικῶς ἔχουσι, καὶ τοῦ εἴδους, ἔτι καὶ τοῦ τρόπου μᾶλλον. Ἐκ δὴ τούτων ὁ Κῦρος πλέον ταύτην ἠγάπησεν, αἷς ὡμίλησέ ποτε ἀνθρώποις. Χρόνῳ δ' ὕστερον ὑπερηράσθη μὲν ταύτης ὁ Κῦρος, ἀντηρᾶτο δὲ καὶ ὑπ' ἐκείνης· καὶ ἐς τοσοῦτον ἀμφοῖν ἡ φιλία προῆλθεν, ὡς ἐγγὺς ἰσοτιμίας εἶναι, καὶ μὴ ἀπᾴδειν Ἑλληνικοῦ γάμου ὁμονοίας τε καὶ σωφροσύνης. Ἀφίκετο οὖν τοῦ εἰς Ἀσπασίαν ἔρωτος καὶ εἰς Ἰωνίαν τὸ κλέος, καὶ εἰς τὴν Ἑλλάδα πᾶσαν. Πεπλήρωτο δὲ καὶ ἡ Πελοπόννησος τῶν ὑπὲρ Κύρου τε καὶ ἐκείνης λόγων. Ἀλλὰ καὶ εἰς Βασιλέα τὸν μέγαν ἧκεν ἡ δόξα. Πεπίστευτο γὰρ δὴ, ὅτι γυναικὸς ἄλλης μετ' αὐτὴν οὐκ ἠξίου πειραθῆναι Κῦρος. Ἐκ δὴ τούτων εἰσῄει τὴν Ἀσπασίαν μνήμη τῶν ἀρχαίων φασμάτων, περιστερᾶς τε ἐκείνης, καὶ τῶν ἐξ αὐτῆς λόγων, καὶ ὅσα προεῖπεν ὁ Θεός· καὶ ἐπίστευεν αὐτὴν ἐξ ἀρχῆς μελεδωνὸν αὐτῆς γεγονέναι, καὶ ἔθυε τῇ Ἀφροδίτῃ τελεστήρια, καὶ χαριστήρια. Πρῶτον μὲν οὖν εἴδωλον χρυσοῦν ἀρκούντως μεγέθους ἔχον, αὐτῇ κατεσκεύασεν. Ἐνενοεῖτο δὲ τὸ ἄγαλμα τοῦτο Ἀφροδίτης εἶναι, καὶ πελειάδα αὐτῇ παρέστησε λιθοκόλλητον· καὶ ἀνὰ πᾶσαν ἡμέραν θυσίαις τε ἱλεοῦτο, καὶ εὐφημίαις. Ἀπέπεμψε δὲ καὶ Ἑρμοτίμῳ τῷ πατρὶ δῶρα πολλὰ καὶ καλὰ, καὶ πλούσιον αὐτὸν ἀπέφηνε. Σωφροσύνῃ τε διέζη, ὡς αἱ Ἑλληνίδες γυναῖκες λέγουσι, καὶ αἱ Περσίδες. Ὅρμος ἐκομίσθη ποτὲ Κύρῳ ἐκ Θετταλίας, πέμψαντος τὸν ὅρμον Σκόπα τοῦ νεωτέρου· τῷ δὲ Σκόπᾳ κεκόμιστο ἐκ Σικελίας τὸ δῶρον. Ἐδόκει δὲ ὁ ὅρμος θαυμαστῇ τινι τέχνῃ καὶ ποικιλίᾳ ἐξειργάσθαι. Πάντων οὖν, οἷς ἔδειξεν αὐτὸν ὁ Κῦρος, θαυμαζόντων, ὑπερησθεὶς τῷ κειμηλίῳ, παραχρῆμα εἰς Ἀσπασίας ἀφίκετο, μεσούσης ἡμέρας, καὶ καταλαβὼν αὐτὴν καθεύδουσαν, ὑποδὺς ὑπὸ θοιμάτιον, καὶ παρακλιθεὶς ἠρέμα, ἀψοφητὶ ἔμενεν αὐτὸς μὲν ἀτρεμῶν· ἐκείνη δὲ ἐκάθευδεν. Ἐπεὶ δὲ διυπνίσθη, καὶ ἐθεάσατο τὸν Κῦρον, περιπλακεῖσα αὐτῷ κατὰ τὸν συνήθη τρόπον ἐφιλοφρονεῖτο αὐτόν. Ὁ δὲ, ἐξελὼν ἐκ τοῦ κιβωτίου

τὸν ὅρμον, ἔδειξεν, ἐπειπὼν, ὅτι ἄξιός ἐστιν οὗτος ἢ θυγατρὸς βασιλέως, ἢ μητρός. Τῆς δὲ ὁμολογούσης, Ἰδοὺ δίδωμί σοι τοίνυν, φησὶν, αὐτὸν ἔχειν κτῆμα· καί μοι, ὡς ἔχεις, περιθεμένη, δεῖξον τὸν τράχηλον. Ἡ δὲ οὐχ ἡττήθη τοῦ δώρου, ἀλλ' εὖ μάλα σοφῶς, καὶ πεπαιδευμένως ἀπεκρίνατο. Καὶ πῶς, ἔφη, τολμήσω Παρυσάτιδος δῶρον ἄξιον, τῆς τεκούσης σε, περιθέσθαι αὐτή; ἀλλὰ τοῦτον μὲν ἀπόπεμψον ἐκείνῃ, Κῦρε, ἐγὼ δέ σοι καὶ ἄνευ τούτου παρέξω καλὸν τὸν τράχηλον. Ἀσπασία μὲν οὖν μεγαλοφρόνως, καὶ ὑπὲρ τὰς γυναῖκας βασιλικῶς, τὰ ἐναντία ἔδρασεν, ἤπερ εἰώθασι γυναῖκες δρᾷν· φιλόκοσμοι γάρ εἰσι δεινῶς. Ὁ δὲ Κῦρος, ἡσθεὶς τῇ ἀποκρίσει, τὴν μὲν Ἀσπασίαν κατεφίλησεν, αὐτὰ δὲ ἕκαστα καὶ τῶν πραχθέντων, καὶ τῶν λεχθέντων, εἰς ἐπιστολὴν ἐγγράψας, ἀπέπεμψε πρὸς τὴν μητέρα σὺν τῷ ὅρμῳ. Καὶ ἡ Παρύσατις, λαβοῦσα τὸ δῶρον, οὐδὲν ἔλαττον ἥσθη τοῖς ἐπεσταλμένοις, ἢ τῷ χρυσῷ· καὶ ὑπὲρ τούτων ἠμείψατο τὴν Ἀσπασίαν μεγάλοις δώροις, καὶ βασιλικοῖς. Ηὔφρανε γὰρ αὐτὴν μάλιστα ἐκεῖνο, ὅτι, καίτοι πάνυ σφόδρα εὐδοκιμοῦσα παρὰ τῷ παιδὶ αὐτῆς ἡ Ἀσπασία, ὅμως, ἐν τῷ φιλεῖσθαι ὑπὸ τοῦ Κύρου, ἐβούλετο τῆς Κῦρον τεκούσης ἡττᾶσθαι. Ἐπῄνεσε μὲν οὖν Ἀσπασία τὰ δῶρα, οὐ μὴν ἔφατο αὐτῶν δεῖσθαι· ἐπεὶ καὶ χρήματα ἧκεν αὐτῇ μετὰ τῶν δώρων πάμπολλα. Ἀπέστειλε δὲ Κύρῳ, εἰποῦσα, Πολλοὺς ἀνθρώπων τρέφοντί σοι γένοιτο ἂν ταῦτα λυσιτελῆ· ἐμοὶ δὲ σὺ ἀρκεῖς φιλούμενος, καὶ κόσμος μοι εἶναι. Καὶ ἐκ τούτων οὖν, ὥσπερ εἰκὸς, τὸν Κῦρον ἐξέπληξε, καὶ ἀναμφιλόγως ἐθαυμάζετο ἥδε ἡ γυνὴ, καὶ διὰ τὸ κάλλος τὸ τοῦ σώματος, καὶ ἔτι μᾶλλον διὰ τὴν εὐγένειαν τῆς ψυχῆς. Ὅτε δὲ ἀνῃρέθη Κῦρος ἐν τῇ πρὸς τὸν ἀδελφὸν μάχῃ, καὶ ἑάλω τὸ στρατόπεδον τοῦ Κύρου, μετὰ καὶ τῶν ἄλλων λαφύρων καὶ αὐτὴ ἑάλω, οὐκ εἰκῇ καὶ ὡς ἔτυχεν ἐμπεσοῦσα εἰς τοὺς πολεμίους, ἀλλ' ἀνεζήτησεν αὐτὴν σὺν πολλῇ τῇ φροντίδι ὁ βασιλεὺς Ἀρταξέρξης· ᾔδει γὰρ αὐτῆς τὸ κλέος, καὶ τὴν ἀρετήν. Ἐπεὶ δὲ αὐτὴν ἤγαγον δεδεμένην, ἠγανάκτει·

καὶ τοὺς μὲν τοῦτο δράσαντας εἰς δεσμωτήριον ἐνέβαλε, προσέταξε δὲ αὐτῇ δοθῆναι κόσμον πολυτελῆ. Ἡ δὲ, ἄκουσα καὶ ποτνιωμένη, καὶ δακρύουσα, ἐπὶ πολλοῖς ἐβιάσθη τὴν ἐκ βασιλέως ϛολὴν ἐνδῦναι· ἐθρήνει γὰρ ἰσχυρῶς τὸν Κῦρον. Ἐνδῦσα δὲ ἐφάνη καλλίστη γυναικῶν· καὶ παραχρῆμα ὁ Ἀρταξέρξης ἐφλέγετο, καὶ κατετήκετο, καὶ πρώτην γε τῶν γυναικῶν ἦγε, καὶ εἰς ὑπερβολὴν ἐτίμα, δι᾽ ὧν ἔσπευδεν αὐτῇ χαρίζεσθαι, θαῤῥῶν, ὅτι Κύρου μὲν ἀναπείσει ἐπιλαθέσθαι αὐτὴν, διδάξει δ᾽ αὐτὸν φιλεῖν οὐδὲν ἐκείνου ἧττον. Καὶ ἔτυχε μὲν τῆς ἐλπίδος, ὀψὲ δὲ καὶ βραδέως. Δεινὴ γὰρ ἡ εἰς Κῦρον εὔνοια ἐντακεῖσα τῇ Ἀσπασίᾳ δυσέκνιπτον ὥσπερ μάλιϛα τὸ φίλτρον ἐνείργαϛο αὐτῇ. Χρόνῳ δὲ ὕϛερον Τηριδάτης ὁ εὐνοῦχος ἀποθνήσκει, κάλλιστος τῶν ἐν τῇ Ἀσίᾳ καὶ ὡραιότατος γενόμενος. Κατέστρεψε δὲ οὗτος ἄρα τὸν βίον μειρακιούμενος, καὶ ἐκ τῆς παιδικῆς ἡλικίας ἀνατρέχων. Ἐλέγετο δὲ αὐτοῦ ἐρᾷν ὁ βασιλεὺς ἀνδρειότατα. Ἐκ δὴ τούτων ἐπένθει βαρύτατα, καὶ δριμύτατα ἤλγει, καὶ δημοσίᾳ κατὰ πᾶσαν τὴν Ἀσίαν πένθος ἦν, χαριζομένων ἁπάντων βασιλεῖ τοῦτο. Ἐτόλμα τε οὐδεὶς αὐτῷ προσελθεῖν, οὐδὲ παραμυθήσασθαι· καὶ γὰρ ἐπίστευον ἀνιάτως αὐτὸν ἔχειν ἐπὶ τῷ συμβεβηκότι πάθει. Τριῶν δὲ ἡμερῶν διελθουσῶν, στολὴν ἀναλαβοῦσα ἡ Ἀσπασία πενθικὴν ἀπιόντος τοῦ βασιλέως ἐπὶ λουτρὸν, ἔϛη δακρύουσα, καὶ ὁρῶσα εἰς γῆν. Ὁ δὲ ἰδὼν αὐτὴν ἐξεπλάγη, καὶ ἤρετο τὴν αἰτίαν τῆς ἀφίξεως. Καὶ ἐκείνη φησὶ, Λυπούμενόν σε, βασιλεῦ, καὶ ἀλγοῦντα ἀφῖγμαι παραμυθήσασθαι, εἴ σοι βουλομένῳ ἐϛίν· εἰ δὲ χαλεπαίνεις, ἀπαλλάττομαι ὀπίσω. Ὑπερήσθη τῇ κηδεμονίᾳ ὁ Πέρσης, καὶ προσέταξεν εἰς τὸν θάλαμον ἀνελθοῦσαν ἀναμεῖναι αὐτόν· ἡ δὲ ἔδρασε ταῦτα. Ἐπεὶ δὲ ἐπανῆλθε, τὴν τοῦ εὐνούχου στολὴν ἐπὶ τῇ μελαίνῃ περιῆψε τῇ Ἀσπασίᾳ· καί πως ἔπρεψεν αὐτῇ καὶ τὰ τοῦ μειρακίου, καὶ ἔτι μᾶλλον τὰ τῆς ὥρας αὐτῇ πρὸς τὸν ἐραστὴν ἐξέλαμψεν. Ἐπεὶ δὲ ἅπαξ ἐχειρώθη τούτοις ἐκεῖνος ἠξίωσεν αὐτὴν ἔς τ᾽ ἂν ἀπομαρανθῇ τοῦ πένθους αὐτῷ ἡ ἀκμὴ, οὕτως

ἐσταλμένην ὡς αὐτὸν παριέναι αὐτήν. Καὶ ἐκείνη χαριζομένη ἐπείσθη αὐτῷ· καὶ μόνη τῶν κατὰ τὴν Ἀσίαν, οὐ γυναικῶν μόνον, φασὶν, ἀλλὰ καὶ τῶν τοῦ βασιλέως υἱῶν, καὶ τῶν συγγενῶν, παρεμυθήσατο Ἀρταξέρξην, καὶ τὸ ἐκ τῆς λύπης ἰάσατο πάθος, εἴξαντος τοῦ βασιλέως τῇ κηδεμονίᾳ, καὶ τῇ παραμυθίᾳ πεισθέντος συνετῶς.

## ΚΕΦ. β'.

### Περὶ Μουσῶν.

Οὐδεὶς οὔτε πλάστης, οὔτε γραφεὺς τῶν Διὸς θυγατέρων τὰ εἴδη παρέστησεν ἡμῖν ὡπλισμένα. Ὁμολογεῖ δὲ τοῦτο, ὅτι δεῖ τὸν ἐν Μούσαις βίον εἰρηνικόν τε ἅμα καὶ πρᾶον εἶναι.

## ΚΕΦ. γ'.

### Περὶ Ἐπαμινώνδου, καὶ Δαϊφάντου, καὶ Ἰολαΐδου.

Ἐπαμινώνδας, ὅτε ἐτρώθη ἐν Μαντινείᾳ καιρίαν, εἰς τὴν σκηνὴν κομισθεὶς ἔτι ἔμπνους Δαΐφαντον ἐκάλει, ἵνα ἀποδείξῃ στρατηγόν· οἱ δὲ ἔφασαν τεθνᾶναι τὸν ἄνδρα. Εἶτα Ἰολαΐδαν καλεῖν διὰ ταχέος ἠξίου. Ἐπεὶ δὲ καὶ αὐτὸς ἐλέχθη τεθνᾶναι, συνεβούλευσε διαλύσασθαι πρὸς τοὺς πολεμίους, καὶ φιλίαν θέσθαι, ὡς μηκέτι στρατηγοῦ καταλελειμμένου ἐν Θήβαις.

## ΚΕΦ. δ'.

### Περὶ Σεσώστριδος.

Φασὶν Αἰγύπτιοι Σέσωστριν παρ' Ἑρμοῦ τὰ νόμιμα ἐκμουσωθῆναι.

## ΚΕΦ. ε'.

### Περὶ Λαΐδος.

Ὅτι Λαῒς ἡ ἑταίρα, ὥς φησιν Ἀριστοφάνης ὁ Βυζάντιος, καὶ Ἀξίνη ἐκαλεῖτο. Ἤλεγχε δὲ αὐτῆς τὸ ἐπώνυμον τοῦτο τὴν τοῦ ἤθους ἀγριότητα.

## ΚΕΦ. ϛ'.

Περὶ Μαρίου καὶ Κάτωνος πατέρων.

Ὅτι γελᾷν ἔξεστιν ἐπὶ τοῖς μεγάλως φρονοῦσι διὰ τοὺς πατέρας, εἴγε ἐν Ῥωμαίοις μὲν Μαρίου τὸν πατέρα οὐκ ἴσμεν, αὐτὸν δὲ θαυμάζομεν, διὰ τὰ ἔργα· Κάτωνος δὲ τοῦ πρεσβυτέρου καὶ αὐτοῦ τὸν πατέρα ἀναζητεῖν χρή.

## ΚΕΦ. ζ'.

Περὶ Ἀλεξάνδρου καὶ Ἡφαιστίωνος.

Ὅτι Ἀλέξανδρος τὸν Ἀχιλλέως τάφον ἐστεφάνωσε, καὶ Ἡφαιστίων τὸν τοῦ Πατρόκλου, αἰνιττόμενος, ὅτι καὶ αὐτὸς ἦν ἐρώμενος τοῦ Ἀλεξάνδρου, ὥσπερ Ἀχιλλέως ὁ Πάτροκλος.

## ΚΕΦ. ή.

Περὶ Κλεομένους ἐπιβουλῆς κατὰ τοῦ Ἀρχωνίδου.

Κλεομένης ὁ Λάκων, τῶν ἑταίρων τῶν αὐτοῦ παραλαβὼν Ἀρχωνίδην, κοινωνὸν ἐποιεῖτο τῶν πραγμάτων. Ἐπώμνυεν οὖν, εἰ κατάσχοι, πάντα σὺν τῇ αὐτοῦ κεφαλῇ πράττειν. Κατασχὼν οὖν τὴν ἀρχὴν, ἀποκτείνας τὸν ἑταῖρον αὐτοῦ, καὶ ἀποκρίνας τὴν κεφαλὴν, καὶ μέλιτι ἐν σκεύει ἐμβαλὼν, ὁπότε μέλλοι τι πράττειν, τῷ ἀγγείῳ προσκύψας, ἔλεγεν ὅσα ἔπραττε· λέγων, μὴ παρασπονδεῖν, μηδὲ ἐπιορκεῖν, βουλεύεσθαι δὲ μετὰ τῆς Ἀρχωνίδου κεφαλῆς.

## ΚΕΦ. θ'.

Πῶς Τιμησίας ἑκὼν ἀπῆλθε τῆς πατρίδος.

Τιμησίας ὁ Κλαζομένιος καλῶς ἐξηγήσατο τῶν Κλαζομενίων· ἦν γὰρ τῶν ἀγαθῶν ἀνδρῶν. Ὅς γε μὴν εἴωθε κατισχύειν τῶν τοιούτων φθόνος, καὶ τοῦ Τιμησίου κατεκράτει. Καὶ τὰ μὲν πρῶτα ὀλίγον ἔμελε φθονουμένῳ αὐτῷ· τῆς δὲ πατρίδος ἐκεῖνο αὐτὸν ἐξελάσαι φασί. Παρῄει διὰ διδασκαλείου· οἱ δὲ παῖδες ἀφεθέντες ὑπὸ τοῦ διδασκάλου ἔπαιζον. Γίνεται δὲ

δύο παίδων ὑπὲρ γραμμῆς φιλοτιμία· καὶ ὁ εἷς ἐπώμοσεν; Οὕτω ἐγὼ Τιμησίου τὸν ἐγκέφαλον ἐξαράξαιμι. Τοῦτο ἐκεῖνος ἀκούσας, καὶ ὑπολαβὼν ἀκρατῶς ἔχειν φθόνου, καὶ δεινῶς ὑπὸ τῶν πολιτῶν μεμισῆσθαι, εἴγε καὶ οἱ παῖδες αὐτὸν μισοῦσι, μήτι γοῦν οἱ ἄνδρες, ἀπῆλθεν ἑκὼν τῆς πατρίδος.

ΚΕΦ. ί.

Ὅτι πρῶτοι ἔκοψαν Αἰγινῆται νόμισμα·

Αἰγινῆταί ποτε ἐδυνήθησαν τὰ μέγιστα ἐν τοῖς Ἕλλησιν, εὐφορίαν τινὰ χρόνων καὶ εὐκαιρίαν λαχόντες· δύναμιν γὰρ ναυτικὴν ἔσχον, καὶ ἦσαν μέγιστοι. Ἀλλὰ καὶ ἐν τοῖς Περσικοῖς ἀγαθοὶ ἐγένοντο, καὶ διὰ ταῦτα καὶ τῶν ἀριστείων ἠξιώθησαν. Καὶ πρῶτοι νόμισμα ἔκοψαν τὸ καὶ ἐξ αὐτῶν κληθὲν νόμισμα Αἰγιναῖον.

ΚΕΦ. ιά.

Περὶ Παλλαντίου λόφου, καὶ Πυρετοῦ ναοῦ, καὶ βωμοῦ.

Ὅτι Ῥωμαῖοι ὑπὸ τῷ λόφῳ τῷ Παλλαντίῳ Πυρετοῦ καὶ νεὼν, καὶ βωμὸν, ἱδρύσαντο.

ΚΕΦ. ιβ΄.

Περὶ τοῦ ἐν Κρήτῃ συλληφθέντος μοιχοῦ.

Ὅτι ἐν Κρήτῃ ἐν Γορτύνῃ μοιχὸς ἁλοὺς ἤγετο ἐπὶ τὰς ἀρχὰς, καὶ ἐστεφανοῦτο ἐρίῳ ἐλεγχθείς. Τὸ δὲ στεφάνωμα κατηγόρει αὐτοῦ, ὅτι ἄνανδρός ἐστι, καὶ γύννις, καὶ εἰς γυναῖκας καλός. Καὶ εἰσεπράσσετο δημοσίᾳ εἰς στατῆρας πεντήκοντα, καὶ ἀτιμότατος ἦν, καὶ οὐδενός οἱ μετῆν τῶν κοινῶν.

ΚΕΦ. ιγ΄.

Πῶς ἡ Γνάθαινα ἑταίρα κατεσίγαγε λάλον.

Ἀφίκετο ἐξ Ἑλλησπόντου παρὰ τὴν ἑταίραν τὴν Ἀττικὴν, Γνάθαιναν, ἐραστὴς, κατὰ κλέος αὐτῆς. Παρὰ πότον οὖν πολὺς

λὺς ἦν λαλῶν, καὶ ἐδόκει φορτικός. Ὑπολαβοῦσα οὖν ἡ Γνάθαινα, Εἶτα οὐ σὺ μέντοι λέγεις, εἶπεν, ἥκειν ἐξ Ἑλλησπόντου; Τοῦ δὲ, ὁμολογήσαντος, Καὶ πῶς, εἶπεν, οὐκ ἔγνως τῶν ἐκεῖ πόλεων τὴν πρώτην; Τοῦ δὲ, εἰπόντος, Καὶ τίς ἐστιν; ἥδε ἀπεκρίνατο, Σίγειον· καὶ ἐμμελῶς διὰ τοῦ ὀνόματος κατεσίγασεν αὐτόν.

## ΚΕΦ. ιδ'.

### Περί τινων τὸ σῶμα ὡραίων.

Ἐρασμιώτατον καὶ ὡραιότατόν φασιν, Ἑλλήνων μὲν γενέσθαι Ἀλκιβιάδην, Ῥωμαίων δὲ Σκηπίωνα. Καὶ Δημήτριον τὸν Πολιορκητὴν λέγουσιν ὥρας ἀμφισβητῆσαι. Ἀλέξανδρον δὲ τὸν Φιλίππου ἀπραγμόνως ὡραῖον λέγουσι γενέσθαι. Τὴν μὲν γὰρ κόμην ἀναπεφύρθαι αὐτῷ, ξανθὴν δὲ εἶναι· ὑπαναφύεσθαι δέ τι ἐκ τοῦ εἴδους φοβερὸν τῷ Ἀλεξάνδρῳ λέγουσιν. Ὁ δὲ Ὅμηρος ὅταν τοὺς καλοὺς θέλει ἐλέγξαι, δένδροις αὐτοὺς παραβάλλει·

. . . . . . . . Ὁ δ' ἀνέδραμεν ἔρνεϊ ἶσος.

## ΚΕΦ. ιέ.

### Περὶ ἀρίστων τινῶν τοῖς παιδίοις τερπομένων.

Τὸν Ἡρακλῆ λέγουσι τὰς ἐν τοῖς ἄθλοις σπουδὰς διαναπαύειν ταῖς παιδιαῖς. Ἔπαιζε δὲ ἄρα ὁ Διὸς καὶ Ἀλκμήνης μετὰ παιδίων πάνυ σφόδρα. Τοῦτό τοι καὶ ὁ Εὐριπίδης ἡμῖν ὑπαινίττεται, ποιήσας τὸν αὐτὸν τοῦτον Θεὸν λέγοντα,

Παίζω· μεταβολὰς γὰρ πόνων ἀεὶ φιλῶ.

Λέγει δὲ τοῦτο, παιδίον κατέχων. Καὶ Σωκράτης δὲ κατελήφθη ποτὲ ὑπὸ Ἀλκιβιάδου παίζων μετὰ Λαμπροκλέους, ἔτι νηπίου. Ἀγησίλαος δὲ, κάλαμον περιβὰς, ἵππευε μετὰ τοῦ υἱοῦ, παιδὸς ὄντος· καὶ πρὸς τὸν γελάσαντα εἶπε, Νῦν μὲν σιώπα, ὅταν δὲ γένῃ πατὴρ αὐτὸς, τότε ἐξαγορεύσεις * πρὸς τοὺς πατέρας *. Ἀλλὰ καὶ Ἀρχύτας ὁ Ταραντῖνος, πολιτικός τε καὶ φιλόσοφος ἀνὴρ γενόμενος, πολλοὺς ἔχων οἰκέτας,

τοῖς αὐτῶν παιδίοις πάνυ σφόδρα ἐτέρπετο, μετὰ τῶν οἰκοτρίβων παίζων· μάλιστα δὲ ἐφίλει τέρπεσθαι αὐτοῖς ἐν τοῖς συμποσίοις.

ΚΕΦ. ιϛ΄.

Τίσι δι' ἀρετὴν ἀπήχθετο ὁ Ἀλέξανδρος.

Ὅτι ἀπήχθετο Περδίκκᾳ Ἀλέξανδρος, ὅτι ἦν πολεμικός· Λυσιμάχῳ δὲ, ἐπεὶ στρατηγεῖν ἀγαθός· Σελεύκῳ δὲ, ὅτι ἀνδρεῖος ἦν. Ἀντιγόνου δὲ αὐτὸν ἐλύπει τὸ φιλότιμον. Ἀττάλου δὲ τῷ ἡγεμονικῷ ἤχθετο· Πτολεμαίου δὲ τῷ δεξιῷ.

ΚΕΦ. ιζ΄.

Περὶ Δημητρίου εἰς ἑταίρας οἰκίαν φοιτῶντος.

Ὅτι Δημήτριος, τοσούτων ἐθνῶν ἡγεμονεύων, ἐφοίτα εἰς Λαμίας τῆς ἑταίρας σὺν τοῖς ὅπλοις, καὶ φορῶν τὸ διάδημα. Αἴσχιστον μὲν οὖν ἦν αὐτῷ, καὶ οἴκαδε μεταπέμψασθαι τὴν ἄνθρωπον· ὁ δὲ παρ' ἐκείνην ἐφοίτα φιλοφρόνως. Ἀλλ' ἔγωγε Θεόδωρον ἂν τὸν αὐλητὴν προτιμήσαιμι τοῦ Δημητρίου· ἐπεὶ τὸν Θεόδωρον μετεπέμπετο ἡ Λαμία, ὁ δὲ ὑπερεῖδε τὴν κλῆσιν.

ΚΕΦ. ιή.

Ὅτι Φάων ὡραῖος ἦν.

Τὸν Φάωνα, κάλλιστον ἀνθρώπων ὄντα, ἡ Ἀφροδίτη ἐν θριδακίναις ἔκρυψε. Λόγος δὲ ἕτερος, ὅτι ἦν πορθμεὺς, καὶ εἶχε τοῦτο τὸ ἐπιτήδευμα. Ἀφίκετο δέ ποτε ἡ Ἀφροδίτη διαπλεῦσαι βουλομένη· ὁ δὲ ἀσμένως ἐδέξατο, οὐκ εἰδὼς ὅς τις ἦν, καὶ σὺν πολλῇ φροντίδι ἤγαγεν, ὅποι ποτὲ ἐβούλετο· Ἀνθ' ὧν ἡ Θεὸς ἔδωκεν ἀλάβαστρον αὐτῷ, καὶ εἶχεν αὐτὴ μύρον, ᾧ χριόμενος ὁ Φάων ἐγένετο ἀνθρώπων κάλλιστος· καὶ ἤρων γε αἱ γυναῖκες αὐτοῦ αἱ Μιτυληναίων. Τά γε μὴν τελευταῖα ἀπεσφάγη, μοιχεύων ἁλούς.

## ΚΕΦ. ιθ'.

### Περὶ Σαπφοῦς.

Τὴν ποιήτριαν Σαπφὼ, τὴν Σκαμανδρωνύμου θυγατέρα, ταύτην καὶ Πλάτων ὁ Ἀρίστωνος σοφὴν ἀναγράφει. Πυνθάνομαι δὲ ὅτι καὶ ἑτέρα ἐν τῇ Λέσϐῳ ἐγένετο Σαπφὼ, ἑταίρα, οὐ ποιήτρια.

## ΚΕΦ. κ'.

### Περὶ ἀηδόνος, καὶ Χιλιδόνος.

Λέγει Ἡσίοδος, τὴν ἀηδόνα μόνην ὀρνίθων ἀμελεῖν ὕπνου, καὶ διὰ τέλους ἀγρυπνεῖν. Τὴν δὲ χελιδόνα οὐκ εἰς τὸ παντελὲς ἀγρυπνεῖν, καὶ ταύτην δὲ ἀπολωλεκέναι τοῦ ὕπνου τὸ ἥμισυ. Τιμωρίαν δὲ ἄρα ταύτην ἐκτίνουσι διὰ τὸ πάθος, τὸ ἐν Θρᾴκῃ κατατολμηθὲν, τὸ εἰς τὸ δεῖπνον ἐκεῖνο τὸ ἄθεσμον.

## ΚΕΦ. κά.

### Περὶ Λακεδαιμονίων γυναικῶν.

Αἱ Λακεδαιμονίων μητέρες, ὅσαι ἐπυνθάνοντο τοὺς παῖδας αὐτῶν ἐν τῇ μάχῃ κεῖσθαι, ἀλλ' αὐταί γε ἀφικόμεναι τὰ τραύματα αὐτῶν ἐπεσκόπουν, τά τε ἔμπροσθεν, καὶ τὰ ὄπισθεν. Καὶ, εἰ ἦν πλείω τὰ ἐναντία,, αἵδε γαυρούμεναι, καὶ σεμνὸν ἅμα καὶ βλοσυρὸν ὁρῶσαι τοὺς παῖδας εἰς τὰς πατρῴας ἔφερον ταφάς. Εἰ δὲ ἑτέρως εἶχον τῶν τραυμάτων, ἐνταῦθα αἰδούμεναι, καὶ θρηνοῦσαι, καὶ, ὡς ἔνι μάλιστα, λαθεῖν σπεύδουσαι, ἀπηλλάττοντο, καταλιποῦσαι τοὺς νεκροὺς ἐν τῷ πολυανδρίῳ θάψαι, ἢ λάθρα εἰς τὰ οἰκεῖα ἠρία ἐκόμιζον αὐτούς.

## ΚΕΦ. κϐ'.

### Περὶ Τιτόρμου ἰσχύος, καὶ Μίλωνος, καὶ παροιμίας τινός.

Τιτόρμῳ φασὶ τῷ βουκόλῳ περιτυχεῖν τὸν Κροτωνιάτην Μίλωνα, μεγαλοφρονοῦντα διὰ τὴν ῥώμην τοῦ σώματος·

Θεασάμενος οὖν μέγαν τὸν Τίτορμον τὸ σῶμα ἰδεῖν, ἐβούλετο λαβεῖν αὐτοῦ ἰσχύος πεῖραν. Ὁ δὲ Τίτορμος ἔλεγε, μηδὲν μέγα ἰσχύειν. Καταβὰς δὲ εἰς τὸν Εὔηνον, καὶ θοιμάτιον ἀποδὺς, λίθον λαμβάνει μέγιςον, καὶ πρῶτον μὲν ἕλκει αὐτὸν πρὸς ἑαυτὸν, εἶτα ἀπωθεῖ, καὶ δὶς καὶ τρὶς τοῦτο ἐποίησε, καὶ μετὰ ταῦτα αὐτὸν ἦρεν ἕως εἰς τὰ γόνατα, καὶ τέλος ἀράμενος ἐπὶ τῶν ὤμων ἔφερεν, ὅσον ἐπ' ὀργυιὰς ὀκτὼ, καὶ ἔῤῥιψεν. Ὁ δὲ Κροτωνιάτης Μίλων μόλις τὸν λίθον ἐκίνησεν. Εἶτα δεύτερος ἆθλος τοῦ Τιτόρμου. Ἐπὶ τὴν ἀγέλην ἦλθε, καὶ στὰς ἐν μέσῳ, τὸν μέγιστον ταῦρον, ἄγριον ὄντα, λαμβάνει τοῦ ποδός· καὶ ὁ μὲν ἀποδρᾶναι ἔσπευδεν, οὐ μὴν ἐδύνατο. Παριόντα δὲ ἕτερον, τῇ ἑτέρᾳ χειρὶ συναρπάσας τοῦ ποδὸς ὁμοίως εἶχε. Θεασάμενος δὲ ὁ Μίλων, εἰς τὸν οὐρανὸν τὰς χεῖρας τείνας, ἔφατο, ὦ Ζεῦ, μὴ τοῦτον Ἡρακλῆν ἡμῖν ἕτερον ἔσπειρας; Ἐντεῦθεν ῥηθῆναι λέγουσι τὴν παροιμίαν, Ἄλλος οὗτος Ἡρακλῆς.

## ΚΕΦ. κγ'.

### Περὶ Κελτῶν εὐτολμίας.

Ἀνθρώπων ἐγὼ ἀκούω φιλοκινδυνοτάτους εἶναι τοὺς Κελτούς. Τῶν ᾀσμάτων οὖν ὑποθέσεις ποιοῦνται τοὺς ἀνθρώπους τοὺς ἀποθανόντας ἐν τῷ πολέμῳ καλῶς. Καὶ μάχονται δὲ ἐστεφανωμένοι, ἀλλὰ καὶ τρόπαια ἐγείρουσιν, ἅμα τε ἐπὶ τοῖς πεπραγμένοις σεμνυμνόμενοι, καὶ ὑπομνήματα αὐτῶν τῆς ἀρετῆς ἀπολείποντες Ἑλληνικῶς. Οὕτως δὲ αἰσχρὸν νομίζουσι τὸ φεύγειν, ὡς μηδὲ ἐκ τῶν οἰκιῶν κατολισθαινουσῶν καὶ ἐμπιπτουσῶν πολλάκις ἀποδιδράσκειν, ἀλλὰ μηδὲ πιμπραμένων αὐτῶν, περλαμβανομένους ὑπὸ τοῦ πυρός. Πολλοὶ δὲ καὶ ἐπικλύζουσαν τὴν θάλασσαν ὑπομένουσιν. Εἰσὶ δὲ καὶ οἱ ὅπλα λαμβάνοντες ἐμπίπτουσι τοῖς κύμασι, καὶ τὴν φορὰν αὐτῶν εἰσδέχονται, γυμνὰ τὰ ξίφη καὶ τὰ δόρατα προσείοντες, ὥσπεροῦν ἢ φοβῆσαι δυνάμενοι, ἢ τρῶσαι.

## ΚΕΦ. κδ'.

Περὶ Σμινδυρίδου ἁβροδιαίτης καὶ ἀδδηφαγίας.

Σμινδυρίδην τὸν Συβαρίτην λέγουσιν ἐπὶ τοσοῦτον τρυφῆς ἐξοκεῖλαι, ὡς εἰς Σικυῶνα αὐτὸν ἀφικέσθαι, μνηστῆρα Ἀγαρίστης τῆς Κλεισθένους, καὶ ἐπάγεσθαι χιλίους μὲν μαγείρους, τοσούτους δὲ ὀρνιθευτὰς, καὶ ἁλιεῖς χιλίους.

## ΚΕΦ. κέ.

„ Πολλοὶ τῶν ἀρίστων τίνων ὤναντο καὶ ἀπήλαυσαν.

Ὤναντο ἄρα καὶ Ὀδυσσεὺς Ἀλκίνου, καὶ Ἀχιλλεὺς Χείρωνος, καὶ Πάτροκλος Ἀχιλλέως, καὶ Ἀγαμέμνων Νέστορος, καὶ Τηλέμαχος Μενελάου, καὶ Ἕκτωρ Πολυδάμαντος, ἐν οἷς αὐτῷ προσεῖχε, καὶ οἱ Τρῶες Ἀντήνορος. Καὶ οἱ Πυθαγόρειοι μὲν ὁμιληταὶ, Πυθαγόρου ὤναντο· οἱ Δημοκρίτειοι δὲ, συγγενόμενοι Δημοκρίτῳ, πολλῶν ἀπήλαυσαν. Σωκράτει δὲ εἰ προσεῖχον οἱ Ἀθηναῖοι, πάντα ἂν ἐγένοντο εὐδαίμονες, * εἰ ἐφιλοσόφουν. * Καὶ Ἱέρων δὲ ὁ Δεινομένους Σιμωνίδου τοῦ Κείου ἀπήλαυσε, καὶ Πολυκράτης Ἀνακρέοντος, καὶ Ξενοφῶντος Πρόξενος, καὶ Ἀντίγονος Ζήνωνος. Ἵνα δὲ καὶ τῶν ἐμοὶ προσηκόντων οὐδὲν ἧττον, ἤπερ καὶ οἱ Ἕλληνες προσήκουσι, μεμνήσωμαι (διαφέρει δέ μοι καὶ τούτων, εἴγε Ῥωμαῖός εἰμι), καὶ Λεύκολλος Ἀντιόχου τι ὤνατο τοῦ Ἀσκαλωνίτου, καὶ Μαικήνας Ἀρείου, καὶ Κικέρων Ἀπολλωνίου, καὶ ὁ Σεβαστὸς Ἀθηνοδώρου. Πλάτων δὲ, ἐμοῦ καίτοι σοφώτερος ὢν, λέγει, ὅτι καὶ Ζεὺς εἶχε σύμβουλον· τίνα δὲ, καὶ ὅπως, παρ' ἐκείνου μανθάνωμεν.

## ΚΕΦ. κϛ'.

Περὶ οἰνοφλύγων τινῶν.

Ποτίστατοι γεγόνασιν ἄνθρωποι, ὥσπερ φασὶ, Ξεναγόρας ὁ Ῥόδιος, ὃν ἐκάλουν Ἀμφορέα, καὶ Ἡρακλείδης ὁ πύκτης, και Πρωτέας ὁ Λανίκης μὲν υἱὸς, Ἀλεξάνδρου δὲ τοῦ βασιλέως

σύντροφος. Καὶ αὐτὸς δὲ Ἀλέξανδρος λέγεται πλεῖστον πιεῖν ἀνθρώπων.

## ΚΕΦ. κζ΄.

Ὅτι ὁ Ἡρακλῆς ἥμερος ἦν τοῖς ἑαυτοῦ πολεμίοις.

Ἡμερώτατά φασι τὸν Ἡρακλῆν προσενεχθῆναι τοῖς ἑαυτοῦ πολεμίοις· πρῶτον γὰρ τῶν ἐξ αἰῶνος νεκροὺς ὑποσπόνδους ἀποδοῦναι ταφησομένους, εἰωθότων τῶν τότε ὀλιγωρεῖν τῶν ἀνῃρημένων, καὶ ἀπολείπειν αὐτοὺς κυνῶν δεῖπνον εἶναι. Καὶ Ὅμηρος,

. . . . . . . . . . . Ἑλώρια τεῦχε κύνεσσιν·

καὶ

. . . . . . . . . . . Κυσὶν μέλπηθρα γενέσθαι.

## ΚΕΦ. κή.

Περὶ τοῦ ἐν Ἀθήναις Λεωκορίου.

Λεωκόριον Ἀθήνησιν ἐκαλεῖτο τὸ τέμενος τῶν Λεὼ θυγατέρων, Πραξιθέας, καὶ Θεόπης, καὶ Εὐβούλης. Ταύτας δὲ ὑπὲρ τῆς πόλεως τῆς Ἀθηνᾶς ἀναιρεθῆναι λόγος ἔχει, ἐπιδόντος αὐτὰς τοῦ Λεὼ εἰς τὸν χρησμὸν τὸν Δελφικόν. Ἔλεγε γὰρ μὴ ἂν ἄλλως σωθῆναι τὴν πόλιν, εἰ μὴ ἐκεῖναι σφαγιασθεῖεν.

## ΚΕΦ. κθ΄.

Τί εἶπεν ὁ Πλάτων περὶ Ἀκραγαντίνων πολυτελείας.

Πλάτων ὁ Ἀρίστωνος ἰδὼν Ἀκραγαντίνους, καὶ οἰκοδομοῦντας πολυτελῶς, καὶ ὁμοίως δειπνοῦντας, εἶπεν, ὅτι ἄρα οἱ Ἀκραγαντῖνοι οἰκοδομοῦσι μὲν, ὡς ἀεὶ βιωσόμενοι, δειπνοῦσι δὲ, ὡς ἀεὶ τεθνηξόμενοι. Λέγει δὲ Τίμαιος καὶ ὅτι ἀργυραῖς ληκύθοις καὶ στλεγγίσιν ἐχρῶντο, καὶ ἐλεφαντίνας κλίνας εἶχον ὅλας.

## ΚΕΦ. λ'.

### Περὶ Ταραντίνων οἰνοφλυγίας, καὶ Κυρηναίων τρυφῆς.

Ταραντίνοις ἐν ἔθει ἦν πίνειν μὲν ἐξ ἑωθινοῦ, μεθύειν δὲ περὶ πλήθουσαν ἀγοράν. Εἰς τοσοῦτον δὲ ἄρα Κυρηναῖοι τρυφῆς ἐξώκειλαν, ὥστε Πλάτωνα παρεκάλουν, ἵνα αὐτοῖς γένηται νομοθέτης. Τὸν δὲ ἀπαξιῶσαί φασι διὰ τὴν ἐξ ἀρχῆς ῥαθυμίαν αὐτῶν. Ὁμολογεῖ δὲ καὶ Εὔπολις ἐν τῷ Μαρικᾷ, Ὅστις αὐτῶν εὐτελέστατος, σφραγῖδας εἶχε δέκα μνῶν. Παρῆν δὲ θαυμάζεσθαι καὶ τοὺς διαγλύφοντας τοὺς δακτυλίους.

## ΚΕΦ. λά.

### Περὶ διαφόρων οἴνων Ἑλληνικῶν.

Φέρε οἴνων Ἑλληνικῶν, διὰ σπουδῆς ἰόντων ἐν τοῖς πάλαι, ὀνόματα καταλέξω ὑμῖν. Πράμνειόν τινα ἐκάλουν· ἱερὸν δ' ἦν ἄρα τοῦτο τῆς Δημήτρας· καὶ Χῖος οἶνος, ἐκ τῆς νήσου, καὶ Θάσιος ἄλλος, καὶ Λέσϐιος· καὶ ἐπὶ τούτοις Γλυκύς τις ἐκαλεῖτο, πρέπων τῷ ὀνόματι τὴν γεῦσιν· καὶ Κρὴς ἄλλος. Καὶ ἐν Συρακούσαις Πόλιος· ἐκλήθη δὲ ἀπό τινος ἐγχωρίου βασιλέως. Ἔπινον δὲ καὶ Κῷον οἶνον, καὶ οὕτως αὐτὸν ἐκάλουν· καὶ Ῥόδιον, κατὰ τὰ αὐτὰ ὀνομάζοντες. Τί δὲ, οὐκ ἐκεῖνα τοῖς Ἕλλησι τρυφῆς ἀπόδειξις; μύρῳ γὰρ οἶνον μιγνύντες οὕτως ἔπινον, καὶ ὑπεργάζοντο τὴν τοιαύτην κρᾶσιν· καὶ ἐκαλεῖτο ὁ οἶνος Μυῤῥίνης. Μέμνηται δὲ αὐτοῦ Φιλιππίδης ὁ τῆς κωμῳδίας ποιητής.

## ΚΕΦ. λϐ'.

### Περὶ Πυθαγόρου, Ἐμπεδοκλέους, Ἱππίου, καὶ Γοργίου ἐνδύματος καὶ ὑποδήματος.

Πυθαγόρας ὁ Σάμιος λευκὴν ἐσθῆτα ἤσθητο, καὶ ἐφόρει στέφανον χρυσοῦν, καὶ ἀναξυρίδας. Ἐμπεδοκλῆς δὲ ὁ Ἀκραγαντῖνος ἁλουργεῖ ἐχρήσατο, καὶ ὑποδήμασι χαλκοῖς. Ἱππίαν δὲ, καὶ Γοργίαν, ἐν πορφυραῖς ἐσθῆσι προϊέναι διαῤῥεῖ λόγος.

## ΚΕΦ. λγ'.

Ὅτι οἱ Ῥωμαῖοι τὴν τοῦ ἰατροῦ τοῦ Πύῤῥου ἐπιβουλὴν οὐ προσήκαντο.

Κινέας ὁ Πύῤῥου ἰατρός, φασι, πρὸς τὴν βουλὴν τῶν Ῥωμαίων ἔγραψε δι' ἀποῤῥήτων, καὶ ᾔτει χρήματα, καὶ ὑπισχνεῖτο ἀποκτενεῖν φαρμάκοις τὸν Πύῤῥον. Οἱ δὲ οὐ προσήκαντο τὴν ὑπόσχεσιν· δι' ἀρετῆς γὰρ ἴσασι Ῥωμαῖοι ἀγαθοὶ εἶναι, οὐ μὴν διὰ τέχνης, καὶ πανουργίας, καὶ ἐπιβουλῆς, καταγωνίσασθαι τοὺς ἐχθρούς. Ἀλλὰ καὶ αὐτῷ τῷ Πύῤῥῳ τὴν γνώμην τοῦ Κινέου ἐξέφαναν.

## ΚΕΦ. λδ'.

Περὶ Παυσανίου καὶ Ἀπελλοῦ ἐρώτων.

Ἔρωτες ἡμῖν τῶν ἀρχαίων πολλοὶ μὲν καὶ ἄλλοι εἰς μνήμην ἐδόθησαν, καὶ οὗτος δὲ οὐχ ἥκιστα. Παυσανίας μὲν γὰρ ἤρα τῆς αὐτοῦ γυναικός. Ἀπελλῆς δὲ καὶ τῆς Ἀλεξάνδρου παλλακῆς, ᾗπερ ὄνομα ἦν Παγκάστη, τὸ δὲ γένος Λαρισσαία ἦν. Ταύτῃ καὶ πρώτῃ, φασίν, ὁ Ἀλέξανδρος ὡμίλησεν.

## ΚΕΦ. λέ.

Περὶ Περιάνδρων, Μιλτιαδῶν, Σιβυλλῶν, Βακίδων.

Ὅτι δύο Περίανδροι, ὁ μὲν σοφὸς ἦν, ὁ δὲ τύραννος. Καὶ Μιλτιάδαι τρεῖς, ὁ τὴν Χεῤῥόνησον κτίσας, καὶ ὁ Κυψέλλου, καὶ ὁ Κίμωνος. Σίβυλλαι τέσσαρες, ἡ Ἐρυθραία, ἡ Σαμία, ἡ Αἰγυπτία, ἡ Σαρδιανή. Οἱ δέ φασι καὶ ἑτέρας ἕξ, ὡς εἶναι τὰς πάσας δέκα, ὧν εἶναι καὶ τὴν Κυμαίαν, καὶ τὴν Ἰουδαίαν. Βάκιδες τρεῖς, ὁ μὲν Ἐλεώνιος, ὁ δὲ Ἀθηναῖος, ὁ δὲ Ἀρκάς.

## ΚΕΦ. λς'.

Περὶ ἀριθμοῦ Νιόβης παίδων.

Ἐοίκασιν οἱ ἀρχαῖοι ὑπὲρ τοῦ ἀριθμοῦ τῶν τῆς Νιόβης παί-

δων μὴ συνᾴδειν ἀλλήλοις. Ὅμηρος μὲν ἓξ λέγει, καὶ τοσαύτας κόρας. Λάσος δὲ δὶς ἑπτὰ λέγει. Ἡσίοδος δὲ ἐννέα καὶ δέκα, εἰ μὴ ἄρα οὔκ εἰσιν Ἡσιόδου τὰ ἔπη, ἀλλ', ὡς πολλὰ καὶ ἄλλα, κατέψευσται αὐτοῦ. Ἀλκμὰν δέκα φησί. Μίμνερμος εἴκοσι, καὶ Πίνδαρος τοσούτους.

## ΚΕΦ. λζ'.

Περὶ Ἀλεξάνδρου ἐν ἀπορίᾳ τροφῶν γενομένου, καὶ πῶς τινὲς κῶμαι διὰ τὸν καπνὸν ἑάλωσαν.

Ἀλέξανδρος, ὅτε Βῆσον ἐδίωκεν, ἐν ἀπορίᾳ γενόμενος τροφῶν, αὐτός τε ἥψατο τῶν καμήλων, καὶ ὑποζυγίων ἄλλων, καὶ οἱ σὺν αὐτῷ. Τῶν τε ξύλων αὐτοὺς ἐπιλιπόντων, ὠμὰ τὰ κρέα ἤσθιον. Ἐπεκούρει δὲ αὐτοῖς τὸ σίλφιον πολὺ ὂν, ὥστε τὰς σάρκας συνεκπέττειν.

Ἐν δὲ τῇ Βακτριανῇ οἱ στρατιῶται τὰς κώμας κατελάμβανον, ὅτι οἰκοῦνται ἐκ τοῦ καπνοῦ συνιέντες, καὶ τὴν χιόνα ἀφαιροῦντες τῶν θυρῶν.

## ΚΕΦ. λή.

Περὶ ἵππων τῶν Σακῶν, καί τινων ἐθῶν αὐτῶν.

Οἱ Σακῶν ἵπποι, ἐὰν ἀπολάβῃ τις τὸν δεσπότην, ἐς τὸ ἀναβῆναι αὐτὸν παρέστηκεν. Ἐὰν δέ τις γῆμαι βούληται παρθένον μονομαχεῖ τῇ παιδί. Καὶ κρατήσασα μὲν, αἰχμάλωτον ἄγεται, καὶ κρατεῖ αὐτοῦ, καὶ ἄρχει, ἐὰν δὲ νικηθῇ, ἄρχεται. Μονομαχοῦσι δὲ ἄχρι νίκης, οὐ μέχρι θανάτου. Πενθοῦντες δὲ οἱ Σάκαι, εἰς οἴκους τινὰς ὑπάντρους και κατασκίους ἀποκρύπτονται.

## ΚΕΦ. λθ'

Περὶ Περδίκκου εὐτολμίας καὶ λεαίνης.

Περδίκκας ὁ Μακεδὼν, ὁ συστρατευσάμενος Ἀλεξάνδρῳ, οὕτως ἄρα ἦν εὔτολμος, ὥς ποτε εἰς σπήλαιον παρελθεῖν, ἔνθα εἶχεν εὐνὴν λέαινα, μόνος· καὶ τὴν μὲν λέαιναν οὐ κατ-

ἔλαβε, τούς γε μὴν σκύμνους αὐτῆς κομίζων προῆλθε, καὶ ἔδοξεν ἐπὶ τοῦτο θαυμάζεσθαι ὁ Περδίκκας. Πεπίστευται δὲ οὐ μόνον παρὰ τοῖς Ἕλλησιν ἀλκιμώτατόν τε καὶ δυσμαχώτατον εἶναι θηρίον ἡ λέαινα, ἀλλὰ καὶ παρὰ τοῖς βαρβάροις. Φασὶ γοῦν καὶ Σεμίραμιν τὴν Ἀσσυρίαν, οὐκ, εἴ ποτε εἷλε λέοντα, ἢ πάρδαλιν κατέκτανεν, ἢ ἄλλο τι τῶν τοιούτων, ἀλλ' εἰ λεαίνης ἐγκρατὴς ἐγένετο, μέγα ἐφρόνει.

## ΚΕΦ. μ'.

### Περὶ τῶν τῷ Ξέρξῃ ἑπομένων ἐφοδίων.

Τά τε ἄλλα ἐφόδια εἵπετο τῷ Ξέρξῃ πολυτελείας καὶ ἀλαζονείας πεπληρωμένα, καὶ οὖν καὶ ὕδωρ ἠκολούθει τὸ ἐκ τοῦ Χοάσπου. Ἐπεὶ δὲ ἔν τινι ἐρήμῳ τόπῳ ἐδίψησεν, οὐδέπω τῆς θεραπείας ἡκούσης, ἐκηρύχθη τῷ στρατοπέδῳ, εἴ τις ἔχει ὕδωρ ἐκ τοῦ Χοάσπου, ἵνα δῷ βασιλεῖ πιεῖν. Καὶ εὑρέθη τις βραχὺ καὶ σεσηπὸς ἔχων. Ἔπιεν οὖν τοῦτο ὁ Ξέρξης, καὶ εὐεργέτην τὸν δόντα ἐνόμισεν, ὅτι ἂν ἀπώλετο τῇ δίψῃ, εἰ μὴ ἐκεῖνος εὑρέθη.

## ΚΕΦ. μα'.

### Περὶ Πρωτογένους τοῦ ζωγράφου.

Πρωτογένης ὁ ζωγράφος τὸν Ἰάλυσόν, φασιν, ἑπτὰ ἔτεσι διαζωγραφῶν ἐξετέλεσεν· ὃν Ἀπελλῆς ἰδὼν, τὸ μὲν πρῶτον ἔστη ἄφωνος, ἐκπλαγεὶς ἐπὶ τῇ παραδόξῳ θέᾳ, εἶτα ἐπιδὼν ἔφη, Καὶ ὁ πόνος μέγας, καὶ ὁ τεχνίτης· ἀπολείπεταί γε μὴν τῆς χειρουργίας ἡ χάρις, ἧς ὁ ἀνὴρ εἰ τύχοι, ὁ πόνος αὐτοῦ τοῦ οὐρανοῦ ψαύσει.

## ΚΕΦ. μϐ'.

### Περί τινων ἀνθρώπων ὑπὸ θηρίων τραφέντων.

Κῦρον τὸν Μανδάνης ἔθρεψέ, φασι, κύων. Τήλεφον δὲ, τὸν Αὔγης καὶ Ἡρακλέους, ἔλαφος. Πελίαν δὲ, τὸν Ποσειδῶνος καὶ Τυροῦς, ἵππος· ἀλλὰ καὶ τὸν Ἀλόπης. Ἀλέ-

ξανδρον τὸν Πριάμου ὑπὸ ἄρκτου φασὶ τραφῆναι· Αἴγισθον δὲ, τὸν Θυέστου καὶ Πελοπίας, ὑπὸ αἰγός.

## ΚΕΦ. μγʹ.

Τίνες ἐξ ἀσήμων περιφανεῖς γεγόνασι.

Δαρεῖον ἀκούω τὸν Ὑστάσπου φαρετροφόρον Κύρου γενέσθαι. Ὁ δὲ τελευταῖος Δαρεῖος, ὁ ὑπὸ Ἀλεξάνδρου νικηθεὶς, δοῦλος ἦν. Ἀρχέλαος δὲ, ὁ Μακεδόνων βασιλεὺς, δούλης υἱὸς ἦν τῆς Σιμίχης. Μενέλαος, ὁ Φιλίππου πάππος, εἰς τοὺς νόθους ἐτέλει. Ὁ δὲ τούτου υἱὸς, Ἀμύντας, ὑπηρέτης Ἀερόπου καὶ δοῦλος ἐπεπίστευτο. Περσεὺς δὲ, ὃν καθεῖλε Παῦλος ὁ Ῥωμαῖος, Ἀργεῖος μὲν γένος ἦν, ἀδόξου δέ τινος υἱός. Εὐμένης δὲ πατρὸς ἀπόρου καὶ τυμβαύλου πεπίστευται γενέσθαι. Ἀντίγονος ὁ Φιλίππου, ὁ καὶ ἑτερόφθαλμος, καὶ ἐκ τούτου Κύκλωψ προσαγορευθεὶς, αὐτουργὸς ἦν. Πολυσπέρχων δὲ ἐλήστευε. Θεμιστοκλῆς δὲ, ὁ τοὺς βαρβάρους καταναυμαχήσας, καὶ μόνος συνιεὶς τὰς τῶν Θεῶν ἐν τοῖς χρισμοῖς φωνὰς, Θρᾴττης υἱὸς ἦν, καὶ ἐκαλεῖτο ἡ μήτηρ αὐτοῦ Ἀβρότονον. Φωκίων δὲ, ὁ Χρηστὸς ἐπικληθεὶς, πατρὸς μὲν δοίδυκας ἐργαζομένου ἦν. Δημήτριον δὲ τὸν Φαληρέα οἰκότριβα γενέσθαι λέγουσιν ἐκ τῆς οἰκίας Τιμοθέου, καὶ Κόνωνος. Ὑπερβόλου δὲ, καὶ Κλεοφῶντος, καὶ Δημάδου, καίτοι προστατῶν γενομένων τοῦ δήμου τῶν Ἀθηναίων, οὐδεὶς ἂν εἴποι ῥᾳδίως τοὺς πατέρας. Καλλικρατίδας γε μὴν, καὶ Γύλιππος, καὶ Λύσανδρος, ἐν Λακεδαίμονι Μόθακες ἐκαλοῦντο. Ὄνομα δὲ ἦν ἄρα τοῦτο τοῖς τῶν εὐπόρων δούλοις, οὓς συνεξέπεμπον τοῖς υἱοῖς οἱ πατέρες συναγωνιουμένους ἐν τοῖς γυμνασίοις. Ὁ δὲ συγχωρήσας τοῦτο Λυκοῦργος, τοῖς ἐμμείνασι τῇ τῶν παίδων ἀγωγῇ πολυτείας λακωνικῆς μεταλαγχάνει. Καὶ Ἐπαμινώνδας δὲ πατρὸς ἦν ἀφανοῦς. Κλέων δὲ, ὁ Σικυωνίων τύραννος, καταποντιστὴς ἦν.

ΚΕΦ. μδʹ.

Περὶ τῶν ἐν λιθοτομίαις τῆς Σικελίας πολὺν χρόνον διατριψάντων,

Αἱ ἐν Σικελίᾳ λιθοτομίαι περὶ τὰς Ἐπιπολὰς ἦσαν, σταδίου μῆκος, τὸ εὖρος δύο πλέθρων. Ἦσαν δὲ ἐν αὐταῖς τοῦ χρόνου τοσοῦτον διατρίψαντες ἄνθρωποι, ὡς καὶ γεγαμηκέναι ἐκεῖ, καὶ παιδοποιῆσαι. Καί τινες τῶν παίδων ἐκείνων, μηδεπώποτε πόλιν ἰδόντες, ὅτε εἰς Συρακούσας ἦλθον, καὶ εἶδον ἵππους ὑπεζευγμένους, καὶ βόας ἐλαυνομένους, ἔφευγον βοῶντες· οὕτως ἄρα ἐξεπλάγησαν. Τὸ δὲ κάλλιστον τῶν ἐκεῖ σπηλαίων ἐπώνυμον ἦν Φιλοξένου τοῦ ποιητοῦ, ἐν ᾧ, φασι, διατρίβων τὸν Κύκλωπα εἰργάσατο τῶν ἑαυτοῦ μελῶν τὸ κάλλιστον, παρ' οὐδὲν θέμενος τὴν ἐκ Διονυσίου τιμωρίαν, καὶ καταδίκην, ἀλλ' ἐν αὐτῇ τῇ συμφορᾷ μουσουργῶν ὁ Φιλόξενος.

ΚΕΦ. μέ.

Περὶ Μίδου, Πλάτωνος, καὶ Πινδάρου, νηπίων.

Φρύγιοι καὶ ταῦτα ᾄδουσι λόγοι. Μίδου τοῦ Φρυγὸς, ἔτι νηπίου, καθεύδοντος, μύρμηκας εἰσέρπειν εἰς τὸ στόμα, καὶ πάνυ φιλοπόνως καὶ φιλέργως εἰσφέρειν τοὺς πυρούς. Πλάτωνος δὲ μελίττας εἰς τὸ στόμα κηρίον ἐργάζεσθαι. Καὶ Πινδάρῳ, τῆς πατρῴας οἰκίας ἐκτεθέντι, μέλιτται τροφοὶ ἐγένοντο, ὑπὲρ τοῦ γάλακτος παρατιθεῖσαι μέλι.

ΚΕΦ. μϛʹ.

Περὶ σημείου μοναρχίαν τῷ Διονυσίῳ δηλώσαντος.

Διονύσιον δὲ τὸν Ἑρμοκράτους λέγουσι ποταμὸν διαβαίνειν· ἔφερε δὲ αὐτὸν ἵππος. Καὶ ὁ μὲν ἵππος κατὰ τοῦ τέλματος ὠλίσθανεν· ὁ δὲ ἀποπηδήσας, τῆς ὄχθης ἐλάβετο, καὶ ἀπῄει, ὡς οὐκ ἔτι τὸν ἵππον ὄντα αὐτοῦ ἀπολιπών. Ὁ δὲ ἠκολούθησε, καὶ χρεμετίσας ὑπέστρεψεν αὐτόν. Καὶ ἐκεῖ-

νος ἐλάβετο αὐτοῦ τῆς χαίτης, καὶ ἔμελλεν ἀναβαίνειν· καὶ τῇ χειρὶ αὐτοῦ περιπίπτει μελιττῶν πλῆθος. Ἔφασαν οὖν οἱ Γαλεῶται πρὸς τὸν Διονύσιον, ἐρόμενον ὑπὲρ τούτων, ὅτι ταῦτα μοναρχίαν δηλοῖ.

## ΚΕΦ. μζ'.

### Περὶ Ἀριστομάχης, Δίωνος γυναικός.

Διονύσιος ἐλαύνει τῆς Σικελίας Δίωνα, τὴν δὲ γυναῖκα αὐτοῦ Ἀρήτην, καὶ τὸν ἐξ αὐτοῦ παῖδα ἐφύλαττεν. Ὕστερον δὲ τὴν γυναῖκα ἄκουσαν δορυφόρῳ αὐτοῦ πάντων μάλιστα θεραπευτῇ, Πολυκράτει, γυναῖκα δίδωσι· Συρακούσιος δὲ τὸ γένος ἦν. Δίων δὲ παραλαβὼν Συρακούσας, ἀποδράντος εἰς Λοκροὺς Διονυσίου, ἐνταῦθα ἡ μὲν Ἀριστομάχη, ἡ τοῦ Δίωνος ἀδελφὴ, προσεῖπεν αὐτόν. Ἡ δὲ Ἀρήτη εἵπετο δι' αἰδοῦς ἐγκαλυπτομένη, καὶ οὐ τολμῶσα προσειπεῖν ὡς ἄνδρα, ἐπεὶ βιασθεῖσα τὸν θεσμὸν τῆς πρὸς αὐτὸν εὐνῆς οὐ διεφύλαξεν. Ἐπεὶ δὲ ὑπὲρ αὐτῆς ἀπελογήσατο ἡ Ἀριστομάχη, τὴν ἐκ τοῦ Διονυσίου ἀνάγκην καταλέξασα, ὁ Δίων προσηγάγετο τὴν γυναῖκα, καὶ τὸν παῖδα, καὶ εἰς τὴν οἰκίαν ἔπεμψεν.

## ΚΕΦ. μή.

### Περὶ τῶν Ὁμήρου ποιημάτων.

Ὅτι Ἰνδοὶ τῇ παρὰ σφίσιν ἐπιχωρίῳ φωνῇ τὰ Ὁμήρου μεταγράψαντες ᾄδουσιν οὐ μόνοι, ἀλλὰ καὶ οἱ Περσῶν Βασιλεῖς· εἴ τι χρὴ πιστεύειν τοῖς ὑπὲρ τούτων ἱστοροῦσι.

## ΚΕΦ. μθ'.

### Ὅτι ἀμνησίκακος ὁ Φωκίων.

Φωκίων ὁ τοῦ Φώκου, πολλάκις στρατηγήσας, κατεγνώσθη θανάτῳ, καὶ ἦν ἐν τῷ δεσμωτηρίῳ, καὶ ἔμελλε πιεῖσθαι τὸ κώνειον. Ἐπεὶ δὲ ὤρεξεν ὁ δήμιος τὴν κύλικα, οἱ προσήκοντες ἤροντο, εἴ τι λέγοι πρὸς τὸν υἱόν. Ὁ δὲ, Ἐπισκήπτω αὐτῷ

μηδὲν Ἀθηναίοις μνησικακεῖν ὑπὲρ τῆς παρ' αὐτῶν φιλοτησίας, ἧς νῦν πίνω. Ὅστις δὲ οὐκ ἐπαινεῖ καὶ ὑπερθαυμάζει τὸν ἄνδρα, δοκεῖ μοι μέγα ὁ τοιοῦτος ἐννοεῖν οὐδέν.

## ΚΕΦ. ν'.

### Περὶ Λακεδαιμονίων μὴ ἐσπουδασμένως περὶ παιδείας ἐχόντων.

Λακεδαιμόνιοι μουσικῆς ἀπείρως εἶχον· ἔμελλε γὰρ αὐτοῖς γυμνασίων, καὶ ὅπλων. Εἰ δέ ποτε ἐδεήθησαν τῆς ἐκ Μουσῶν ἐπικουρίας, ἢ νοσήσαντες, ἢ παραφρονήσαντες, ἢ ἄλλο τι τοιοῦτον δημοσίᾳ παθόντες, μετεπέμποντο ξένους ἄνδρας, οἷον ἰατροὺς, ἢ [καθαρτάς], κατὰ πυθόχρηστον. Μετεπέμψαντό γε μὴν Τέρπανδρον, καὶ Θάλητα, καὶ Τυρταῖον, καὶ τὸν Κυδωνιάτην Νυμφαῖον, καὶ Ἀλκμᾶνα (Λυδὸς γὰρ ἦν). Καὶ Θουκυδίδης δὲ ὁμολογεῖ, ὅτι μὴ ἐσπουδασμένως περὶ παιδείας εἶχον, ἐν οἷς λέγει περὶ Βρασίδου. Λέγει γοῦν, ὅτι ἦν ἀδύνατος εἰπεῖν, ὡς Λακεδαιμόνιος, οἷον, ὡς ἂν ἰδιώτης.

## ΚΕΦ. να'.

### Περὶ τοῦ τύφου Μενεκράτους, καὶ πῶς ὁ Φίλιππος ἐγέλασεν αὐτόν.

Μενεκράτης ὁ ἰατρὸς εἰς τοσοῦτον προῆλθε τύφου, ὥστε ἑαυτὸν ὀνομάζειν Δία. Ἀπέστειλε δέ ποτε ἐπιστολὴν Φιλίππῳ τῷ Μακεδόνων βασιλεῖ τοιαύτην, Φιλίππῳ Μενεκράτης ὁ Ζεὺς εὖ πράττειν. Ἀντέγραψε δὲ καὶ ὁ Φίλιππος, Φίλιππος Μενεκράτει ὑγιαίνειν. Συμβουλεύω σοι προσάγειν σεαυτὸν ἐπὶ τοῖς κατὰ Ἀντίκυραν τόποις. Ἠνίττετο δὲ ἄρα διὰ τούτων, ὅτι παραφρονεῖ ὁ ἀνήρ. Εἱστία ποτὲ μεγαλοπρεπῶς ὁ Φίλιππος, καὶ δὴ καὶ τοῦτον ἐπὶ θοίνην ἐκάλεσε, καὶ ἰδίᾳ κλίνην αὐτῷ ἐκέλευσε παρεσκευάσθαι, καὶ κατακλιθέντι θυμιατήριον παρέθηκε, καὶ ἐθυμιᾶτο αὐτῷ· οἱ δὲ λοιποὶ εἱστιῶντο, καὶ ἦν μεγαλοπρεπὲς τὸ δεῖπνον. Ὁ τοίνυν Μενεκράτης τὰ μὲν πρῶτα ἐνεκαρτέρει, καὶ ἔχαιρε τῇ

τιμῇ· ἐπεὶ δὲ κατὰ μικρὸν ὁ λιμὸς περιῆλθεν αὐτὸν, καὶ ἠλέγχετο, ὅτι ἦν ἄνθρωπος, καὶ ταῦτα εὐήθης, ἐξαναστὰς ἀπιὼν ᾤχετο, καὶ ἔλεγεν ὑβρίσθαι, ἐμμελῶς πάνυ τοῦ Φιλίππου τὴν ἄγοιαν αὐτοῦ ἐκκαλύψαντος.

## ΚΕΦ. νϐ'.

### Τίσι τὰς Ἀθήνας εἴκασεν ὁ Ἰσοκράτης.

Ἰσοκράτης ὁ ῥήτωρ ἔλεγεν ὑπὲρ τῆς Ἀθηναίων πόλεως, ὁμοίαν εἶναι ταῖς ἑταίραις. Καὶ γὰρ ἐκείναις, τοὺς ἁλισκομένους ὑπὸ τῆς ὥρας αὐτῶν βούλεσθαι συνεῖναι αὐταῖς· ὅμως δὲ μηδένα εὐτελῶς οὕτως αὑτοῦ πέρι φρονεῖν, ὡς ὑπομεῖναι ἂν συνοικῆσαί τινι αὐτῶν. Καὶ οὖν καὶ τὴν Ἀθηναίων πόλιν ἐνεπιδημῆσαι μὲν εἶναι ἡδίστην, καὶ κατά γε τοῦτο πασῶν τῶν κατὰ τὴν Ἑλλάδα διαφέρειν· ἐνοικῆσαι δὲ ἀσφαλῆ μηκέτι εἶναι. Ἠνίττετο δὲ διὰ τούτων τοὺς ἐπιχωριάζοντας αὐτῇ συκοφάντας, καὶ τὰς ἐκ τῶν δημαγωγούντων ἐπιϐουλάς.

## ΚΕΦ. νγ'.

### Περὶ τῶν μεγίστων πολέμων προφάσεων.

Ἐμὲ δὲ οὐ λέληθεν, ὅτι τῶν μεγίστων πολέμων αἱ ἀρχαὶ δοκοῦσί πως εὐκαταφρόνητοι γεγονέναι. Τὸν μὲν γὰρ Περσικὸν ἐκ τῆς Μαιανδρίου τοῦ Σαμίου πρὸς Ἀθηναίους διαφορᾶς τὴν ἀρχὴν λαϐεῖν φασι. Τόν γε μὴν Πελοποννήσιον διὰ τὸ Μεγαρέων πινάκιον. Τὸν δὲ Ἱερὸν καλούμενον ἐκ τῆς εἰσπράξεως τῶν δικῶν τῶν Ἀμφικτυόνων. Τὸν δὲ κατὰ Χαιρώνειαν, φιλονεικησάντων Ἀθηναίων πρὸς Φίλιππον, καὶ λαϐεῖν οὐ θελησάντων.

## ΚΕΦ. νδ'.

### Πῶς ὁ Ἀριστοτέλης Ἀλέξανδρον ὀργιζόμενον πρᾳῦναι ἐπείρασεν.

Ἀλέξανδρον Ἀριστοτέλης ὀργιζόμενον πρᾳῦναι βουλόμενος,

καὶ παῦσαι χαλεπαίνοντα πολλοῖς, ταυτὶ πρὸς αὐτὸν γέγραφεν, Ὁ θυμὸς καὶ ἡ ὀργὴ οὐ πρὸς ἥσσους, ἀλλὰ πρὸς τοὺς κρείττονας γίνεται· σοὶ δὲ οὐδεὶς ἴσος.

Ἀριστοτέλης τὰ δέοντα συμβουλεύων Ἀλεξάνδρῳ, πολλοῖς ὠφέλιμος γέγονεν, ἐξ ὧν καὶ τὴν πατρίδα κατῴκισε κατεσκαμμένην ὑπὸ Φιλίππου.

## ΚΕΦ. νέ.

### Περὶ τῶν παρὰ Λίβυσιν ὑπὸ τῶν ἐλεφάντων, ἢ ἐν ταῖς θήραις, ἢ ἐν ταῖς μάχαις, ἀποθανόντων.

Τοὺς ὑπὸ τῶν ἐλεφάντων, ἢ ἐν ταῖς θήραις, ἢ ἐν ταῖς μάχαις, ἀποθανόντας οἱ Λίβυες θάττουσι διαπρεπῶς, καὶ ὕμνους τινὰς ᾄδουσιν. Ἔστι δὲ τοῖς ὕμνοις ἡ ὑποθήκη ἐκείνη· ἀγαθοὺς ἄνδρας λέγει εἶναι τοὺς ἀντιπάλους γενομένους θηρίῳ τοσούτῳ. Λέγουσι γὰρ καὶ τὸ ἐνδόξως ἀποθανεῖν ἐντάφιον εἶναι τῷ θαπτομένῳ.

## ΚΕΦ. νϛʹ.

### Τί ἔλεγεν ὁ Διογένης περὶ Μεγαρέων.

Διογένης ὁ Σινωπεὺς ἔλεγε πολλὰ, τὴν ἀμαθίαν, καὶ τὴν ἀπαιδευσίαν τῶν Μεγαρέων διαβάλλων, καὶ ὅτι ἐβούλετο Μεγαρέως ἀνδρὸς κριὸς εἶναι μᾶλλον, ἢ υἱός. Ἠνίττετο δὲ, ὅτι τῶν θρεμμάτων ποιοῦνται πρόνοιαν οἱ Μεγαρεῖς, τῶν παίδων δὲ οὐχί.

## ΚΕΦ. νζʹ.

### Περὶ τεράτων τοῖς Θηβαίοις προφαινομένων, Ἀλεξάνδρου ἐπ' αὐτοὺς τὴν δύναμιν ἄγοντος.

Ἡνίκα Ἀλέξανδρος ὁ Φιλίππου ἐπὶ τὰς Θήβας ἦγε τὴν δύναμιν, οἱ μὲν Θεοὶ σημεῖα αὐτοῖς, καὶ τέρατα ἀπέστελλον, προσημαίνοντες τὰς περὶ αὐτῶν ὅσον οὐδέπω τύχας· οἱ δὲ ὡς ᾤοντο ἐν Ἰλλυριοῖς Ἀλέξανδρον τεθνᾶναι, πολλὰ καὶ βλάσφημα εἰς αὐτὸν ἀπεῤῥίπτουν. Ἡ μὲν γὰρ ἐν Ὀγχηστῷ λίμνη φοβερὸν

φοβερὸν ἦχον ἀνέδωκε, καὶ ταύρου μυκήματι ἐῴκει. Ἡ δὲ περὶ τὸν Ἰσμηνὸν, καὶ αὐτὰ τὰ τείχη, ῥέουσα κρήνη, καλουμένη Δίρκη, καθαρῷ καὶ ἡδεῖ ῥέουσα ὕδατι παρὰ πάντα τὸν πρόσθεν χρόνον, ἄφνω καὶ παρ' ἐλπίδα αἵματος ἀνεπλήσθη. Μακεδόσι δὲ ἐπίστευον Θηβαῖοι ἀπειλεῖν τὸ δαιμόνιον. Ἐν δὲ τῷ κατὰ πόλιν ναῷ τῆς Δήμητρος ἀράχνη κατὰ τοῦ προσώπου τοῦ ἀγάλματος ἐξύφαινε τὴν ἑαυτῆς τέχνην, καὶ τὸν ἱστὸν ὃν εἴωθεν ἐργάζεσθαι. Τὸ δὲ τῆς Ἀθηνᾶς, τῆς καλουμένης Ἀλαλκομενηΐδος, ἄγαλμα αὐτομάτως κατεφλέχθη, πυρὸς μὴ προσαχθέντος, καὶ ἄλλα πολλά.

## ΚΕΦ. νή.

### Περὶ Διωξίππου.

Διώξιππος Ὀλυμπιονίκης ἀθλητὴς, ὁ Ἀθηναῖος, εἰσήλαυνεν εἰς τὰς Ἀθήνας κατὰ τὸν νόμον τῶν ἀθλητῶν. Συνέῤῥει τοίνυν τὰ πλήθη, καὶ ἄλλος ἀλλαχόθεν ἐκκρεμαννύμενος ἐθεῶντο αὐτόν· ἐν δὲ τοῖς καὶ γυνὴ κάλλει διαπρέπουσα ἀπήντησε τῇ θέᾳ. Ἰδὼν δὲ αὐτὴν ὁ Διώξιππος, παραχρῆμα ἡττήθη τοῦ κάλλους, καὶ διετέλεσεν ἀποβλέπων τὴν ἄνθρωπον, καὶ ἐπιστρεφόμενος, καὶ εἰς πολλὰς τὸ πρόσωπον ἀλλάττων χροιάς. Ἐκ δὴ τούτων πολλοῖς ἐγένετο κατάφωρος μὴ ἀργῶς ἰδὼν τὴν ἄνθρωπον. Μάλιστα δὲ αὐτοῦ τὸ πάθος κατέγνω * χρυσοῦν κάτοπτρον Κορινθιουργὲς ἐπιπράσκετο * Διογένης ὁ Σινωπεὺς, καὶ πρὸς τοὺς πλησίον, Ὁρᾶτε, εἶπε, τὸν ἀθλητὴν ὑμῶν τὸν μέγαν ὑπὸ παιδίσκης ἐκτραχηλιζόμενον.

## ΚΕΦ. νθ΄.

### Περὶ ἀληθείας, καὶ εὐεργεσίας.

Πυθαγόρας ἔλεγε δύο ταῦτα ἐκ τῶν θεῶν τοῖς ἀνθρώποις δεδόσθαι κάλλιστα, τό τε ἀληθεύειν, καὶ τὸ εὐεργετεῖν· καὶ προσετίθει, ὅτι καὶ ἔοικε τοῖς θεῶν ἔργοις ἑκάτερον.

## ΚΕΦ. ξ'.

### Περὶ Διονυσίου, καὶ Φιλίππου.

Συνουσία ποτὲ ἐγένετο Διονυσίῳ τῷ δευτέρῳ, καὶ Φιλίππῳ τῷ Ἀμύντου. Πολλοὶ μὲν οὖν, ὡς εἰκὸς, καὶ ἄλλοι λόγοι ἐπέῤῥευσαν, ἐν δὲ τοῖς καὶ ἐκεῖνο ἤρετο ὁ Φίλιππος τὸν Διονύσιον, πῶς τοσαύτην παρὰ τοῦ πατρὸς λαβὼν ἀρχὴν, εἶτα οὐ διεσώσατο αὐτήν; Ὁ δὲ ἀπεκρίνατο οὐκ ἔξω μέλους, Ὅτι τὰ μὲν ἄλλα μοι κατέλιπεν ὁ πατὴρ, τὴν δὲ τύχην, ᾗ ταῦτα ἐκτήσατο καὶ διεφύλαξεν, οὐκ ἔτι.

## ΚΕΦ. ξά.

### Περὶ Βοῤῥᾶ ἀνέμου τιμῆς.

Θουρίοις ἐπέπλει Διονύσιος, καὶ τριακοσίας ἦγεν ἐπ᾽ αὐτοὺς ναῦς ὁπλιτῶν πεπληρωμένας. Βοῤῥᾶς δὲ ἀντιπνεύσας τὰ σκάφη συνέτριψε, καὶ τὴν δύναμιν αὐτοῦ τὴν ναυτικὴν ἠφάνισεν. Ἐκ δὴ τούτων οἱ Θούριοι τῷ Βοῤῥᾷ ἔθυσαν, καὶ ἐψηφίσαντο εἶναι τὸν ἄνεμον πολίτην, καὶ οἰκίαν αὐτῷ καὶ κλῆρον ἀπεπλήρωσαν, καὶ καθ᾽ ἕκαστον ἔτος ἐπετέλουν αὐτῷ. Οὔκουν Ἀθηναῖοι μόνοι κηδεστὴν αὐτὸν ἐνόμιζον, ἀλλὰ καὶ Θούριοι εὐεργέτην αὐτὸν ἐπέγραψαν. Παυσανίας δέ φησιν, ὅτι καὶ Μεγαλοπολῖται.

## ΚΕΦ. ξϐ'.

### Νόμος Περσικὸς περὶ τῶν συμϐουλευόντων τῷ βασιλεῖ.

Νόμος καὶ οὗτος Περσικός. Ἐάν τις μέλλῃ τι τῶν ἀποῤῥητοτέρων, καὶ τῶν ἀμφιλόγων, συμϐουλεύειν βασιλεῖ, ἐπὶ πλίνθου χρυσῆς ἕστηκε. Καὶ ἐὰν δόξῃ παραινεῖν τὰ δέοντα, τὴν πλίνθον λαϐὼν ὑπὲρ τῆς συμϐουλῆς μισθὸν, ἀπέρχεται· μαστιγοῦται δὲ ὅμως, ὅτι ἀντεῖπε βασιλεῖ. Ἀνδρὶ ἐλευθέρῳ, κατά γε τὴν ἐμὴν κρίσιν, οὐκ ἀνταξίαν ἀντικρίνειν δεῖ ὑπὲρ τοῦ μισθοῦ τὴν ὕϐριν.

## ΚΕΦ. ξγ'.

### Περὶ Ἀρχεδίκης ἑταίρας.

Ἀρχεδίκης τις ἠράσθη τῆς ἐν Ναυκράτει ἑταίρας. Ἡ δὲ ἦν ὑπερήφανος, καὶ δεινῶς φορτικὴ, καὶ ἁδροὺς ᾔτει μισθοὺς, καὶ λαβοῦσα πρὸς ὀλίγον ἂν ὡμίλησε τῷ δόντι, εἶτα ἀπέκλινεν. Ἐρασθεὶς οὖν ὁ νεανίσκος αὐτῆς, καὶ τυχεῖν μὴ δυνάμενος, ἐπεὶ μὴ πάνυ ἦν πλούσιος, ὄναρ αὐτῇ συνεγένετο, καὶ παραχρῆμα ἐπαύσατο τῆς ἐπιθυμίας.

## ΚΕΦ. ξδ'.

### Περὶ Ἀλεξάνδρου νεκροῦ.

Ὁ μὲν Φιλίππου καὶ Ὀλυμπιάδος Ἀλέξανδρος ἐν Βαβυλῶνι τὸν βίον καταστρέψας, νεκρὸς ἔκειτο, ὁ τοῦ Διὸς εἶναι λέγων. Καὶ στασιαζόντων περὶ τῆς βασιλείας τῶν περὶ αὐτὸν, ταφῆς ἄμοιρος ἦν, ἧς μεταλαγχάνουσι καὶ οἱ σφόδρα πένητες, τῆς φύσεως τῆς κοινῆς ἀπαιτούσης τὸν μηκέτι ζῶντα κατακρύψαι. Ἀλλ' οὗτός γε τριάκοντα ἡμέρας κατελέλειπτο ἀκηδὴς, ἕως Ἀρίστανδρος ὁ Τελμισσεὺς, θεόληπτος γενόμενος, ἢ ἔκ τινος ἄλλης συντυχίας κατασχεθεὶς, ἦλθεν εἰς μέσους τοὺς Μακεδόνας, καὶ πρὸς αὐτοὺς ἔφη, πάντων τῶν ἐξ αἰῶνος βασιλέων εὐδαιμονέστατον Ἀλέξανδρον γεγονέναι, καὶ ζῶντα, καὶ ἀποθανόντα· λέγειν ἄρα τοὺς θεοὺς πρὸς αὐτὸν, ὅτι ἄρα ἡ ὑποδεξαμένη γῆ τὸ σῶμα, ἐν ᾧ τὸ πρότερον ᾤκησεν ἡ ἐκείνου ψυχὴ, πανευδαίμων τε ἔσται, καὶ ἀπόρθητος δι' αἰῶνος. Ταῦτα μαθόντες πολλὴν εἰσεφέροντο φιλονεικίαν, ἕκαστος εἰς τὴν ἰδίαν αὐτοῦ βασιλείαν τὸ ἀγώγιμον τοῦτο ἄγειν ἐπιθυμῶν, ἵνα κειμήλιον ἔχῃ βασιλείας ἀσφαλοῦς καὶ ἀκλινοῦς ὅμηρον. Πτολεμαῖος δὲ, εἴ τι χρὴ πιστεύειν, τὸ σῶμα ἐξέκλεψε, καὶ μετὰ σπουδῆς εἰς τὴν Ἀλεξάνδρου πόλιν, τὴν κατ' Αἴγυπτον, ἐκόμισε. Καὶ οἱ μὲν ἄλλοι Μακεδόνες τὴν ἡσυχίαν ἦγον, Περδίκκας δὲ αὐτὸν διώκειν ἐπεχείρησεν. Οὐ τοσοῦτον δὲ ἔμελε τούτῳ τῆς εἰς Ἀλέξανδρον πολυωρίας, καὶ τῆς εἰς τὸν νεκρὸν

οσίας, ὅσον τὰ προλεχθέντα ὑπὸ τοῦ Ἀριστάνδρου ἀνέφλεγεν αὐτὸν καὶ ἐξῆπτεν. Ἐπεὶ δὲ κατέλαβε τὸν Πτολεμαῖον, ὑπὲρ τοῦ νεκροῦ μάχη καρτερὰ πάνυ σφόδρα ἐγένετο, ἀδελφὴ τρόπον τινα τῆς ὑπὲρ τοῦ εἰδώλου τοῦ ἐν Τροίᾳ, ὅπερ Ὅμηρος ᾄδει, λέγων ὑπὲρ Αἰνείου τὸν Ἀπόλλωνα εἰς μέσους ἐμβαλεῖν τοὺς ἥρωας. Ἀνέστειλε δὲ τὴν ὁρμὴν τοῦ Περδίκκα ὁ Πτολεμαῖος. Εἴδωλον γὰρ ποιησάμενος ὅμοιον Ἀλεξάνδρῳ, κατεκόσμησεν ἐσθῆτι βασιλικῇ, καὶ ἐνταφίοις ἀξιοζήλοις. Εἶτα τοῦτο ἀναπαύσας ἐπὶ μίαν τῶν Περσικῶν ἁμαξῶν, τὸ ἐπ' αὐτῆς κατεσκεύασε φέρετρον μεγαλοπρεπῶς ἀργύρῳ, καὶ χρυσῷ, καὶ ἐλέφαντι· καὶ τὸ μὲν ὄντως Ἀλεξάνδρου σῶμα λιτῶς, καὶ ὡς ἔτυχε, προὔπεμψε κρυπταῖς ὁδοῖς καὶ ἀτρίπτοις. Ὁ δὲ Περδίκκας καταλαβὼν τὸ τοῦ νεκροῦ φάσμα, καὶ τὴν διασκευασθεῖσαν ἁρμάμαξαν, ἀνεστάλη τοῦ δρόμου, οἰόμενος ἔχειν τὸ ἆθλον· ὀψὲ δὲ ἔμαθεν ἀπατηθεὶς, ἡνίκα διώκειν οὐκ εἶχε.

# ΑΙΛΙΑΝΟΥ

## ΠΟΙΚΙΛΗΣ ΙΣΤΟΡΙΑΣ

### ΒΙΒΛΙΟΝ ΤΡΙΣΚΑΙΔΕΚΑΤΟΝ.

#### ΚΕΦ. α΄.

Περὶ Ἀταλάντης.

Λόγος οὗτος Ἀρκαδικὸς ὑπὲρ τῆς Ἰασίωνος Ἀταλάντης. Ταύτην ὁ πατὴρ γενομένην ἐξέθηκεν· ἔλεγε γὰρ οὐ θυγατέρων, ἀλλ' ἀῤῥένων δεῖσθαι. Ὁ δὲ ἐκθεῖναι λαβὼν, οὐκ ἀπέκτεινεν, ἐλθὼν δὲ ἐπὶ τὸ Παρθένιον ὄρος, ἔθηκε πηγῆς πλησίον· καὶ ἦν ἐνταῦθα ὕπαντρος πέτρα, καὶ ἐπέκειτο συνηρεφὴς δρυμών. Καὶ τοῦ μὲν βρέφους κατεψήφιστο θάνατος· οὐ μὴν ὑπὸ τῆς τύχης προυδόθη. Ὀλίγῳ γὰρ ὕστερον, ὑπὸ κυνηγετῶν ἀφῃρημένη τὰ ἑαυτῆς βρέφη, ἄρκτος ἧκε, σφριγώντων αὐτῇ τῶν μαζῶν, καὶ βαρυνομένων ὑπὸ τοῦ γάλακτος. Εἶτα κατά τινα θείαν πομπὴν ἡσθεῖσα τῷ βρέφει, ἐθήλασεν αὐτό· καὶ ἅμα τὸ θηρίον ἐκουφίσθη τῆς ὀδύνης, καὶ ὤρεξε τροφὴν τῷ βρέφει. Καὶ οὖν καὶ αὖθις ἐπαντλοῦσα τοῦ γάλακτος, καὶ ἐποχετεύουσα, ἐπεὶ τῶν ἑαυτῆς μήτηρ οὐκ ἔμεινε, τῆς μηδὲν οἱ προσηκούσης τροφὸς ἐγένετο. Ταύτην οἱ κυνηγέται παρεφύλαττον, οἱ καὶ ἐξ ἀρχῆς ἐπιβουλεύσαντες τῷ θηρίῳ εἰς τὰ ἔκγονα αὐτῆς. Καὶ αὐτὰ ἕκαστα τῶν δρωμένων κατασκεψάμενοι, ἀπελθούσης κατὰ συνήθειαν κατά γε ἄγραν καὶ νομὴν τῆς ἄρκτου, τὴν Ἀταλάντην ὑφείλοντο, καλουμένην τοῦτο οὐδέπω· αὐτοὶ γὰρ ἔθεντο αὐτῇ τὸ ὄνομα. Καὶ ἐτρέφετο αὐτοῖς ἐν ὀρείῳ τῇ τροφῇ. Κατὰ μικρὸν δὲ αὐτῇ τὰ τοῦ σώματος μετὰ τῆς ἡλικίας ἀνέτρεχε· καὶ ἤρα παρθενίας, καὶ τὰς τῶν ἀνδρῶν ὁμιλίας ἔφευγε, ἐρημίαν ἐπόθει, καταλα-

βοῦσα τῶν ὀρῶν τῶν Ἀρκαδικῶν τὰ ὑψηλότατα, ἔνθα ἦν καὶ αὐλὼν κατάῤῥυτος, καὶ μεγάλαι δρῦς, ἔτι δὲ καὶ πεῦκαι, καὶ βαθεῖα ἡ ἐκ τούτων σκιά. Τί γὰρ ἡμᾶς λυπεῖ καὶ ἄντρον Ἀταλάντης ἀκοῦσαι, ὡς τὸ τῆς Καλυψοῦς, τὸ ἐν Ὁμήρῳ; Καὶ ἦν ἐν κοίλῃ τῇ φάραγγι σπήλαιον ἓν, καὶ βαθὺ πάνυ, κατὰ πρόσωπον δὲ βαθεῖ κρημνῷ ὠχύρωτο. Κιττοὶ δὲ αὐτὸ περιεῖρπον, καὶ ἐνεπλέκοντο οἱ κιττοὶ μαλακοῖς δένδροις, καὶ δι᾽ αὐτῶν ἀνεῖρπον. Κρόκοι τε ἦσαν περὶ τὸν τόπον, ἐν μαλακῇ φυόμενοι καὶ βαθείᾳ τῇ πόᾳ. Συνανέτελλε δὲ αὐτοῖς καὶ Ὑάκινθος, καὶ ἄλλη πολλὴ χροιὰ ἀνθέων, οὐ μόνον εἰς ἑορτὴν ὄψεως συντελεῖν δυναμένων, ἀλλὰ καὶ ὀσμαὶ ἐξ αὐτῶν τὸν ἀέρα τὸν κύκλῳ κατελάμβανον· καὶ παρῆν τῇ τε ἄλλῃ πανηγυρίζειν, καὶ κατὰ τὴν εὐωδίαν ἑστιᾶσθαι. Δάφναι τε ἦσαν πολλαὶ, φυτοῦ διὰ τέλους ἀκμάζοντος ἡδεῖαι προσιδεῖν κόμαι· καὶ ἄμπελοι δὲ πάνυ σφόδρα εὐθηνούντων βοτρύων, πρὸ τοῦ ἄντρου τεθηλυῖαι, τὸ φιλεργὸν τῆς Ἀταλάντης ἐπεδείκνυντο. Ὕδατά τε διατελῆ καὶ εἰσρέοντα, καὶ καθαρὰ ἰδεῖν, καὶ ψυχρὰ, ὅσον τε ἀψαμένῳ τεκμήρασθαι, καὶ καταγνῶναι πιόντι, χύδην καὶ ἀθφόνως ἐπέῤῥει· τὰ δὲ αὐτὰ ταῦτα καὶ εἰς ἀρδείαν τοῖς δένδροις τοῖς προειρημένοις ἦν ἐπιτήδεια, συνεχῶς ἐπιῤῥέοντα, καὶ εἰς τὸ ἔμβιον αὐτοῖς συμμαχόμενα. Ἦν οὖν τὸ χωρίον χαρίτων ἀνάμεστον, καὶ σεμνότατόν τε ἅμα καὶ σώφρονα παρθενῶνα ἐδείκνυεν. Ἦν δὲ ἄρα τῇ Ἀταλάντῃ ϛρωμνὴ μὲν αἱ δοραὶ τῶν τεθηραμένων, τροφὴ δὲ τὰ τούτων κρέα, ποτόν τε τὸ ὕδωρ. Στολὴν δὲ ἤσθητο ἀπράγμονα, καὶ τοιαύτην, οἵαν μὴ ἀποδεῖν τῆς Ἀρτέμιδος· ἔλεγε γὰρ ζηλοῦν αὐτὴν καὶ ἐν τούτῳ, καὶ ἐν τῷ παρθένον εἶναι διὰ τέλους ἐθέλειν. Ἐπεφύκει δὲ ὠκίστη τοὺς πόδας, καὶ οὐκ ἂν αὐτὴν διέφυγεν, οὔτε θηρίον, οὔτε ἐπιβουλεύων αὐτῇ ἄνθρωπος· φυγεῖν δ᾽ ἐθέλουσαν, ἀλλ᾽ ἐνταῦθα μὲν οὐκ ἄν τις αὐτὴν κατέλαβεν. Ἤρων δὲ αὐτῆς οὐχ ὅσοι μόνον αὐτὴν εἶδον, ἀλλ᾽ ἤδη καὶ ἐκ φήμης ἠρᾶτο. Φέρε δὲ, καὶ τὸ εἶδος αὐτῆς, εἴτι μὴ λυπεῖ, διαγράψωμεν· λυπεῖ δὲ οὐδὲν, ἐπεὶ καὶ ἐκ τούτων προσγένοιτ᾽ ἂν

λόγων τε ἐμπειρία, καὶ τέχνη. Μέγεθος μὲν γὰρ, ἔτι παῖς οὖσα, ὑπὲρ τὰς τελείας ἦν γυναῖκας, καλὴ δὲ ἦν, ὡς οὐκ ἄλλη τῶν ἐν Πελοποννήσῳ παρθένων τῶν τότε. Ἀῤῥενωπὸν δὲ καὶ γοργὸν ἔβλεπε, τοῦτο μὲν καὶ ἐκ τῆς θηρείου τροφῆς, ἐπεὶ καὶ θυμοειδὴς ἦν, ἤδη δὲ καὶ ἐκ τῶν ἐν τοῖς ὄρεσι γυμνασίων. Κορικόν τε καὶ ῥαδινὸν οὐδὲν εἶχεν· οὐ γὰρ ἐκ θαλάμου προήει, οὐδὲ ἦν τῶν ὑπὸ μητράσι καὶ τίτθαις τρεφομένων. Τὸ δὲ ὑπέρογκον τοῦ σώματος, οὐδὲ τοῦτο εἶχε· καὶ μάλα γε εἰκότως, ἅτε ἐν τοῖς κυνηγεσίοις, καὶ περὶ αὐτὰ τὰ γυμνάσια τὸ πᾶν σῶμα ἐκπονοῦσα. Ξανθὴ δὲ ἦν αὐτῆς ἡ κόμη, οὔτι που πολυπραγμοσύνῃ γυναικείᾳ, καὶ βαφαῖς ἅμα καὶ φαρμάκοις, ἀλλ' ἦν φύσεως ἔργον ἡ χροιά. Πεφοίνικτο δὲ καὶ ὑπὸ τῶν ἡλίων αὐτῇ τὸ πρόσωπον, καὶ ἐρυθήματι ἐῴκει ἄντικρυς. Τί δὲ οὕτως ὡραῖον ἂν γένοιτο ἄνθος, ὥσπερ οὖν καλὸν ἦν τὸ πρόσωπον αἰδεῖσθαι πεπαιδευμένης παρθένου; Δύο δὲ εἶχεν ἐκπληκτικὰ, κάλλος ἄμαχον, καὶ σὺν τούτῳ καὶ φοβεῖν ἐδύνατο. Οὐδεὶς ἂν ἰδὼν αὐτὴν ἠράσθη ῥάθυμος ἄνθρωπος, ἀλλ' οὐδ' ἂν ἐτόλμησεν ἀντιβλέπειν τὴν ἀρχήν· τοσαύτη μετὰ τῆς ὥρας κατέλαμπεν ἡ αἴγλη τοὺς ὁρῶντας. Δεινὴ δὲ ἦν εὐτυχεῖν τά τε ἄλλα, καὶ τῷ σπανίῳ. Οὐ γὰρ ἂν αὐτήν τις εὐκόλως οὐδεὶς εἶδεν· ἀλλ' ἀδοκήτως, καὶ ἀπροόπτως ἐπέφηνε, διώκουσα θηρίον, ἢ ἀμυνομένη τινὰ, ὥσπερ ἀστὴρ, καὶ διάττουσα ἐξέλαμπεν ἀστραπῆς δίκην· εἶτα ἀπέκρυπτεν αὐτὴν διαθέουσα ἢ δρυμὸν, ἢ λόχμην, ἤ τι ἄλλο τῶν ἐν ὄρει δάσος. Καὶ οἵ ποτε οἱ τὴν ὅμορον καὶ γειτνιῶσαν οἰκοῦντες, μεσούσης τῆς νυκτὸς, ἐρασταὶ θρασεῖς καὶ κωμασταὶ βαρύτατοι, ἐπεκώμασαν δύο τῶν Κενταύρων, Ὑλαῖός τε καὶ Ῥοῖκος. Ἦν δὲ ἄρα ὁ κῶμος αὐτῶν, οὔτε αὐλητρίδες, οὔτε αὐτὰ δήπου τὰ τῶν μειρακίων τῶν κατὰ πόλιν. Ἀλλὰ πεῦκαι μὲν ἦσαν· καὶ ταύτας ἐξάψαντες, καὶ ἀναφλέξαντες, ἐκ τῆς πρώτης τοῦ πυρὸς φαντασίας ἐξέπληξαν ἂν καὶ δῆμον, μήτι γοῦν μίαν παρθένον. Κλάδους δὲ πιτύων νεοδρεπεῖς ἀποκλάσαντες, εἶτα τούτοις λύγους διαπλέξαντες, εἰργάζοντο στεφάνους. Συνεχῶς δὲ καὶ

θαμινὰ ἐπικροτοῦντες τοῖς ὅπλοις διὰ τῶν ὀρῶν, συνεκκαίοντες καὶ τὰ δένδρα, ἐπὶ τὴν παῖδα ἔσπευδον, κακοὶ μνηστῆρες, σὺν ὕβρει καὶ οἴστρῳ τὰ ἕδνα τῶν γάμων προεκτελοῦντες. Τὴν δὲ οὐκ ἔλαθεν ἡ ἐπιβουλή. Ἰδοῦσα δὲ ἐκ τοῦ ἄντρου τὸ πῦρ, καὶ γνωρίσασα, οἵτινές ποτε ἄρα ἦσαν οἱ κωμασταὶ, μηδὲν διατραπεῖσα, μηδὲ ὑπὸ τῆς ὄψεως καταπτήξασα, τὸ μὲν τόξον ἐκύκλωσεν, ἀφῆκε δὲ τὸ βέλος, καὶ ἔτυχε τοῦ πρώτου μάλα εὐκαίρως. Καὶ ὁ μὲν ἔκειτο· ἐπῄει δὲ ὁ δεύτερος, οὐκ ἔτι κωμαστικῶς, ἀλλ' ἤδη πολεμικῶς, ἐκείνῳ μὲν ἐπαμῦναι θέλων, ἑαυτοῦ δὲ ἐμπλῆσαι τὴν ὀργήν. Ἀπήντησε δὲ ἄρα καὶ τούτῳ τιμωρὸς ὁ τῆς κόρης οἰστὸς ὁ ἕτερος. Καὶ ὑπὲρ τῆς Ἰασίωνος Ἀταλάντης τοσαῦτα.

### ΚΕΦ. ϛ'.

**Πῶς ὁ Μακαρεὺς ὑπὲρ τῆς ἑαυτοῦ ἀπηνείας ὑπὸ τῶν Θεῶν ἐτιμωρήθη.**

Μιτυληναῖος ἀνὴρ, Μακαρεὺς ὄνομα, ἱερεὺς τοῦ Διονύσου, ὅσα μὲν οὗτος ἰδεῖν, πρᾶος ἦν καὶ ἐπιεικὴς, ἀνοσιώτατος δὲ ἀνθρώπων τὰ μάλιστα. Ξένου δὲ ἥκοντος παρ' αὐτὸν, καὶ δόντος αὐτῷ παρακαταθήκην χρυσίου πλῆθος, ἐν τῷ μυχῷ τοῦ ἀνακτόρου, τὴν γῆν διασκάψας, ὁ Μακαρεὺς κατώρυξε τὸ χρυσίον. Χρόνῳ δὲ ἀφικόμενος ὁ ξένος, τὸ χρυσίον ἀπῄτει. Ὁ δὲ, εἰσαγαγὼν ἔνδον, ὡς ἀποδώσων, κατέσφαξε, καὶ τὸ χρυσίον ἀνώρυξεν, ἀντ' αὐτοῦ δὲ τὸν ξένον κατέθηκε· καὶ ᾤετο, ὥσπερ τοὺς ἀνθρώπους, λανθάνειν οὕτω καὶ τὸν Θεόν. Πλὴν οὐκ ἀπήντησε ταῦτα ταύτῃ· πόθεν; Χρόνου δὲ ὀλίγου διεληλυθότος, αἱ μὲν τοῦ Θεοῦ τριετηρίδες ἀφίκοντο· ὁ δὲ ἔθυε μεγαλοπρεπῶς. Καὶ ὁ μὲν περὶ τὴν βακχείαν εἶχεν, οἱ δὲ παῖδες αὐτοῦ, δύο ὄντες, ἔνδον ἀπελείφθησαν ἐν τῇ οἰκίᾳ, καὶ μιμούμενοι τὴν τοῦ πατρὸς ἱερουργίαν, τῷ βωμῷ τῷ πατρῴῳ προσῆλθον, ἔτι καιομένων τῶν ἐμπύρων· καὶ ὁ μὲν νεώτερος παρέσχε τὸν τράχηλον, ὁ δὲ πρεσβύτερος, ἠμελημένην εὑρὼν σφαγίδα, τὸν ἀδελφὸν ἀπέκτεινεν, ὡς ἱερεῖον. Οἱ

δὲ κατὰ τὴν οἰκίαν ἰδόντες, ἀνεβόησαν. Ἀκούσασα δὲ ἡ μήτηρ τῆς βοῆς ἐξεπήδησε, καὶ θεασαμένη τὸν μὲν νεκρὸν, τὸν δὲ κατέχοντα ἔτι τὴν σφαγίδα ἡμαγμένην, σχίζαν ἁρπάσασα τῶν ἐκ τοῦ βωμοῦ ἡμίκαυτον, ταύτῃ τὸν παῖδα ἀπέκτεινεν. Ἧκε δὲ ἀγγελία πρὸς τὸν Μακαρέα, καὶ ἀπολιπὼν τὴν τελετὴν, ὡς εἶχε, σὺν ὀργῇ καὶ θυμῷ εἰσεπήδησεν εἰς τὴν οἰκίαν, καὶ τῷ θύρσῳ, ᾧ κατεῖχε, τὴν ἑαυτοῦ γυναῖκα ἔκτεινεν. Ἔκπυστα οὖν ἐγένοντο τὰ τολμηθέντα εἰς πάντας. Καὶ συλληφθεὶς ὁ Μακαρεὺς, καὶ στρεβλούμενος, ὡμολόγησεν ὅσα ἐν τῷ ἀνακτόρῳ ἔδρασεν· ἐν αὐταῖς δὲ ταῖς κολάσεσι τὴν ψυχὴν ἀπέῤῥηξεν. Ὁ δὲ παρανόμως σφαγεὶς διὰ τιμῆς ἦλθε δημοσίᾳ, καὶ ἐτάφη, τοῦ Θεοῦ προστάξαντος. Ἔτισεν οὖν ὁ Μακαρεὺς οὐ μεμπτὴν τὴν δίκην, τοῦτο δὲ τὸ ποιητικὸν, σὺν τῇ ἑαυτοῦ κεφαλῇ, καὶ τῇ τῆς γυναικὸς, καὶ οὖν καὶ τῇ τῶν παίδων προσέτι.

## ΚΕΦ. γ'.

Περὶ Βήλου μνήματος, καὶ κακοῦ τῷ Ξέρξῃ σημείου ἐν τούτῳ προφαινομένου.

Ξέρξης ὁ Δαρείου παῖς, τοῦ Βήλου τοῦ ἀρχαίου διασκάψας τὸ μνῆμα, πύελον ὑελίνην εὗρεν, ἔνθα ἦν κείμενος ὁ νεκρὸς ἐν ἐλαίῳ. Οὐ μὴν πεπλήρωτο ἡ πύελος, ἐνέδει δὲ ἀπὸ τοῦ χείλους εἰς παλαιστὴν ἴσως. Παρέκειτο δὲ τῇ πυέλῳ καὶ στήλη βραχεῖα, ἔνθα ἐγέγραπτο, Τῷ ἀνοίξαντι τὸ μνῆμα, καὶ μὴ ἀναπληρώσαντι τὴν πύελον, οὐκ ἔστιν ἄμεινον. Ἀναγνοὺς δὲ ὁ Ξέρξης ἔδεισε, καὶ προσέταξεν ἐπιχέαι ἔλαιον τὴν ταχίστην· οὐ μὴν πεπλήρωτο. Ὁ δὲ πάλιν προσέταξεν ἐπιχέαι· αὔξησιν δὲ οὐκ ἐλάμβανεν, ἕως ἀπεῖπε μάτην ἀναλίσκων τὸ ἐπιχεόμενον. Κατακλείσας δὲ ὀπίσω τὸν τάφον, ἀπηλλάγη ἀδημονῶν. Οὐ διεψεύσατο δὲ ἡ στήλη ὅσα προεῖπεν· ἀθροίσας γὰρ ἑβδομήκοντα μυριάδας ἐπὶ τοὺς Ἕλληνας, κακῶς ἀπήλλαξεν· εἶτα ἐπανελθὼν, αἴσχιστα ἀνθρώπων ἀπέθανεν, ἀποσφαγεὶς νύκτωρ ἐν τῇ εὐνῇ ὑπὸ τοῦ υἱοῦ.

ΚΕΦ. δ'.

Περὶ Εὐριπίδου ἐν ἑστιάσει μεθυσθέντος.

Ἀρχέλαος ὁ βασιλεὺς ἑστίασιν παρεσκεύασε πολυτελῆ τοῖς ἑταίροις. Προϊόντος δὲ τοῦ πότου, ζωηρότερον πιὼν Εὐριπίδης ὑπήχθη πως κατ' ὀλίγον εἰς μέθην· εἶτα συγκλιθέντα αὐτῷ Ἀγάθωνα, τὸν τῆς τραγῳδίας ποιητὴν, περιλαβὼν κατεφίλει, τεσσαράκοντα ἐτῶν που γεγονότα. Τοῦ δὲ Ἀρχελάου πυθομένου, εἰ καὶ νῦν ἔτι ἐρώμενος αὐτῷ δοκεῖ εἶναι, ἀπεκρίνατο, Ναὶ μὰ Δία· οὐ γὰρ μόνον τὸ ἔαρ τῶν καλῶν κάλλιστον, ἀλλὰ καὶ τὸ μετόπωρον.

ΚΕΦ. έ.

Τίς πρῶτον ἠράσθη γενναίων παιδικῶν.

Ἐρασθῆναι πρῶτον γενναίων παιδικῶν λέγουσι Λάϊον, ἁρπάσαντα Χρύσιππον τὸν Πέλοπος. Καὶ ἐκ τούτου τοῖς Θηβαίοις ἓν τῶν καλῶν ἐδόκει τὸ τῶν ὡραίων ἐρᾷν.

ΚΕΦ. ϛ.'

Περὶ Ἀρκαδικοῦ, Θασίων, καὶ Ἀχαϊκοῦ, οἴνων ἰδιοτήτων.

Ἐν Ἡραίᾳ τῆς Ἀρκαδίας ἀκούω πεφυκέναι ἀμπέλους, ἐξ ὧν γίνεται οἶνος, ὃς τοῦ λογισμοῦ παράγει, καὶ ἔκφρονας τοὺς Ἀρκάδας ποιεῖ, τὰς δὲ γυναῖκας τεκνοποιοὺς τίθησιν.

Ὅτι ἐν Θάσῳ δύο γένη φασὶν οἴνων γίνεσθαι, καὶ τὸν μὲν ἕτερον πινόμενον, εἰς ὕπνον κατάγειν εὖ μάλα βαθὺν, καὶ διὰ ταῦτα ἡδύν· τὸν δὲ ἕτερον ἀντίπαλον εἶναι τοῦ βίου, καὶ ἀγρυπνίαν ἐμποιεῖν, καὶ ἀνιᾶσθαι παρέχειν.

Ἐν δε Ἀχαΐᾳ περὶ Κερυνίαν οἶνος γίνεται, ὅς ταῖς βουλομέναις γυναιξὶν ἀμβλῶσαι συμμάχεται.

## ΚΕΦ. ζʹ.

### Περὶ Θηβῶν ὑπὸ Ἀλεξάνδρου ἁλουσῶν, καὶ περὶ Πινδάρου.

Ὅτε εἷλε τὴν Θηβαίων πόλιν Ἀλέξανδρος ἀπέδοτο τοὺς ἐλευθέρους πάντας, πλὴν ἱερέων. Ἀφῆκε δὲ τῆς πράσεως καὶ τοὺς τοῦ πατρὸς ξένους (ὡμήρευσε γὰρ παρ' αὐτοῖς ὁ Φίλιππος, ἔτι παῖς ὤν), καὶ τοὺς συγγενεῖς δὲ τούτων ἀφῆκεν. Ἐτίμησε δὲ καὶ τοὺς ἐγγόνους τοὺς τοῦ Πινδάρου, καὶ τὴν οἰκίαν αὐτοῦ μόνην εἴασεν ἑστάναι. Ἐφόνευσε δὲ τῶν Θηβαίων εἰς ἑξακισχιλίους, αἰχμάλωτοι δὲ ἐλήφθησαν τρισμύριοι.

## ΚΕΦ. ηʹ καὶ θʹ.

### Περὶ Λυσάνδρου, καὶ Λαμίας.

Λύσανδρον τὸν Λακεδαιμόνιον, ἐν τῇ Ἰωνίᾳ διατρίβοντα, τὰ Λυκούργου φασὶ νόμιμα ῥίψαντα, ἐπίπονα ὄντα, διατεθρύφθαι τὸν βίον. Λάμια γοῦν ἡ Ἀττικὴ ἑταίρα εἶπεν, Οἱ ἐκ τῆς Ἑλλάδος λέοντες, ἐν Ἐφέσῳ γεγόνασιν ἀλώπεκες.

## ΚΕΦ. ιʹ.

### Περὶ Διονυσίου δύο γυναῖκας ἐν μιᾷ ἡμέρᾳ ἀγαγόντος.

Ἐν μιᾷ ἡμέρᾳ δύο γυναῖκας ἠγάγετο Διονύσιος, Δωρίδα τὴν Λοκρίδα, καὶ Ἀριστομάχην τὴν Ἱππαρίνου, Δίωνος δὲ ἀδελφήν· καὶ παρ' ἑκατέραν ἀνεπαύετο ἐν τῷ μέρει. Καὶ ἡ μὲν ἠκολούθει στρατευομένῳ, ἡ δὲ ἐπανιόντα ὑπεδέχετο.

## ΚΕΦ. ιά.

### Περὶ Περσῶν καταδουλώσεως, καὶ Ἰσοκράτους.

Λόγος τις εἰς ἐμὲ ἀφίκετο, λέγων αἴτιον Ἰσοκράτην γενέσθαι τὸν ῥήτορα τοῖς Πέρσαις καταδουλώσεως, ἧς ἐδουλώσαντο αὐτοὺς Μακεδόνες. Τοῦ γὰρ πανηγυρικοῦ λόγου, ὃν Ἰσοκράτης τοῖς Ἕλλησιν ἐπεδείξατο, εἰς Μακεδονίαν ἐλθοῦσα ἡ φήμη,

πρῶτον μὲν Φίλιππον ἐπὶ τὴν Ἀσίαν ἀνέστησεν· ἀποθανόντος δὲ ἐκείνου, Ἀλέξανδρον τὸν υἱὸν αὐτοῦ, πατρῴων κληρονόμον, τὴν ὁρμὴν τὴν τοῦ Φιλίππου διαδέξασθαι παρεσκεύασε.

## ΚΕΦ ιβ'.

### Πῶς ὁ Μέτων ἐῤῥύσατο ἑαυτὸν τῆς ἐξόδου, καὶ περὶ Ὀδυσσέως μανίας.

Μέτων ὁ ἀστρονόμος, μελλόντων ἐπὶ τὴν Σικελίαν πλεῖν τῶν Ἀθηναίων ἤδη τῶν στρατευμάτων, καὶ αὐτὸς εἷς ἦν τοῦ καταλόγου. Σαφῶς δὲ ἐπιςάμενος τὰς μελλούσας τύχας, τὸν πλοῦν ἐφυλάττετο, δεδιὼς, καὶ σπεύδων τῆς ἐξόδου ἑαυτὸν ῥύσασθαι. Ἐπεὶ δὲ οὐδὲν ἔπραττεν, ὑπεκρίνατο μανίαν· καὶ πολλὰ μὲν καὶ ἄλλα ἔδρασε, πιστώσασθαι τὴν τῆς νόσου δόξαν βουλόμενος, ἐν δὲ τοῖς καὶ τὴν συνοικίαν τὴν αὑτοῦ κατέπρησεν· ἐγειτνία δὲ αὕτη τῇ Ποικίλῃ. Καὶ ἐκ τούτου ἀφῆκαν αὐτὸν οἱ Ἄρχοντες. Καί μοι δοκεῖ ὁ Μέτων ἄμεινον ὑποκρίνασθαι τὴν μανίαν τοῦ Ὀδυσέως τοῦ Ἰθακησίου· ἐκεῖνον μὲν γὰρ ὁ Παλαμήδης κατεφώρασε, τοῦτον δὲ Ἀθηναίων οὐδείς.

## ΚΕΦ. ιγ'.

### Περὶ Πτολεμαίου εὐεργεσίας.

Πτολεμαῖόν φασι τὸν Λάγου, καταπλουτίζοντα τοὺς φίλους αὐτοῦ, ὑπερχαίρειν. Ἔλεγε δὲ ἄμεινον εἶναι πλουτίζειν, ἢ πλουτεῖν.

## ΚΕΦ. ιδ'.

### Περὶ Ὁμήρου ἐπῶν, καὶ ποιήσεως.

Ὅτι τὰ Ὁμήρου ἔπη πρότερον διῃρημένα ᾖδον οἱ παλαιοί. Οἷον ἔλεγον, Τὴν ἐπὶ ναυσὶ μάχην, καὶ Δολωνίαν τινα, καὶ Ἀριστείαν Ἀγαμέμνονος, καὶ Νεῶν κατάλογον, καὶ Πατρόκλειαν, καὶ Λύτρα, καὶ ἐπὶ Πατρόκλῳ ἆθλα, καὶ Ὁρκίων ἀφάνισιν. Ταῦτα ὑπὲρ τῆς Ἰλιάδος. Ὑπὲρ δὲ τῆς ἑτέρας· Τὰ ἐν Πύλῳ, καὶ τὰ ἐν Λακεδαίμονι, καὶ Καλυψοῦς ἄντρον, καὶ

Τὰ περὶ τὴν σχεδίαν, Ἀλκίνου ἀπολόγους, Κυκλωπίαν, καὶ Νεκυίαν, καὶ Τὰ τῆς Κίρκης, Νίπτρα, Μνηστήρων φόνον, Τὰ ἐν ἀγρῷ, Τὰ ἐν Λαέρτου. Ὀψὲ δὲ Λυκοῦργος ὁ Λακεδαιμόνιος ἀθρόαν πρῶτος εἰς τὴν Ἑλλάδα ἐκόμισε τὴν Ὁμήρου ποίησιν. Τὸ δὲ ἀγώγιμον τοῦτο ἐξ Ἰωνίας, ἡνίκα ἀπεδήμησεν, ἤγαγεν. Ὕστερον δὲ Πεισίστρατος συναγαγὼν, ἀπέφηνε τὴν Ἰλιάδα καὶ Ὀδύσσειαν.

## ΚΕΦ. ιέ.

### Περὶ ἀνοήτων τινῶν ἄγαν

Φασὶ παχύτατον γενέσθαι τὴν διάνοιαν οἱ τῆς κωμῳδίας ποιηταὶ, τὸ δέρμα ἔχοντα ἀδιακόνιστον, Πολύδωρόν τινα, καὶ ἄλλον Κοικυλίωνα ὄνομα, ὅπερ τὰ κύματα ἠρίθμει ὑπὸ τῆς ἄγαν μανίας. Λόγος δέ τις, καὶ Σαννυρίωνα τοιοῦτον γενέσθαι, ὃς ἐν τῇ ληκύθῳ τὴν κλίμακα ἐζήτει. Καὶ Κόροιϐον δὲ, καὶ Μελιτίδην, καὶ ἐκείνους ἀνοήτους φασίν.

## ΚΕΦ. ιϛ'.

### Περὶ Ἀπολλωνιατῶν, καὶ τῆς αὐτῶν χώρας, καὶ περὶ Ἐπιδάμνου.

Ἀπολλωνιᾶται πόλιν οἰκοῦσι γείτονα Ἐπιδάμνου ἐν τῷ Ἰονίῳ κόλπῳ Καὶ ἐν τοῖς πλησίον αὐτῆς χωρίοις ἄσφαλτός ἐστιν ὀρυκτὴ, καὶ πίσσα, τὸν αὐτὸν ἐκ τῆς γῆς ἀνατέλλουσα τρόπον, ὃν καὶ αἱ ἐπλεῖϛαι πηγαὶ τῶν ὑδάτων. Οὐ πόῤῥω δὲ καὶ τὸ Ἀθάνατον δείκνυται πῦρ. Ὁ δὲ καιόμενός ἐϛι λόφος ὀλίγος, καὶ οὐκ εἰς μέγα διήκει, καὶ ἔχει περίϐολον οὐ πολὺν, ὄζει δὲ θείου καὶ ϛυπτηρίας. Καὶ περὶ αὐτόν ἐστι δένδρα εὐθαλῆ, καὶ πόα χλωρά· καὶ τὸ πῦρ πλησίον ἐνακμάζον οὐδὲν λυπεῖ, οὔτε τὴν τῶν φυτῶν βλαϛὴν, οὔτε τὴν τεθηλυῖαν [ὕλην]. Καίεται δὲ τὸ πῦρ καὶ νύκτα καὶ μεθ' ἡμέραν, καὶ διέλιπεν οὐδέποτε, ὡς Ἀπολλωνιᾶται λέγουσι, πρὶν τοῦ πολέμου τοῦ πρὸς Ἰλλυριοὺς συμϐάντος αὐτοῖς.

Ὅτε Ἀπολλωνιᾶται ξενηλασίας ἐποίουν κατὰ τὸν Λακε-

δαιμόνιον νόμον, Ἐπιδάμνιοι δὲ ἐπιδημεῖν παρεῖχον τῷ βουλομένῳ.

## ΚΕΦ. ιζ'.

### Παροιμία, καὶ περὶ Φρυνίχου.

Πτήσσει Φρύνιχος, ὥς τις ἀλεκτρυών· παροιμία ἐπὶ τῶν κακῶς τι πασχόντων. Ὑποκρινομένου γὰρ Φρυνίχου τοῦ τραγικοῦ τὴν Μιλήτου ἅλωσιν, οἱ Ἀθηναῖοι δακρύσαντες ἐξέβαλον δεδοικότα καὶ ὑποπτήσσοντα.

## ΚΕΦ. ιη'.

### Περὶ Διονυσίου.

Διονύσιος ὁ τῆς Σικελίας τύραννος, τραγῳδίαν μὲν ἠσπάζετο, καὶ ἐπῄνει, καὶ οὖν καὶ δράματα ἐξεπόνησε τραγικά· ἀλλοτρίως δὲ πρὸς τὴν κωμῳδίαν διέκειτο, ὅτι οὐκ ἦν φιλόγελως.

## ΚΕΦ. ιθ'.

### Περὶ τῶν ὑπὸ Κλεομένους ῥηθέντων ὑπὲρ Ὁμήρου καὶ Ἡσιόδου.

Ἔλεγεν ὁ Κλεομένης Λακωνικῶς καὶ κατὰ τὸν ἐπιχώριον τρόπον, τὸν Ὅμηρον Λακεδαιμονίων εἶναι ποιητὴν, ὡς χρὴ πολεμεῖν λέγοντα· τὸν δὲ Ἡσίοδον, τῶν Εἱλώτων, λέγοντα ὡς χρὴ γεωργεῖν.

## ΚΕΦ. κ'.

### Περί τινος ἡδέως ἀποθνήσκοντος, ὅπως ἂν ἴδοι τινὰς τῶν τεθνεώτων.

Ἀνὴρ Μεγαλοπολίτης ἐξ Ἀρκαδίας, Κερκιδᾶς ὄνομα, ἀποθνήσκων ἔλεγε πρὸς τοὺς οἰκείους, ἀθυμουμένους, ἡδέως ἀπολύεσθαι τοῦ ζῆν· δι' ἐλπίδος γὰρ ἔχειν συγγενέσθαι, τῶν μὲν σοφῶν Πυθαγόρᾳ, τῶν δὲ ἱστορικῶν Ἑκατέῳ, τῶν δὲ μουσικῶν Ὀλύμπῳ, τῶν δὲ ποιητῶν Ὁμήρῳ. Καὶ ἐπὶ τούτοις, ὡς λόγος, τὴν ψυχὴν ἀπέλιπεν.

## ΚΕΦ. κα΄.

### Περὶ Φρυγίου ἁρμονίας.

Ὅτι ἐν Κελαιναῖς τῇ δορᾷ τοῦ Φρυγὸς ἐὰν προσαυλῇ τις τὴν ἁρμονίαν τὴν Φρύγιον, ἡ δορὰ κινεῖται· ἐὰν δὲ εἰς Ἀπόλλωνα, ἀτρεμεῖ, καὶ ἔοικε κωφῇ.

## ΚΕΦ. κβ΄.

### Περὶ Ὁμήρου ναοῦ καὶ ἀγάλματος.

Πτολεμαῖος ὁ Φιλοπάτωρ, κατασκευάσας Ὁμήρῳ νεών, αὐτὸν μὲν καλὸν καλῶς ἐκάθισε· κύκλῳ δὲ τὰς πόλεις περιέστησε τοῦ ἀγάλματος, ὅσαι ἀντιποιοῦνται τοῦ Ὁμήρου. Γαλάτων δὲ ὁ ζωγράφος ἔγραψε τὸν μὲν Ὅμηρον αὐτὸν ἐμοῦντα, τοὺς δὲ ἄλλους ποιητὰς τὰ ἐμημεσμένα ἀρυομένους.

## ΚΕΦ. κγ΄.

### Περὶ Λυκούργου τοῦ Λακεδαιμονίου.

Λυκοῦργος ὁ Λακεδαιμόνιος, ὁ Εὐνόμου παῖς, δικαίους βουληθεὶς ἀποφῆναι Λακεδαιμονίους, ὑπὲρ τούτου γε οὐ καλοὺς τοὺς μισθοὺς ἠρύσατο. Ἀπήντησε γὰρ αὐτῷ τὸν ὀφθαλμὸν ἐκκοπῆναι ὑπὸ Ἀλκάνδρου, ὡς μέν τινές φασιν, ἐξ ἐπιβουλῆς λίθῳ βληθείς, ὡς δὲ ἄλλος διαφοιτᾷ λόγος, βακτηρίᾳ παθὼν τὸ πάθος. Λέγεται δὲ ὁ λόγος πρὸς τοὺς ἄλλα θελήσαντας, ἄλλων δὲ τυχόντας. Λέγει δὲ Ἔφορος αὐτὸν, λιμῷ διακαρτερήσαντα, ἐν φυγῇ ἀποθανεῖν.

## ΚΕΦ. κδ΄.

### Περί τινων ὑπ' ἰδίων νόμων βλαβέντων.

Λυκοῦργος ὁ ῥήτωρ ἔγραψε, Μὴ ἐλαύνειν τὰς γυναῖκας ἐν τοῖς μυστηρίοις ἐπὶ ζευγῶν, ἢ τῇ δρώσῃ τοῦτο ἐπηρτῆσθαι ζημίαν, ἥν γε ᾤετο τάξας ἀποχρῶσαν. Πρώτη τῷ ψηφίσματι ἠπείθησεν ἡ τούτου γυνή, καὶ τὴν ζημίαν ἐξέτισε καταδικασθεῖσα.

Καὶ Περικλῆς ἔγραψε, Μὴ εἶναι Ἀθηναῖον, ὃς μὴ ἐξ ἀμφοῖν γέγονεν ἀστοῖν. Εἶτα ἀποβαλὼν τοὺς γνησίους παῖδας, ἐπὶ τῷ νόθῳ Περικλεῖ κατελέλειπτο. Δῆλα δὲ, ὅτι καὶ Περικλῆς ἐβούλετο μὲν ἕτερα, ἔτυχε δὲ ἑτέρων.

Κλεισθένης δὲ ὁ Ἀθηναῖος τὸ δεῖν ἐξοστρακίζεσθαι πρῶτος εἰσηγησάμενος, αὐτὸς ἔτυχε τῆς καταδίκης πρῶτος.

Ζάλευκος ὁ Λοκρῶν νομοθέτης προσέταξε, Τὸν μοιχὸν ἁλόντα ἐκκόπτεσθαι τοὺς ὀφθαλμούς. Ἃ τοίνυν μηδὲ προσεδόκησε, ταῦτα ὁ Δαίμων αὐτῷ παρὰ τὴν δόξαν καὶ τὴν ἐλπίδα ἐπήγαγεν· ὁ γάρ τοι παῖς ἁλοὺς ἐπὶ μοιχείᾳ, εἶτα ἔμελλε πείσεσθαι τὰ ἐκ τοῦ πατρῴου νόμου. Ἐνταῦθα, ἵνα μὴ διαφθαρῇ τὸ ἅπαξ κεκυρωμένον, ὑπέμεινεν αὐτὸς ὁ εἰσηγησάμενος, ὑπὲρ τοῦ ἑτέρου τῶν τοῦ παιδὸς ὀφθαλμῶν, ἀντιδοῦναι τὸν ἑαυτοῦ, ἵνα μὴ ὁ νεανίσκος τυφλωθῇ τελέως.

## ΚΕΦ. κέ.

### Περὶ Πινδάρου ἐν ἀγωνίᾳ Κορίννης ἡττηθέντος.

Πίνδαρος ὁ ποιητὴς, ἀγωνιζόμενος ἐν Θήβαις, ἀμαθέσι περιπεσὼν ἀκροαταῖς, ἡττήθη Κορίννης πεντάκις. Ἐλέγχων δὲ τὴν ἀμουσίαν αὐτῶν ὁ Πίνδαρος, σῦν ἐκάλει τὴν Κόριννάν.

## ΚΕΦ. κϛ'.

### Πῶς ὁ Διογένης, ἐν ἀπορίᾳ πάντων γενόμενης, παρεμυθήσατο ἑαυτόν.

Διογένης ὁ Σινωπεὺς ἔρημος ἦν, καὶ μόνος ἀπέῤῥιπτο· καὶ οὔτέ τινα δι᾽ ἀπορίαν ὑπεδέχετο, οὔτέ τις αὐτὸν ἐξένιζε, τὸν ἄνδρα ἐκτρεπόμενος διὰ τὸ τοῦ τρόπου ἐλεγκτικὸν, καὶ ὅτι ἦν πρὸς τὰ πραττόμενα καὶ λεγόμενα δυσάρεστος. Ἠθύμει οὖν ὁ Διογένης καὶ φύλλων ἄκρα ἤσθιε· ταῦτα γάρ οἱ παρῆν. Τοῖς δὲ ἀποπίπτουσι τοῦ ἄρτου θρύμμασι μῦς ἐχρῆτο ἐπιφοιτῶν. Ὁ οὖν Διογένης φιλοπόνως κατεσκέψατο τὸ πραττόμενον, καὶ μειδιάσας, καὶ ἑαυτοῦ γενόμενος φαιδρότερός τε καὶ ἵλεως, εἶπεν,

εἶπεν, Ὁ μὲν μῦς οὗτος τῆς Ἀθηναίων πολυτελείας δεῖται οὐδὲν, σὺ δὲ, ὦ Διόγενες, ἄχθῃ, φασὶν, ὅτι μὴ συνδειπνεῖς Ἀθηναίοις· καὶ ἐπόρισεν ἑαυτῷ εὔκαιρον εὐθυμίαν.

## ΚΕΦ. κζ'.

### Περὶ Σωκράτους σώματος.

Ὅτι τὸ Σωκράτους σῶμα πεπίστευτο κόσμιον, καὶ σωφροσύνης ἐγκρατὲς γεγονέναι καὶ ταύτῃ. Ἐνόσουν Ἀθηναῖοι πανδημεὶ, καὶ οἱ μὲν ἀπέθνησκον, οἱ δὲ ἐπιθανατίως εἶχον· Σωκράτης δὲ μόνος οὐκ ἐνόσησε τὴν ἀρχήν. Ὁ τοίνυν τοιούτῳ συνὼν σώματι, τίνα ἡγούμεθα εἶχε ψυχήν;

## ΚΕΦ. κή.

### Περὶ τοῦ οἰκέτου τοῦ Διογένους ὑπὸ κυνῶν διασπασθέντος.

Διογένης ἡνίκα ἀπέλιπε τὴν πατρίδα, εἷς αὐτῷ τῶν οἰκετῶν ἠκολούθει, ὄνομα Μάνης, ὃς οὐ φέρων τὴν μετ' αὐτοῦ διατριβὴν, ἀπέδρα. Προτρεπόντων δέ τινων ζητεῖν αὐτὸν, ἔφη, Οὐκ αἰσχρὸν, Μάνην μὲν μὴ δεῖσθαι Διογένους, Διογένην δὲ Μάνους; Οὗτος δὲ ὁ οἰκέτης, εἰς Δελφοὺς ἀλώμενος, ὑπὸ κυνῶν διεσπάσθη, τῷ ὀνόματι τοῦ δεσπότου δίκας ἐκτίσας, ἀνθ' ὧν ἀπέδρασεν.

## ΚΕΦ. κθ'.

### Περὶ ἐλπίδος.

Ἔλεγεν ὁ Πλάτων τὰς ἐλπίδας ἐγρηγορότων ἀνθρώπων ὀνείρους εἶναι.

## ΚΕΦ. λ'.

### Περὶ Ὀλυμπιάδος ἐπὶ τῷ Ἀλεξάνδρῳ τεθνηκότι καὶ ἀτάφῳ δυσχεραινούσης.

Ὀλυμπιὰς ἡ Ἀλεξάνδρου πυθομένη, ὅτι πολὺν χρόνον ὁ παῖς αὐτῆς ἄταφος μένει, βαρὺ ἀναστένουσα, καὶ θρηνοῦσα εὖ μάλα λιγέως, Ὦ τέκνον, εἶπεν, ἀλλὰ σὺ μὲν οὐρανοῦ μετα-

σχεῖν βουλόμενος, καὶ τοῦτο σπεύδων, νῦν οὐδὲ τῶν κοινῶν δήπου, καὶ ἴσων πᾶσιν ἀνθρώποις, μετασχεῖν ἔχεις, γῆς τε ἅμα καὶ ταφῆς· καὶ τὰς ἑαυτῆς τύχας οἰκτείρασα, καὶ τὸ τοῦ παιδὸς τετυφωμένον ἐλέγξασα.

## ΚΕΦ. λα΄.

Ὅτι Ξενοκράτης φιλοικτίρμων ἦν.

Ξενοκράτης ὁ Χαλκηδόνιος, ὁ ἑταῖρος Πλάτωνος, τά τε ἄλλα ἦν φιλοικτίρμων, καὶ οὐ μόνον φιλάνθρωπος, ἀλλὰ καὶ πολλὰ τῶν ἀλόγων ζώων ἠλέει. Καὶ οὖν ποτε καθημένου ἐν ὑπαίθρω, διωκόμενος βιαίως στρουθὸς ὑπὸ ἱέρακος, εἰς τοὺς κόλπους αὐτοῦ κατέπτη. Ὁ δὲ ἀσμένως ἐδέξατο τὸν ὄρνιν, καὶ διεφύλαξεν ἀποκρύψας, ἔς' ἂν ὁ διώκων ἀπῆλθεν. Ἐπεὶ δὲ ἠλευθέρωσεν αὐτὸν τοῦ φόβου, ἁπλώσας τὸν κόλπον, ἀφῆκε τὸν ὄρνιν, ἐπειπὼν, Ὅτι μὴ ἐξέδωκε τὸν ἱκέτην.

## ΚΕΦ. λϐ΄.

Πῶς ὁ Σωκράτης ἑταίρας τινὸς ἀλαζονείαν ἤλεγξεν.

Φησὶ Ξενοφῶν, ὅτι Θεοδότῃ τῇ ἑταίρᾳ εἰς λόγους ἀφῖκτο Σωκράτης, καλλίςῃ γυναικὶ οὔσῃ. Ἀλλὰ καὶ τῇ Καλλιςοῖ ἦλθεν εἰς λόγους, ἣ ἔλεγεν, Ἐγὼ μὲν, ὦ Σωφρονίσκου, κρείττων εἰμί σου· σὺ μὲν γὰρ οὐδένα τῶν ἐμῶν δύνῃ ἀποσπᾶσαι, ἐγὼ δὲ, ἐὰν βούλωμαι τοὺς σοὺς πάντας. Ὁ δὲ, Καὶ μάλα γε εἰκότως· σὺ μὲν γὰρ ἐπὶ τὴν κατάντη αὐτοὺς πάντας ἄγεις, ἐγὼ δὲ ἐπὶ τὴν ἀρετὴν ἥκειν βιάζομαι· ὀρθία δὲ ἡ ἄνοδός ἐςι, καὶ ἀήθης τοῖς πολλοῖς.

## ΚΕΦ. λγ΄.

Περὶ Ῥοδώπιδος ἑταίρας τύχης.

Ῥοδῶπίν φασιν Αἰγυπτίαν ἑταίραν γενέσθαι ὡραιοτάτην. Καί ποτε αὐτῆς λουομένης, ἡ τὰ παράδοξα καὶ τὰ ἀδόκητα φιλοῦσα ἐργάζεσθαι τύχη προὐξένησεν αὐτῇ, οὐ τῆς γνώμης, ἀλλὰ τοῦ κάλλους ἄξια. Λουομένης γὰρ, καὶ τῶν θεραπαινίδων

τὴν ἐσθῆτα φυλαττουσῶν, ἀετὸς καταπτὰς, τὸ ἕτερον τῶν ὑποδημάτων ἁρπάσας, ἀπιὼν ᾤχετο· καὶ ἐκόμισεν εἰς Μέμφιν, δικάζοντος Ψαμμιτίχου, καὶ εἰς τὸν κόλπον ἐνέλαβε τὸ ὑπόδημα. Ὁ δὲ Ψαμμίτιχος, θαυμάσας τοῦ ὑποδήματος τὸν ῥυθμὸν, καὶ τῆς ἐργασίας αὐτοῦ τὴν χάριν, καὶ τὸ πραχθὲν ὑπὸ τοῦ ὄρνιθος, προσέταξεν ἀνὰ πᾶσαν τὴν Αἴγυπτον ἀναζητεῖσθαι τὴν ἄνθρωπον, ἧς τὸ ὑπόδημά ἐστι· καὶ εὑρὼν γαμετὴν ἠγάγετο.

## ΚΕΦ. λδ'.

### Περὶ Διονυσίου.

Ὅτι τὸν Λέοντα ὁ Διονύσιος, μετὰ τὴν πρόσταξιν τὴν κατ' αὐτοῦ ἀνευρὼν, εἰς τρὶς τοῖς δορυφόροις ἐκέλευσεν ἀπάγειν, καὶ μετέγνω τρὶς, καὶ καθ' ἑκάστην μεταπομπὴν, κατεφίλει κλαίων, καὶ καταρώμενος ἑαυτοῦ, ὅτι ποτε ἔλαβε τὸ ξίφος. Τελευτῶν ἥττηται τῷ φόβῳ, καὶ προσέταξεν ἀποσφαγῆναι, εἰπὼν, Ὅτι οὐκ ἔστιν, ὦ Λέον, σοι ζῆν.

## ΚΕΦ. λέ.

### Περὶ ἐλάφου ἐν νόσῳ φυσικῆς θεραπείας.

Λέγουσι φυσικοὶ ἄνδρες τὸν ἔλαφον, καθάρσεως δεόμενον, σέλινα ἐσθίειν· φαλαγγίων δὲ κνήσμασιν ἐχόμενον, καρκίνους.

## ΚΕΦ. λς'.

### Περὶ Εὐρυδίκης Φιλίππου θυγατρὸς τελευτῆς.

Ὀλυμπιὰς τῇ Φιλίπππου θυγατρὶ Εὐρυδίκῃ (ἣν δὲ ἄρα ἐξ Ἰλλυρίδος γυναικὸς τῷ Φιλίππῳ γενομένῃ) προσέπεμψε κώνειον, καὶ βρόχον, καὶ ξίφος. Ἡ δὲ αἱρεῖται τὸν βρόχον.

## ΚΕΦ. λζ'.

### Περὶ Γέλωνος, καὶ τῶν αὐτῷ ἐπιβουλευόντων.

Γέλων, ὁ τῶν Στρακουσίων τύραννος, τὴν τῆς ἀρχῆς κατάστασιν πρᾳότατα εἶχε. Στασιώδεις δέ τινες ἐπεβούλευον

αὐτῷ· ἃ πυθόμενος ὁ Γέλων, εἰς ἐκκλησίαν συγκαλέσας τοὺς Συρακουσίους, εἰσῆλθεν ὡπλισμένος ὁ Γέλων, καὶ διεξελθὼν, ὅσα ἀγαθὰ αὐτοῖς εἰργάσατο, καὶ τὴν ἐπιβουλὴν ἐξεκάλυψε, καὶ ἀπεδύσατο τὴν πανοπλίαν, εἰπὼν πρὸς πάντας, Ἰδοὺ τοίνυν ἡμῖν ἐν χιτωνίσκῳ γυμνὸς τῶν ὅπλων παρέστηκα, καὶ δίδωμι χρῆσθαι, ὅ, τι βούλεσθε. Καὶ ἐθαύμασαν αὐτοῦ τὴν γνώμην οἱ Συρακούσιοι· οἱ δὲ καὶ τοὺς ἐπιβουλεύοντας παρέδοσαν αὐτῷ κολάσαι, καὶ τὴν ἀρχὴν ἔδωκαν. Ὁ δὲ καὶ τούτους εἴασε τῷ δήμῳ τιμωρήσασθαι. Καὶ εἰκόνα αὐτοῦ οἱ Συρακούσιοι ἔστησαν ἐν ἀζώςῳ χιτῶνι· καὶ ἦν τοῦτο τῆς δημαγωγίας αὐτοῦ ὑπόμνημα, καὶ τοῖς εἰς τὸν μετὰ ταῦτα αἰῶνα μέλλουσιν ἄρχειν δίδαγμα.

## ΚΕΦ. λή.

### Περὶ Ἀλκιβιάδου.

Ἰσχυρῶς Ὅμηρον ἐθαύμαζεν Ἀλκιβιάδης· καί ποτε διδασκαλείῳ παίδων προσελθὼν, ῥαψῳδίαν Ἰλιάδος ᾔτει. Τοῦ δὲ διδασκάλου μηδὲν ἔχειν Ὁμήρου φήσαντος, ἐντρίψας αὐτῷ κόνδυλον εὖ μάλα στερεὸν, παρῆλθεν, ἐνδειξάμενος, ὅτι ἐκεῖνος ἀπαίδευτός ἐστι, καὶ τοιούτους ἀποφαίνει τοὺς παῖδας.

Οὗτος, ἐπὶ κρίσιν καλούμενος θανατικὴν ἐκ Σικελίας ὑπὸ τῶν Ἀθηναίων, οὐχ' ὑπήκουσεν, εἰπὼν, Εὔηθες τὸν ἔχοντα δίκην, ζητεῖν ἀποφυγεῖν, ἐνὸν φυγεῖν. Εἰπόντος δέ τινος, Οὐ πιστεύεις τῇ πατρίδι τὴν περὶ σοῦ κρίσιν; ὁ δὲ εἶπεν, Οὐδὲ τῇ μητρίδι· δέδοικα γὰρ μὴ ἀγνοήσασα, καὶ σφαλεῖσα τοῦ ἀληθοῦς, εἶτα τὴν μέλαιναν ἐμβάλῃ ἀντὶ τῆς λευκῆς ψῆφον. Πυθόμενος οὖν, ὅτι θάνατος αὐτοῦ κατεγνώσθη ὑπὸ τῶν πολιτῶν, Δείξομεν οὖν, εἶπεν, ὅτι ζῶμεν· καὶ ὁρμήσας πρὸς τοὺς Λακεδαιμονίους, τὸν Δεκελεικὸν ἐξῆψε πόλεμον ἐπὶ τοὺς Ἀθηναίους.

Ἔλεγε δὲ μηδὲν παράδοξον ποιεῖν Λακεδαιμονίους, ἀδεῶς ἐν τῷ πολέμῳ ἀποθνήσκοντας· τὴν γὰρ ἐκ τῶν νόμων ταλαι-

πωρίαν ἀποδιδράσκοντας, θάνατον ὑπὲρ τῶν πόνων, ὧν ἔχουσι, προθύμως ἀλλάττεσθαι.

Εἰώθει δέ, φασιν, ἐπιλέγειν ταῖς ἑαυτοῦ πράξεσιν, ὅτι τὸν τῶν Διοσκούρων ζῇ βίον, παρ' ἡμέραν τεθνηκώς τε, καὶ ἀναϐιούς· εὐημερήσας γὰρ ἐν τῷ δήμῳ ἴσος Θεοῖς νομίζεσθαι, κακῶς δὲ ἀπαλλάξας, τῶν νεκρῶν μηδὲ ὀλίγον διαφέρειν.

ΚΕΦ. λθ'.

Περὶ Ἐφιάλτου.

Ἐφιάλτης, στρατηγοῦ ὀνειδήσαντος αὐτῷ τινος πενίαν, Τὸ δὲ ἕτερον, ἔφη, διὰ τί οὐ λέγεις, ὅτι δίκαιός εἰμι.

ΚΕΦ. μ'.

Περὶ Θεμιστοκλέους.

Στρεπτῷ κειμένῳ ἐπὶ τῆς γῆς χρυσῷ Περσικῷ ὁ Θεμιςοκλῆς παρεστὼς, [τῷ] παιδὶ εἶπεν, Οὐκ ἀναιρήσεις, ὦ παῖ, τὸ εὕρημα τόδε; δείξας τὸν στρεπτόν· οὐ γὰρ σὺ Θεμιστοκλῆς εἶ δήπου.

Ὅτι ἠτίμασαν αὐτόν ποτε Ἀθηναῖοι, εἶτα ἐπὶ τὴν ἀρχὴν αὖθις παρεκάλουν. Ὁ δὲ, Οὐκ ἐπαινῶ τοὺς τοιούτους ἄνδρας, οἵ τινες τὴν αὐτὴν ἀμίδα καὶ οἰνοχόην ἔχουσι.

Πρὸς Εὐρυϐιάδην τὸν Λακεδαιμόνιον ἔλεγέ τι ὑπεναντίον, καὶ [ὃς] ἀνέτεινεν αὐτῷ τὴν βακτηρίαν. Ὁ δὲ, Πάταξον μὲν, ἄκουσον δέ. Ἤδει δὲ ὅτι, ἃ μέλλει λέγειν, τῷ κοινῷ λυσιτελεῖ.

ΚΕΦ. μά.

Περὶ Φωκίωνος.

Ὀδυρομένων τῶν μετὰ Φωκίωνος μελλόντων ἀποθνήσκειν, εἶπεν ὁ Φωκίων, Εἶτα οὐκ ἀγαπᾷς, Θούδιππε, μετὰ Φωκίωνος ἀποθνήσκων;

ΚΕΦ. μϐ'.

Περὶ Ἐπαμινώνδου.

Ἐπαμινώνδας ἔφευγε δίκην θανάτου, ἐπανελθὼν ἐκ τῆς Λα-

κωνικῆς, ὡς ἐπιβαλὼν τῇ βοιωταρχίᾳ τέσσαρας μῆνας παρὰ τὸν νόμον. Τοὺς μὲν οὖν συνάρχοντας ἐκέλευσεν εἰς αὐτὸν τὴν αἰτίαν ἀναφέρειν, ὡς ἐκβιασθέντας ἄκοντας. Αὐτὸς δὲ, παρελθὼν εἰς τὸ δικαστήριον, οὐκ ἔφη βελτίονας ἔχειν τῶν ἔργων τοὺς λόγους· εἰ δὲ μὴ, ἠξίου ἀποκτείνειν αὐτὸν, ἐπιγράψαι μέν τοι τῇ στήλῃ, ὅτι μὴ βουλομένους Θηβαίους ἠνάγκασεν Ἐπαμινώνδας, τὴν μὲν Λακωνικὴν πυρπολῆσαι, πεντακοσίοις ἐνιαυτοῖς ἀδήωτον οὖσαν· οἰκίσαι δὲ Μεσσήνην δι' ἐτῶν τριάκοντα καὶ διακοσίων· συντάξαι δὲ καὶ συναγαγεῖν εἰς ταὐτὸν Ἀρκάδας· ἀποδοῦναι δὲ τοῖς Ἕλλησι τὴν αὐτονομίαν. Καὶ ἀφῆκαν αὐτὸν αἰδεσθέντες οἱ δικασταί. Ἐπανελθόντα δὲ αὐτὸν ἐκ τοῦ δικαστηρίου, Μελιταῖον κυνίδιον ἔσαινε. Διὸ πρὸς τοὺς παρόντας εἶπε, Τοῦτο μὲν ἀποδίδωσιν εὐεργεσίας μοι χάριν· Θηβαῖοι δὲ, πολλάκις ὑπ' ἐμοῦ εὖ παθόντες, ἔκρινάν με θανάτου.

## ΚΕΦ. μγ'.

### Περὶ Τιμοθέου, καὶ Θεμιστοκλέους.

Ὅτι Τιμόθεος, ὁ στρατηγὸς Ἀθηναίων, ἐπιστεύετο εὐτυχὴς εἶναι· καὶ ἔλεγον τὴν τύχην αἰτίαν εἶναι, Τιμόθεον δὲ οὐδενὸς, κωμῳδοῦντες ἐπὶ τῆς σκηνῆς. Καὶ οἱ ζωγράφοι δὲ καθεύδοντα ἐποίουν αὐτόν· εἶτα ὑπὲρ τῆς κεφαλῆς ἀπῃώρητο ἑστῶσα ἡ Τύχη, ἕλκουσα εἰς κύρτον τὰς πόλεις.

Πυνθανομένου Θεμιστοκλέους τινὸς, Κατὰ τί μάλιστα ἥσθη ἐν τῷ βίῳ; Ὅδε ἀπεκρίνατο, Τὸ θέατρον ἰδεῖν Ὀλυμπιάσιν ἐπιστρεφόμενον εἰς ἐμὲ, εἰς τὸ στάδιον παριόντα.

## ΚΕΦ. μδ'.

### Περὶ Θεμιστοκλέους καὶ Ἀριστείδου φιλονεικίας.

Τοὺς αὐτοὺς ἐπιτρόπους ἔσχε Θεμιστοκλῆς, καὶ Ἀριστείδης ὁ Λυσιμάχου, καὶ διὰ ταῦτά τοι καὶ συνεστράφησαν, καὶ συνεπαιδεύθησαν κοινῷ διδασκάλῳ. Ἐστασιαζέτην δὲ ὅμως καὶ ἔτι παῖδες ὄντες· καὶ παρέμεινεν αὐτοῖς ἡ φιλονεικία ἀπὸ τῆς πρώτης ἡλικίας καὶ εἰς ἔσχατον γῆρας.

ΚΕΦ. μέ.

Περὶ Διονυσίου ἀπηνείας.

Ὅτι Διονύσιος τὴν μητέρα διέφθειρε φαρμάκοις· Λεπτίνην δὲ τὸν ἀδελφὸν, σῶσαι δυνάμενος, ἐν τῇ ναυμαχίᾳ περιεῖδεν ἀπολλύμενον.

ΚΕΦ. μς'.

Περὶ δράκοντος εὐεργεσίας ἀναμνησθέντος.

Πόλις ἐστὶ τῆς Ἀχαΐας αἱ Πάτραι. Παῖς παρ' αὐτοῖς δράκοντα μικρὸν ἐπρίατο, καὶ ἔτρεφε μετὰ πολλῆς τῆς κομιδῆς. Αὐξηθέντος δὲ αὐτοῦ ἐλάλει πρὸς αὐτὸν, ὡς πρὸς ἀκούοντα, καὶ ἤθυρε μετ' αὐτοῦ, καὶ συνεκάθευδεν αὐτῷ. Εἰς μέγιστον δὲ μέγεθος ἐλθὼν ὁ δράκων, ὑπὸ τῶν πολιτῶν εἰς ἐρημίαν ἀπελύθη. Ὕστερον δὲ ὁ παῖς νεανίας γενόμενος, ἀπό τινος θέας ἐπανιὼν, λῃσταῖς περιπεσὼν μετὰ τῶν συνηλίκων, βοῆς γενομένης, ἰδοὺ ὁ δράκων· καὶ τοὺς μὲν διεσκόρπισεν, οὓς δὲ ἀπέκτεινεν, αὐτὸν δὲ περιεσώσατο.

# ΑΙΛΙΑΝΟΥ

## ΠΟΙΚΙΛΗΣ ΙΣΤΟΡΙΑΣ

### ΒΙΒΛΙΟΝ ΤΕΣΣΑΡΕΣΚΑΙΔΕΚΑΤΟΝ.

#### ΚΕΦ. ά.

Πῶς ὁ Ἀριστοτέλης εἶχε πρὸς φιλοδοξίαν.

Ἀριστοτέλης ὁ Νικομάχου, σοφὸς ἀνὴρ καὶ ὢν καὶ εἶναι δοκῶν, ἐπεί τις αὐτοῦ ἀφείλετο τὰς ψηφισθείσας αὐτῷ ἐν Δελφοῖς τιμὰς, ἐπιστέλλων πρὸς Ἀντίπατρον περὶ τούτων, φησὶν, Ὑπὲρ τῶν ἐν Δελφοῖς ψηφισθέντων μοι, καὶ ὧν ἀφήρημαι νῦν, οὕτως ἔχω, ὡς μήτε μοι σφόδρα μέλειν ὑπὲρ αὐτῶν, μήτε μοι μηδὲν μέλειν. Οὐκ ἂν δὲ ἦν φιλοδοξία ταῦτα, οὐδ᾽ ἂν καταγνοίην ἔγωγε τοιοῦτόν τι Ἀριστοτέλους· ἀλλ᾽ εὖ φρονῶν ᾤετο, μὴ ὅμοιον εἶναι, ἀρχήν τινα μὴ λαβεῖν, ἢ λαβόντα ἀφαιρεθῆναι. Τὸ μὲν γὰρ οὐδὲν μέγα, τὸ μὴ τυχεῖν· τὸ δὲ ἀλγεινὸν, τὸ τυχόντα, εἶτα ἀποστερηθῆναι.

#### ΚΕΦ. β́.

Περὶ Ἀγησιλάου, καὶ τῶν βαρβάρων ἐπιορκούντων.

Ὅτι τοὺς παραβάντας ὅρκους τῶν βαρβάρων ἐπῄνεσεν Ἀγησίλαος, ὅτι τοὺς Θεοὺς ἑαυτοῖς ἐχθροὺς ποιησάμενοι ταῖς ἐπιορκίαις, αὐτῷ φίλους καὶ συμμάχους κατεπράξαντο.

#### ΚΕΦ. γ́.

Περὶ ἀσωτίας.

Τιμόθεος πρὸς Ἀριστοφῶντα, ἄσωτον ὄντα, πικρότατα καθικόμενος αὐτοῦ, εἶπεν, Ὧ ἱκανὸν οὐδὲν, ἀλλὰ τούτῳ γε αἰσχρὸν οὐδέν.

## ΚΕΦ. δ'.

### Περὶ Ἀριστείδου ὑπὸ γαλῆς δηχθέντος, καὶ ἀποθνήσκοντος.

Ὅτι Ἀριστείδης ὁ Λοκρὸς ὑπὸ Ταρτησίας γαλῆς δηχθεὶς, καὶ ἀποθνήσκων, εἶπεν, Ὅτι πολὺ ἂν ἥδιον ἦν αὐτῷ δηχθέντι ὑπὸ λέοντος, ἢ παρδάλεως, ἀποθανεῖν, εἴπερ οὖν ἔδει τινὸς τῷ θανάτῳ προφάσεως, ἢ ὑπὸ θηρίου τοιούτου· τὴν ἀδοξίαν, ἐμοὶ δοκεῖν, ἐκεῖνος τοῦ δήγματος πολλῷ βαρύτερον φέρων, ἢ τὸν θάνατον αὐτόν.

## ΚΕΦ. έ.

### Τίσιν ἐχρῶντο οἱ Ἀθηναῖοι πρὸς τὰς ἀρχάς.

Οὐ μόνοις τοῖς ἀστοῖς ἐχρῶντο Ἀθηναῖοι, πρὸς τὰς ἀρχὰς, καὶ τὰς στρατηγίας ἐπιτηδείοις, ἀλλὰ γὰρ καὶ ξένους προῃροῦντο, καὶ τὰ κοινὰ αὐτοῖς ἐνεχείριζον, εἴπερ οὖν αὐτοὺς ἀγαθοὺς ὄντας κατέγνωσαν, καὶ ἐπιτηδείους εἰς τὰ τοιαῦτα. Ἀπολλόδωρον τὸν Κυζικηνὸν πολλάκις ϛρατηγὸν εἵλοντο, ξένον ὄντα, καὶ Ἡρακλείδην τὸν Κλαζομένιον· ἐπιδειξάμενοι γὰρ, ὅτι ἄξιοι λόγου εἰσὶν, εἶτα οὐκ ἔδοξαν ἀνάξιοι τοῦ Ἀθηναίων ἄρχειν εἶναι. Καὶ ὑπὲρ μὲν τούτων ἐπαινεῖν χρὴ τὴν πόλιν, μὴ καταχαριζομένην τἀληθὲς τοῖς πολίταις, ἀλλὰ νέμουσαν καὶ τοῖς γένει μὲν μὴ τροσήκουσι, δι' ἀρετὴν δὲ ἀξίοις τιμᾶσθαι.

## ΚΕΦ. ϛ'.

### Ἀριστίππου γνώμη περὶ εὐθυμίας.

Πάνυ σφόδρα ἐῤῥωμένως ἐῴκει λέγειν ὁ Ἀρίστιππος, παρεγγυῶν, μήτε τοῖς παρελθοῦσιν ἐπικάμνειν, μήτε τῶν ἐπιόντων προκάμνειν· εὐθυμίας γὰρ δεῖγμα τὸ τοιοῦτο, καὶ ἵλεω διανοίας ἀπόδειξις. Προσέταττε δὲ ἐφ' ἡμέρᾳ τὴν γνώμην ἔχειν, καὶ αὖ πάλιν τῆς ἡμέρας ἐπ' ἐκείνῳ τῷ μέρει, καθ' ὃ ἕκαστος ἢ πράττει τι, ἢ ἐννοεῖ. Μόνον γὰρ ἔφασκεν ἡμέ-

τερον εἶναι τὸ παρὸν, μήτε δὲ τὸ φθάνον, μήτε τὸ προσδοκώμενον· τὸ μὲν γὰρ ἀπολωλέναι, τὸ δὲ ἄδηλον εἶναι, εἴπερ ἔσται.

## ΚΕΦ. ζʹ.

Νόμος Λακεδαιμόνιος περὶ τῆς τῶν σωμάτων χρόας, καὶ εὐφυΐας, καὶ τῶν ὑπερσαρκούτων.

Λακεδαιμόνιος οὗτος ὁ νόμος. Ὁ δὲ νόμος ἐκεῖνα λέγει. Μηδένα Λακεδαιμονίων ἀνανδρότερον ὁρᾶσθαι τὴν χρόαν, ἢ τὸν ὄγκον τοῦ σώματος ἔχειν ὑπὲρ τὰ γυμνάσια· ἐδόκει γὰρ τὸ μὲν ἀργίαν ὁμολογεῖν, τὸ δὲ οὐχ ὁμολογεῖν ἄνδρα. Προσεγέγραπτο δὲ τῷ νόμῳ, καὶ διὰ δέκα ἡμερῶν πάντως τοῖς Ἐφόροις τοὺς ἐφήβους παρίστασθαι γυμνοὺς δημοσίᾳ. Καὶ εἰ μὲν ἦσαν εὐπαγεῖς, καὶ ἐῤῥωμένοι, καὶ ἐκ τῶν γυμνασίων οἱονεὶ διαγλυφέντες, καὶ διατορευθέντες, ἐπῃνοῦντο· εἰ δέ τι χαῦνον ἦν αὐτοῖς τῶν μελῶν, ἢ ὑγρότερον, ὑποιδούσης καὶ ὑπαναφυομένης διὰ τὴν ῥαθυμίαν πιμελῆς, ἀλλ' ἐνταῦθα μέν ἐπαίοντο, καὶ ἐδικαιοῦντο. Ἐτίθεντο δὲ καὶ φροντίδα οἱ Ἔφοροι καθ' ἑκάστην πολυπραγμονεῖν τὰ περὶ τὴν στολὴν, εἰ ἕκαστα αὐτῆς μὴ ἀπολείπεται τοῦ κόσμου τοῦ δέοντος. Ἔδει δὲ ὀψοποιοὺς ἐν Λακεδαίμονι εἶναι κρέως μόνου· ὁ δὲ παρὰ τοῦτο ἐπιστάμενος, ἐξηλαύνετο τῆς Σπάρτης, ὡς τὰ τῶν νοσούντων καθάρσια. Οἱ αὐτοὶ Ναυκλείδην τὸν Πολυβιάδου ὑπερσαρκοῦντα τῷ σώματι, καὶ ὑπέρπαχυν διὰ τρυφὴν γενόμενον, ἐκ τῆς ἐκκλησίας τῶν θεωμένων κατήγαγον, καὶ ἠπείλησαν αὐτῷ φυγῆς προστίμησιν, ἐὰν μὴ τὸν βίον, ὃν ἐβίου τότε, ὑπαίτιον ὄντα, καὶ Ἰωνικὸν μᾶλλον, ἢ Λακωνικὸν, τοῦ λοιποῦ μεθαρμόσηται· φέρειν γὰρ αὐτοῦ τὸ εἶδος, καὶ τὴν τοῦ σώματος διάθεσιν, αἰσχύνην, καὶ τῇ Λακεδαίμονι, καὶ τοῖς νόμοις.

## ΚΕΦ. ή.

### Πῶς ὁ Πολύκλειτος καὶ Ἱππόμαχος τὴν τῶν πολλῶν ἄγνοιαν ἐξήλεγξαν.

Δύο εἰκόνας εἰργάσατο Πολύκλειτος κατὰ τὸ αὐτὸ, τὴν μὲν τοῖς ὄχλοις χαριζόμενος, τὴν δὲ κατὰ τὸν νόμον τῆς τέχνης. Ἐχαρίζετο δὲ τοῖς πολλοῖς τὸν τρόπον τοῦτον· καθ' ἕκαστον τῶν εἰσιόντων μετετίθει τι, καὶ μετεμόρφου, πειθόμενος τῇ ἑκάστου ὑφηγήσει. Προὔθηκεν οὖν ἀμφοτέρας· καὶ ἡ μὲν ὑπὸ πάντων ἐθαυμάζετο, ἡ δὲ ἑτέρα ἐγελᾶτο. Ὑπολαβὼν οὖν ἔφη ὁ Πολύκλειτος, Ἀλλὰ ταύτην μὲν, ἣν ψέγετε, ὑμεῖς ἐποιήσατε, ταύτην δὲ, ἣν θαυμάζετε, ἐγώ.

Ἱππόμαχος ὁ αὐλητὴς, ἐπεὶ αὐτῷ μαθητὴς αὐλῶν ἥμαρτε μὲν κατὰ τὸ αὔλημα, ἐπῃνέθη δὲ ὑπὸ τῶν παρόντων, καθίκετο αὐτοῦ τῇ ῥάβδῳ, καὶ ἔφη, Κακῶς ηὔλησας· οὐ γὰρ ἂν οὗτοί σε ἐπῄνουν.

## ΚΕΦ. θ'.

### Περὶ Ξενοκράτους καρτερίας.

Ξενοκράτης ὁ Χαλκηδόνιος, ὑπὸ τοῦ Πλάτωνος εἰς τὸ ἄχαρι σκωπτόμενος, οὐδέποτε ἠγανάκτει, φασὶν, ἀλλὰ καὶ πρὸς τὸν παροξύνοντα αὐτὸν ὑπὲρ τούτου, ἵνα τι ἀποκρίνηται τῷ Πλάτωνι· ὅδε καὶ πάνυ ἐμφρόνως κατασιγάζων τὸν ἄνδρα ἔφατο, Ἀλλὰ τοῦτο ἐμοὶ συμφέρει.

## ΚΕΦ. ί.

### Πῶς ὁ Φωκίων ἀντέσκωψεν εἰς τὸν Δημάδην.

Προείλοντο τοῦ Φωκίωνος Ἀθηναῖοι τὸν Δημάδην στρατηγεῖν. Ὁ δὲ, προτιμηθεὶς, καὶ μέγα φρονῶν, προσελθὼν τῷ Φωκίωνι, Χρῆσόν μοι, ἔφη, τὴν ῥυπαρὰν χλαμύδα, ἣν εἰώθεις φορεῖν παρὰ τὴν στρατηγίαν. Καὶ ὅς, Οὐδέποτε, εἶπεν, οὐδενὸς ῥυπαροῦ σὺ ἀπορήσεις, ἔστ' ἂν ᾖς τοιοῦτος.

## ΚΕΦ. ιά.

Πῶς δεῖ εἶναι τὸν ἄρχοντα εἰς τοὺς ἀρχομένους.

Φιλίσκος πρὸς Ἀλέξανδρον ἔφη ποτὲ, Δόξης φρόντιζε, ἀλλὰ μὴ ἔσο λοιμὸς, καὶ μὴ μεγάλη νόσος, ἀλλὰ εἰρήνη καὶ ὑγεία· λέγων, τὸ μὲν βιαίως ἄρχειν καὶ πικρῶς, καὶ αἱρεῖν πόλεις, καὶ ἀπολλύειν δήμους, λοιμοῦ εἶναι, τὸ δὲ ὑγείας προνοεῖσθαι καὶ σωτηρίας τῶν ἀρχομένων, εἰρήνης ταῦτα ἀγαθά.

## ΚΕΦ. ιϐ'.

Τί ἔπραττεν ὁ Περσῶν βασιλεὺς ὁδοιπορῶν.

Ὅτι ὁ Περσῶν βασιλεὺς ὁδοιπορῶν, ἵνα μὴ ἀλύῃ, φιλύριον εἶχε, καὶ μαχαίριον, ἵνα ξέῃ τοῦτο· καὶ τοῦτο εἰργάζοντο αἱ βασιλέως χεῖρες. Πάντως γὰρ οὐκ εἶχεν οὐ βιϐλίον, οὐ διάνοιαν, ἵν' ἢ σπουδαῖόν τι καὶ σεμνὸν ἀναγινώσκῃ, ἢ γενναῖόν τι καὶ λόγου ἄξιον βουλεύηται.

## ΚΕΦ. ιγ'.

Περὶ τῶν Ἀγάθωνος τραγῳδιῶν.

Πολλοῖς καὶ πολλάκις χρῆται τοῖς ἀντιθέτοις ὁ Ἀγάθων. Ἐπεὶ δέ τις, οἷον ἐπανορθούμενος αὐτὸν, ἐϐούλετο περιαιρεῖν αὐτὰ τῶν ἐκείνου δραμάτων, εἶπεν, Ἀλλὰ σύ γε, γενναῖε, λέληθας σεαυτὸν, τὸν Ἀγάθωνα ἐκ τοῦ Ἀγάθωνος ἀφανίζων. Οὕτως ἐκόμα ἐπὶ τούτοις ἐκεῖνος, καὶ ᾤετο τὴν αὐτοῦ τραγῳδίαν ταῦτ' εἶναι.

## ΚΕΦ. ιδ'.

Περὶ Στρατονίκου τοῦ κιθαρῳδοῦ.

Στρατόνικον τὸν κιθαρῳδὸν ὑπεδείξατό τις ἀμφιλαφῶς. Ὁ δὲ ὑπερήσθη τῇ κλήσει· καὶ γὰρ ἔτυχεν οὐκ ἔχων καταγωγὴν, ἅτε εἰς ξένην ἀφικόμενος. Ὑπερησπάζετο γοῦν τὸν ἄνδρα διὰ τὸ πρόχειρον τῆς κοινωνίας τῆς κατὰ τὴν στέγην. Ἐπεὶ δὲ καὶ

ἄλλον εἶδεν εἰσιόντα, καὶ ἄλλον, καὶ τρόπον τινὰ ἄκλειστον αὐτοῦ τὴν οἰκίαν πᾶσι τοῖς καταλύειν προῃρημένοις, ἐνταῦθα ὁ Στρατόνικος ἔφη πρὸς τὸν ἀκόλουθον, Ἀπίωμεν ἐντεῦθεν, ὦ παῖ· ἐοίκαμεν γὰρ ἀντὶ περιστερᾶς ἔχειν φάτταν, ὑπὲρ οἰκίας εὑρόντες πανδοκεῖον.

## ΚΕΦ. ιέ.

### Περὶ τῶν τοῦ Σωκράτους λόγων.

Λόγος τις διεφοίτα, λέγων, τοὺς Σωκράτους λόγους ἐοικέναι τοῖς Παύσωνος γράμμασι. Καὶ γάρ τοι καὶ Παύσωνα τὸν ζωγράφον, ἐκλαβόντα παρά τινος γράψαι ἵππον καλινδούμενον, τόνδε γράψαι τρέχοντα. Ἀγανακτοῦντος οὖν τοῦ τὸ πινάκιον ἐκδόντος, ὡς παρὰ τὰς ὁμολογίας γράψαντος, ἀποκρίνασθαι τὸν ζωγράφον, Ὅτι στρέψον τὸ πινάκιον, καὶ ὁ καλινδούμενος ἔστω σοι τρέχων. Καὶ τὸν Σωκράτην μὴ σαφῶς διαλέγεσθαι· εἰ γοῦν τις αὐτοὺς στρέψει, ὀρθότατα ἔχειν. Οὐκ ἐβούλετο δὲ ἄρα ἀπεχθάνεσθαι τούτοις, πρὸς οὓς διελέγετο, καὶ διὰ τοῦτο αἰνιγματώδεις αὐτοὺς παρείχετο καὶ πλαγίους.

## ΚΕΦ. ιϛ'.

### Περὶ Ἱππονίκου φιλοτιμίας.

Ἱππόνικος ὁ Καλλίου ἐβούλετο ἀνδριάντα ἀναστῆσαι τῇ πατρίδι ἀνάθημα. Ἐπεὶ δέ τις συνεβούλευσε παρὰ Πολυκλείτῳ κατασκευάσαι τὸ ἄγαλμα, οὐκ ἔφη προσέξειν τοιούτῳ ἀναθήματι, οὗ τὴν δόξαν οὐχ ὁ ἀναθείς, ἀλλ' ὁ ποιήσας ἕξει. Δῆλον γάρ, ὡς οἱ ὁρῶντες τὴν τέχνην ἔμελλον τὸν Πολύκλειτον, ἀλλ' οὐκ ἐκεῖνον, ἄγασθαι.

## ΚΕΦ. ιζ'.

### Περὶ Ἀρχελάου, καὶ περὶ Ζεύξιδος γραφῶν.

Σωκράτης ἔλεγεν Ἀρχέλαον εἰς τὴν οἰκίαν τετρακοσίας μνᾶς ἀναλῶσαι, Ζεῦξιν μισθωσάμενον τὸν Ἡρακλεώτην, ἵνα αὐτὴν καταγράφοι, εἰς ἑαυτὸν δὲ οὐδέν. Διὸ πόῤῥωθεν μὲν

ἀφικνεῖσθαι σὺν σπουδῇ πολλῇ τοὺς βουλομένους θεάσασθαι τὴν οἰκίαν· δι᾽ αὐτὸν δὲ Ἀρχέλαον μηδένα εἰς Μακεδόνας στέλλεσθαι, ἐὰν μή τινα ἀναπείσῃ χρήμασι, καὶ δελεάσῃ, ὑφ᾽ ὧν οὐκ ἄν αἱρεθῆναι τὸν σπουδαῖον.

## ΚΕΦ. ιη΄.

### Πῶς ὀργιζόμενός τις τὸν οἰκέτην τιμωρῆσαι ἐβούλετο.

Ἀνὴρ Χῖος, ὀργιζόμενος τῷ οἰκέτῃ, Ἐγώ σε, ἔφη, οὐκ εἰς μύλην ἐμβαλῶ, ἀλλ᾽ εἰς Ὀλυμπίαν ἄξω. Πολλῷ γὰρ ᾤετο πικροτέραν, ὡς τὸ εἰκὸς, εἶναι τιμωρίαν ἐκεῖνος ἐν Ὀλυμπίᾳ θεώμενον ὑπὸ τῆς ἀκτῖνος ὀπτᾶσθαι, ἢ ἀλεῖν μύλῃ παραδοθέντα.

## ΚΕΦ. ιθ΄.

### Περὶ Ἀρχύτου σωφροσύνης ἐν λόγοις.

Ἀρχύτας τά τε ἄλλα ἦν σώφρων, καὶ οὖν καὶ τὰ ἄκοσμα ἐφυλάττετο τῶν ὀνομάτων. Ἐπεὶ δέ ποτε ἐβιάζετό τι εἰπεῖν τῶν ἀπρεπῶν, οὐκ ἐξενικήθη, ἀλλ᾽ ἐσιώπησε μὲν αὐτὸ, ἐπέγραψε δὲ κατὰ τοῦ τοίχου, δείξας μὲν, ὃ εἰπεῖν ἐβιάζετο, οὐ μὴν βιασθεὶς εἰπεῖν.

## ΚΕΦ. κ΄.

### Περί τινος φληνάφου ἱστορίας.

Συβαρίτης ἀνὴρ παιδαγωγὸς (καὶ γὰρ οὖν μετὰ τῶν ἄλλων Συβαριτῶν καὶ αὐτοὶ ἐτρύφων), τοῦ παιδὸς, ὃν ἦγε διὰ τῆς ὁδοῦ, ἰσχάδι περιτυχόντος, καὶ ἀνελομένου, ἐπέπληξεν αὐτῷ ἰσχυρότατα· γελοιότατα δὲ αὐτὸς τὸ εὕρημα παρὰ τοῦ παιδὸς ἁρπάσας κατέτραγεν. Ὅτε τοῦτο ἀνελεξάμην ἐν ἱστορίαις Συβαριτικαῖς, ἐγέλασα, ἔδωκα δὲ αὐτὸ εἰς μνήμην, μὴ βασκήνας διὰ φιλανθρωπίαν γελάσαι καὶ ἄλλον.

## ΚΕΦ. κά.

### Περὶ Συάγρου ποιητοῦ.

Ὅτι Σύαγρός τις ἐγένετο ποιητὴς μετ' Ὀρφέα καὶ Μουσαῖον, ὃς λέγεται τὸν Τρωϊκὸν πόλεμον πρῶτος ᾆσαι, μεγίστης οὗτος ὑποθέσεως λαβόμενος, καὶ ἐπιτολμήσας ταύτῃ.

## ΚΕΦ. κϐ'.

### Περὶ τυράννου κωλύσαντος τοὺς ἑαυτοῦ ὑπηκόους διαλέγεσθαι ἀλλήλοις.

Ὅτι Τρύζος τις τύραννος, βουλόμενος ἐξελεῖν τὰς συνωμοσίας, καὶ τὰς κατ' αὐτοῦ ἐπιϐουλὰς, ἔταξε τοῖς ἐπιχωρίοις, μηδένα μηδενὶ διαλέγεσθαι, μήτε κοινῇ, μήτε ἰδίᾳ. Καὶ ἦν τὸ πρᾶγμα ἀμήχανον καὶ χαλεπόν. Ἐσοφίσαντο οὖν τὸ τοῦ τυράννου πρόσταγμα, καὶ ἀλλήλοις ἔνευον, καὶ ἐχειρονόμουν πρὸς ἀλλήλους, καὶ ἐνεώρων δριμὺ, καὶ αὖ πάλιν γαληναῖον καὶ *βλέμμα* φαιδρόν· καὶ ἐπὶ τοῖς σκυθρωποῖς καὶ ἀνηκέστοις ἕκαστος αὐτῶν συνωφρυωμένος ἦν δῆλος, τὸ τῆς ψυχῆς πάθος ἐκ τοῦ προσώπου τῷ πλησίον διαδεικνύς. Ἐλύπει τὸν τύραννον καὶ ταῦτα, καὶ ἐπίστευε τέξεσθαί τι αὐτῷ πάντως κακὸν καὶ τὴν σιωπὴν, διὰ τὸ τῶν σχημάτων ποικίλον. Ἀλλ' οὖν ἐκεῖνος καὶ τοῦτο κατέπαυσε. Τούτων τις οὖν ἀχθόμενος τῇ ἀμηχανίᾳ, καὶ δυσφορῶν, καὶ τὴν μοναρχίαν καταλῦσαι διψῶν, ἀφίκετο εἰς τὴν ἀγορὰν, εἶτα ἔκλαε στὰς πολλοῖς ἅμα καὶ θαλεροῖς τοῖς δακρύοις. Περιέστησαν οὖν αὐτὸν, καὶ περιῆλθον τὸ πλῆθος, καὶ ὀδυρμῷ κἀκεῖνοι συνείχοντο. Ἧκεν ἀγγελία παρὰ τὸν τύραννον, ὡς οὐδεὶς αὐτῶν χρῆται νεύματι οὐκ ἔτι, δάκρυα δὲ αὐτοῖς ἐπιχωριάζει. Ὁ δὲ, ἐπειγόμενος καὶ τοῦτο παῦσαι, μὴ μόνον τῆς γλώττης καταγινώσκων δουλείαν, μηδὲ μόνον τῶν νευμάτων, ἀλλ' ἤδη καὶ τοῖς ὀφθαλμοῖς τὴν ἐκ φύσεως ἀποκλείων ἐλευθερίαν, ᾗ ποδῶν εἶχεν, ἀφίκετο σὺν τοῖς δορυφόροις, ἵνα ἀναστείλῃ τὰ δάκρυα. Οἱ δὲ οὐκ ἔφθησαν

ἰδόντες αὐτὸν, καὶ τὰ ὅπλα τῶν δορυφόρων ἁρπάσαντες, τὸν τύραννον ἀπέκτειναν.

## ΚΕΦ. κγ΄.

### Περὶ Κλεινίου καὶ Ἀχιλλέως, μουσικῇ τὴν ὀργὴν ἀναστέλλειν φιλούντων.

Κλεινίας ἀνὴρ ἦν σπουδαῖος τὸν τρόπον, Πυθαγόρειος δὲ τὴν σοφίαν. Οὗτος εἴ ποτε εἰς ὀργὴν προήχθη, καὶ εἶχεν αἰσθητικῶς ἑαυτοῦ εἰς θυμὸν ἐξαγομένου, παραχρῆμα, πρὶν ἢ ἀνάπλεως αὐτῷ ἡ ὀργὴ, καὶ ἐπίδηλος γένηται, ὅπως διάκειται, τὴν λύραν ἁρμοσάμενος, ἐκιθάριζε. Πρὸς δὲ τοὺς πυνθανομένους τὴν αἰτίαν ἀπεκρίνατο ἐμμελῶς, Ὅτι πραΰνομαι. Δοκεῖ δέ μοι καὶ ὁ ἐν Ἰλιάδι Ἀχιλλεὺς, ὁ τῇ κιθάρᾳ προσᾴδων, καὶ τὰ κλέα τῶν προτέρων διὰ τοῦ μέλους εἰς μνήμην ἑαυτῷ ἄγων, τὴν μῆνιν κατευνάζειν. Μουσικὸς γὰρ ὢν, τὴν κιθάραν πρώτην ἐκ τῶν λαφύρων ἔλαβε.

## ΚΕΦ. κδ΄.

### Περί τινων χρημάτων κρειττόνων ὑπὲρ τῶν πολιτῶν, καὶ τῶν τοὺς δανειστὰς ἀποκτεινάντων.

Χρημάτων κατεφρόνησαν, καὶ μεγαλοφυοσύνην ἐπεδείξαντο, ὁρῶντες ἐν πενίᾳ τοὺς πολίτας ὄντας, πλουτοῦντες αὐτοὶ, ἐν μὲν Κορίνθῳ Θεοκλῆς, καὶ Θρασωνίδης, ἐν δὲ Μιτυλήνῃ Πρᾶξις. Καὶ οὖν καὶ ἄλλοις συνεβούλευον ἐπικουφίσαι τῆς πενίας τὴν ἀνάγκην τοῖς ἀπορουμένοις. Ἐπεὶ δ' οὐκ ἔπειθον, ἀλλ' αὐτοί γε τα ἑαυτῶν ἀφῆκαν χρέα, καὶ ὤναντο οὐκ εἰς ἀργύριον, ἀλλ' εἰς αὐτὴν τὴν ψυχήν. Οἱ γὰρ μὴ ἀφεθέντες, ἐπιθέμενοι τοῖς δανείσασι, προβαλόμενοι τῆς ὀργῆς τὰ ὅπλα, καὶ εὐλογωτάτην χρείαν, τὴν ἄμαχον καὶ τὴν ἐκ τῶν ἐπειγόντων ἀνάγκην, ἀπέκτειναν τοὺς δανειστάς.

## ΚΕΦ. κέ.

Πῶς τις ἔπεισεν ἐν πολιτείᾳ ὁμόνοιαν καθέξεσθαι.

Ἐστασίασάν ποτε πρὸς ἀλλήλους οἱ Χῖοι, ἀνδρειότατα νοσήσαντες νόσον ταύτην βαρυτάτην. Ἀνὴρ οὖν ἐν αὐτοῖς, πολιτικὸς τὴν φύσιν, πρὸς τοὺς σπουδάζοντας τῶν ἑταίρων πάντας ἐκβάλλειν τοὺς ἐναντίους, Μηδαμῶς, ἔφη· ἀλλ' ἐπεὶ κεκρατήκαμεν, ὑπολιπώμεθά τινας, ἵνα μὴ τοῦ χρόνου προϊόντος, οὐκ ἔχοντες ἀντιπάλους, ἡμῖν αὐτοῖς ἀρξώμεθα πολεμεῖν. Καὶ εἰπὼν ἔπεισε· καὶ γὰρ ἔδοξε καλῶς λέγειν, ἐπεὶ οὕτως ἔλεγεν.

## ΚΕΦ. κς'.

Περὶ Ἀνταγόρου Ἀρκεσίλαον λοιδορήσαντος.

Ἀρκεσίλαον, τὸν ἐξ Ἀκαδημίας, Ἀνταγόρας ὁ ποιητὴς ἐλοιδορεῖτο, προσφθαρεὶς αὐτῷ, καὶ ταῦτα ἐν τῇ ἀγορᾷ. Ὁ δὲ σφόδρα μεγαλοφρόνως, ἔνθα ἑώρα μάλιστα συνεστῶτας πολλοὺς, ἐνταῦθα ἐπορεύετο διαλεγόμενος, ἵνα ὁ λοιδορῶν ἐν πλείοσιν ἀσχημονῇ. Οἱ γοῦν ἀκούοντες ἀπεστρέφοντο, καὶ μανίαν ἐπεκάλουν τῷ Ἀνταγόρᾳ.

## ΚΕΦ. κζ'.

Περὶ Ἀγησιλάου.

Ἐγὼ δὲ ἐπαινῶ μάλιστα ἐκείνους, ὅσοι τὰ ὑποφυόμενα τῶν κακῶν φθείροντες ἀεὶ, ταῦτα ἐκκόπτουσι, πρὶν ἢ δυνάμεώς τινος ἐπιλαβέσθαι. Ἀγησίλαος οὖν συνεβούλευσεν, ἀκρίτως ἀποκτείνειν τοὺς συνιόντας νύκτωρ ὑπὸ τὴν τῶν Θηβαίων εἰσβολήν.

## ΚΕΦ. κή.

Περὶ Πυθέου ῥήτορος.

Ὠνείδισέ τις τῷ ῥήτορι Πυθέᾳ ὅτι κακός ἐστιν. Ὁ δὲ οὐκ ἠρνήσατο· τὸ γὰρ συνειδὸς οὐκ ἐπέτρεπεν αὐτῷ. Ἀπεκρίνατο δὲ ἐκεῖνο, Ἐλάχιστον χρόνον τῶν πεπολιτευμένων Ἀθήνησι γενέ-

σθαι κακός· μέγα φρονῶν, δῆλον, ὅτι μὴ διὰ τέλους ἦν τοιοῦτος, καὶ ἡγούμενος μὴ ἀδικεῖν, ἐπεὶ μὴ τοῖς πονηροτάτοις παρεβάλλετο. Εὔηθες δὲ τοῦτο τοῦ Πυθέου· οὐ γὰρ μόνον ὁ ἀδικήσας, κακὸς, ἀλλὰ καὶ ὁ ἐννοήσας ἀδικῆσαι, παρά γε ἐμοὶ κριτῇ.

## ΚΕΦ. κθ'.

### Ὅτι Λύσανδρος χρήματα εἰς Σπάρτην ἐκόμισεν.

Ὅτι Λύσανδρος ἐκόμισεν εἰς Λακεδαίμονα χρήματα, καὶ ἐδίδαξε τοὺς Λακεδαιμονίους παρανομεῖν εἰς τὸ πρόσταγμα τοῦ Θεοῦ, τὸ κελεῦον, Ἄβατον εἶναι χρυσῷ καὶ ἀργύρῳ τὴν Σπάρτην. Τῶν οὖν φρονούντων τινὲς διεκώλυον, φρόνημα ἔτι κεκτημένοι Λακωνικὸν, καὶ Λυκούργου, καὶ τοῦ Πυθίου ἄξιον. Οἱ δὲ προσιέμενοι, διεβλήθησαν· καὶ ἡ ἐξ ἀρχῆς αὐτῶν ἀρετὴ κατὰ μικρὸν ὑπέληξεν.

## ΚΕΦ. λ'.

### Πῶς ὁ Ἄννων ἐκθεοῦν ἑαυτὸν ἐβούλετο.

Ἄννων ὁ Καρχηδόνιος ὑπὸ τρυφῆς ἐν τοῖς ἀνθρώπων ὅροις οὐκ ἠξίου διαμένειν, ἀλλ' ἐπενόει φήμας ὑπὲρ ἑαυτοῦ κατασπείρεσθαι κρείττονας, ἢ κατὰ τὴν φύσιν, ἥνπερ οὖν ἔλαχεν. Ὄρνιθας γὰρ τῶν ᾠδικῶν παμπόλλους πριάμενος, ἔτρεφεν ἐν σκότῳ αὐτοὺς, ἓν διδάσκων μάθημα λέγειν, Θεός ἐςιν Ἄννων. Ἐπεὶ δὲ ἐκεῖνοι μίαν φωνὴν ταύτην ἀκούοντες, ἐγκρατεῖς ταύτης ἐγένοντο, ἄλλον ἄλλοτε διαφῆκεν, οἰόμενος διαῤῥεῦσαι τῶν ὀρνίθων τὸ ὑπὲρ ἑαυτοῦ μέλος. Οἱ δὲ, τὸ πτερὸν ἀπολύσαντες ἅπαξ, καὶ ἐλευθερίας λαβόμενοι, καὶ ἐς ἤθη τὰ σύντροφα αὐτοῖς ἐλθόντες, τὰ οἰκεῖα ᾖδον, καὶ τὰ τῶν ὀρνίθων ἐμουσούργουν, μακρὰ χαίρειν εἰπόντες Ἄννωνι, καὶ μαθήμασι τοῖς ἐν τῇ δουλείᾳ.

## ΚΕΦ. λα'.

### Περὶ Πτολεμαίου Τρύφωνος ἐπικαλουμένου.

Πτολεμαῖος ὁ Τρύφων (τοῦτο γὰρ αὐτὸν ἐκάλουν ἐκ τοῦ

βίου), γυναικὸς ὡραίας ἐντυχεῖν αὐτῷ βουλομένης, ὅδε ἔφη, Ἀπηγόρευσέ μοι ἡ ἀδελφὴ παρὰ γυναικὸς καλῆς λόγον δέξασθαι. Ἡ δὲ ἀτρέςως πάνυ καὶ ἐμμελῶς, Παρὰ καλοῦ λάβοις ἄρ'; εἶπε. Καὶ ἐκεῖνος ἀκούσας ἐπήνεσε.

### ΚΕΦ. λβ'.

Περὶ Τιμανδρίδου οὐκ ἐπαινέσαντος πλουτεῖν τὸν υἱόν.

Λακεδαιμόνιος ἀνὴρ, Τιμανδρίδας ὄνομα, ἀποδημήσας, τὸν υἱὸν ἀπέλιπε μελεδωνὸν τῆς οἰκίας. Εἶτα ἐπανελθὼν χρόνῳ ὕστερον, καὶ εὑρὼν τὴν οὐσίαν ποιήσαντα ἧς ἀπέλιπε πλείω, ἔφη πολλοὺς ἀδικεῖσθαι ὑπ' αὐτοῦ Θεούς τε καὶ οἰκείους, καὶ ξένους· τὰ γὰρ περιττὰ τούτων εἰς ἐκείνους ἀναλίσκεσθαι ὑπὸ τῶν ἐλευθέρων. Τὸ δὲ ζῶντα μὲν φαίνεσθαι πένητα, τελευτήσαντα δὲ καταφωραθῆναι πλούσιον, ἀλλὰ τοῦτο τῶν ἐν ἀνθρώποις ἐστὶν αἴσχιστον.

### ΚΕΦ. λγ'.

Περὶ Πλάτωνος, καὶ Διογένους.

Διελέγετο ὑπέρ τινων ὁ Πλάτων, παρὼν δ' ὁ Διογένης ὀλίγον αὐτῷ προσεῖχεν. Ἠγανάκτησεν οὖν ἐπὶ τούτοις ὁ Ἀρίστωνος, καὶ ἔφη, Ἐπάκουσον τῶν λόγων, Κύον. Καὶ ὃς, οὐδὲν διαταραχθεὶς, Ἀλλ' ἐγὼ, εἶπεν, οὐκ ἐπανῆλθον ἐκεῖσε, ὅθεν ἐπράθην, ὥσπερ οἱ Κύνες, αἰνιττόμενος αὐτοῦ τὴν εἰς Σικελίαν ὁδόν. Εἰώθει δέ, φασιν, ὁ Πλάτων περὶ Διογένους λέγειν, ὅτι μαινόμενος οὗτος Σωκράτης ἐστίν.

### ΚΕΦ. λδ'.

Παρὰ τίνος ἔμαθον τὰ νόμιμα οἱ Αἰγύπτιοι, καὶ περὶ τῶν ἐκείνων δικαστῶν.

Αἰγύπτιοί φασι παρ' Ἑρμοῦ τὰ νόμιμα ἐκμουσωθῆναι. Οὕτω δὲ καὶ ἕκαστοι τὰ παρ' ἑαυτοῖς σεμνύνειν προῄρηνται. Δικαςαὶ δὲ τὸ ἀρχαῖον παρ' Αἰγυπτίοις οἱ ἱερεῖς ἦσαν. Ἦν δὲ τούτων ἄρχων ὁ πρεσβύτατος, καὶ ἐδίκαζεν ἅπαντας. Ἔδει δὲ αὐτὸν



BODL

εἶναι δικαιότατον ἀνθρώπων, καὶ ἀφειδέστατον. Εἶχε δὲ καὶ ἄγαλμα περὶ τὸν αὐχένα ἐκ σαπφείρου λίθου, καὶ ἐκαλεῖτο τὸ ἄγαλμα Ἀλήθεια. Ἐγὼ δὲ ἠξίουν, μὴ λίθου πεποιημένην, καὶ εἰκασμένην, τὴν Ἀλήθειαν περιφέρειν τὸν δικαστὴν, ἀλλ' ἐν αὐτῇ τῇ ψυχῇ ἔχειν αὐτήν.

## ΚΕΦ. λέ.

### Περὶ Λαΐδος.

Ὅτι Λαῒς καὶ Ἀξίνη ἐκαλεῖτο. Ἤλεγχε δὲ αὐτῆς τὸ ἐπώνυμον τοῦτο τὴν τοῦ ἤθους ἀγριότητα, καὶ ὅτι πολὺ ἐπράττετο, καὶ ἔτι μᾶλλον παρὰ τῶν ξένων, ἅτε ἀπαλλαττομένων θᾶττον.

## ΚΕΦ. λϛ'.

### Ὅτι γελοῖοι οἱ διὰ τοὺς πατέρας μέγα φρονοῦντες.

Γελᾷν δὲ ἔξεστιν ἐπὶ τοῖς μέγα φρονοῦσι διὰ τοὺς πατέρας, καὶ τοὺς ἄνω τοῦ γένους, εἴγε Μαρίου μὲν τὸν πατέρα οὐκ ἴσμεν, αὐτὸν δὲ θαυμάζομεν διὰ τὰ ἔργα· καὶ Κάτωνα δὲ, καὶ Σέρβιον, καὶ Ὀστίλιον, καὶ Ῥωμύλον.

## ΚΕΦ. λζ'.

### Περὶ ἀγαλμάτων, καὶ εἰκόνων.

Φιλῶ δὲ μηδὲ τὰ ἀγάλματα ὅσα ἡμῖν ἡ πλαστικὴ δείκνυσι, μηδὲ τὰς εἰκόνας, ἀργῶς ὁρᾷν· ἔστι γάρ τι ταῖς χειρουργίαις σοφὸν καὶ ἐν τούτοις. Καὶ πολλὰ μὲν καὶ ἄλλα δύναταί τις καταγνῶναι ἔχοντα ταύτῃ, ἐν δὲ τοῖς καὶ ἐκεῖνο. Τῶν Μουσῶν οὐδεὶς οὐδέποτε, οὔτε γραφικὸς ἀνὴρ, οὔτε πλαστικὸς, οἷός τε ἐγένετο ψευδίστατα καὶ κίβδηλα, καὶ ἀλλότρια τῶν Διὸς θυγατέρων τὰ εἴδη παραστῆσαι ἡμῖν· ἢ τίς οὕτως νεανικῶς ἐμάνη δημιουργὸς, ὥστε ὡπλισμένας ἡμῖν ἐργάσασθαι; Ὁμολογεῖ δὲ τοῦτο, ὅτι δεῖ τὸν ἐν Μούσαις βίον εἰρηνικόν τε ἅμα καὶ πρᾷον εἶναι, καὶ ἄξιον ἐκείνων.

## ΚΕΦ. λή.

Περὶ Ἐπαμινώνδου καὶ Πελοπίδου.

Ἐπαμινώνδου τοῦ Θηβαίου πολλὰ μὲν καὶ ἄλλα καλὰ οἶδα, ἐν δὲ τοῖς καὶ τόδε. Ἔλεγε πρὸς Πελοπίδαν, μὴ πρότερον ἀπαλλάττεσθαι τῆς ἀγορᾶς ἡμέρᾳ, πρὶν ἢ φίλον τοῖς ἀρχαίοις τινὰ προσπορίσαι νεώτερον.

## ΚΕΦ. λθ'.

Πῶς ὁ Ἀνταλκίδας ἤλεγξε δῶρον μύρῳ βεβαμμένον αὐτῷ πεμφθέν.

Ὁ Περσῶν βασιλεὺς (βούλομαι γάρ τι ὑμῖν καὶ φαιδρὸν εἰπεῖν), στέφανον εἰς μύρον βάψας (διεπέπλεκτο δὲ ῥόδων ὁ στέφανος), ἔπεμψεν Ἀνταλκίδᾳ, πρεσβεύοντι ὑπὲρ εἰρήνης πρὸς αὐτόν. Ὁ δὲ, Δέχομαι μὲν, ἔφη, τὸ δῶρον, καὶ ἐπαινῶ τὴν φιλοφροσύνην, ἀπώλεσας δὲ τὴν ὀσμὴν τῶν ῥόδων, καὶ τὴν τῆς φύσεως εὐωδίαν, διὰ τὴν ἐκ τῆς τέχνης κιβδηλίαν.

## ΚΕΦ. μ'.

Περὶ Ἀλεξάνδρου τοῦ Φεραίων τυράννου ὠμότητος.

Ἀλέξανδρος, ὁ Φεραίων τύραννος, ἐν τοῖς μάλιστα ἔδοξεν ὠμότατος εἶναι. Θεοδώρου δὲ τοῦ τῆς τραγῳδίας ποιητοῦ ὑποκρινομένου τὴν Ἀερόπην σφόδρα ἐμπαθῶς, ὅδε εἰς δάκρυα ἐξέπεσεν, εἶτα ἐξανέστη τοῦ θεάτρου. Ἀπολογούμενος δὲ ἔλεγε τῷ Θεοδώρῳ, ὡς οὐ καταφρονήσας, οὐδὲ ἀτιμάσας αὐτὸν ᾤχετο, ἀλλ' αἰδούμενος, εἰ τὰ μὲν ὑποκριτῶν πάθη οἷός τε ἦν ἐλεεῖν, τὰ δὲ τῶν ἑαυτοῦ πολιτῶν οὐχί.

## ΚΕΦ. μά.

Περὶ Ἀπολλοδώρου μανίας διὰ τὸν οἶνον.

Ὅτι Ἀπολλόδωρος, πλεῖστον ἀνθρώπων πίνων οἶνον, οὐκ ἀπεκρύπτετο τὸ ἑαυτοῦ κακὸν, οὐδὲ ἐπειρᾶτο περιαμπέχειν τὴν μέθην, καὶ τὰ ἐξ αὐτῆς κακά· ἀλλὰ καὶ ἐκ τοῦ οἴνου ὑπανα-

φλεγόμενος καὶ ὑπεξαπτόμενος, ἐγίνετο φονικώτερος, πρὸς τῇ φύσει καὶ τὸ πόμα ἔχων ἐνδόσιμον.

### ΚΕΦ. λϐ'.

Ξενοκράτους γνώμη.

Ξενοκράτης, ὁ Πλάτωνος ἑταῖρος, ἔλεγε μηδὲν διαφέρειν, ἢ τοὺς πόδας, ἢ τοὺς ὀφθαλμοὺς, εἰς ἀλλοτρίαν οἰκίαν τιθέναι. ἐν ταὐτῷ γὰρ ἁμαρτάνειν τόν τε εἰς ἃ μὴ δεῖ χωρία βλέποντα, καὶ εἰς οὓς μὴ δεῖ τόπους παριόντα.

### ΚΕΦ. μγ'.

Περὶ Πτολεμαίου, καὶ Βερενίκης.

Ὁ μὲν Πτολεμαῖός, φασιν (ὁπόστος δὲ αὐτῶν, ἐᾷν δεῖ), καθῆστο ἐπὶ κύϐοις, καὶ πεττεύων διετέλει· εἶτά τις αὐτῷ παρεστὼς ἀνεγίνωσκε τῶν κατεγνωσμένων τὰ ὀνόματα, καὶ τὰς καταδίκας αὐτῶν προσεπέλεγεν, ἵνα ἐκεῖνος παρασημήνηται τοὺς ἀξίους θανάτου. Βερενίκη δὲ ἡ γαμετὴ αὐτοῦ, λαϐοῦσα τὸ βιϐλίον παρὰ τοῦ παιδὸς, εἶτα οὐκ εἴασε διαναγνωσθῆναι τὸ πᾶν οὐκ ἔτι, φήσασα, Πάνυ σφόδρα προσέχοντα τὴν διάνοιαν, ὑπὲρ ἀνθρώπου ψυχῆς διαλογίζεσθαι, καὶ μὴ πρὸς παιδιᾷ γινόμενον· οὐ γὰρ ὁμοίαν εἶναι πτῶσιν τὴν τῶν κύϐων καὶ τὴν τῶν σωμάτων. Πρὸς ταῦτα ὁ Πτολεμαῖος ἥσθη, καὶ οὐδέποτε κυϐεύων μετὰ ταῦτα ὑπὲρ ἀνθρώπου κρίσεως ἤκουσεν.

### ΚΕΦ. μδ'.

Λακωνικὸς νόμος περὶ φιλαργυρίας.

Λακωνικὸν μειράκιον ἐπρίατο χωρίον ὑπερεύωνον, εἶτα ἐπὶ τὰς ἀρχὰς ἤχθη, καὶ ἐζημιώθη. Τὸ δὲ αἴτιον τῆς καταδίκης ἐκεῖνο ἦν, ἐπεὶ νέος ὢν τοῦ κερδαίνειν ὀξύτατα ἤρα. Ἦν δὲ Λακεδαιμονίων ἐν τοῖς μάλιστα ἀνδρικὸν καὶ τοῦτο, μὴ πρὸς μόνους πολεμίους παρατετάχθαι, ἀλλὰ καὶ πρὸς ἀργύριον.

## ΚΕΦ. μέ.

### Περί τινων γυναικῶν ἐπαίνου ἀξίων.

Γυναῖκας τῶν Ἑλλήνων ἐπαινοῦμεν, Πηνελόπην, Ἄλκηστιν, καὶ τὴν Πρωτεσιλάου· Ῥωμαίων, Κορνηλίαν, καὶ Πορκίαν, καὶ Κεστιλίαν. Ἐδυνάμην δὲ εἰπεῖν καὶ ἄλλας, ἀλλ' οὐ βούλομαι τῶν μὲν Ἑλλήνων εἰπεῖν ὀλίγας, ἐπικλύσαι δὲ τοῖς τῶν Ῥωμαίων ὀνόμασιν, ὡς ἂν μή μέ τις δοκοίη χαρίζεσθαι ἐμαυτῷ διὰ τὴν πατρίδα.

## ΚΕΦ. μς'.

### Περὶ Μαγνήτων παρατάξεως μετὰ τῶν Ἐφεσίων.

Οἱ Μαιάνδρῳ παροικοῦντες Μάγνητες, Ἐφεσίοις πολεμοῦντες, ἕκαστος τῶν ἱππέων ἦγεν αὑτῷ συστρατιώτην, θηρατὴν κύνα, καὶ ἀκοντιστὴν οἰκέτην. Ἡνίκα δὲ ἔδει συμμίξαι, ἐνταῦθα οἱ μὲν κύνες προπηδῶντες ἐτάραττον τὴν παρεμβολὴν, φοβεροί τε, καὶ ἄγριοι, καὶ ἐντυχεῖν ἀμείλικτοι ὄντες· οἱ δὲ οἰκέται, προπηδῶντες τῶν δεσποτῶν, ἠκόντιζον. Ἦν δὲ ἄρα, ἐπὶ τῇ φθανούσῃ διὰ τοὺς κύνας ἀταξίᾳ, καὶ τὰ παρὰ τῶν οἰκετῶν δρώμενα ἐνεργῆ. Εἶτα ἐκ τρίτου ἐπῄεσαν αὐτοί.

## ΚΕΦ. μζ'.

### Περὶ Ζεύξιδος Ἑλένης εἰκόνος, καὶ Νικοστράτου ζωγράφου.

Ὅτι Ζεῦξις ὁ Ἡρακλεώτης ἔγραψε τὴν Ἑλένην. Νικόστρατος οὖν ὁ ζωγράφος ἐξεπλήττετο τὴν εἰκόνα, καὶ τεθηπὼς τὸ γράμμα δῆλος ἦν. Ἤρετο οὖν τις αὐτὸν προσελθὼν, τί δὴ παθὼν οὕτω θαυμάζοι τὴν τέχνην; ὁ δὲ, Οὐκ ἄν με ἠρώτησας, εἶπεν, εἰ τοὺς ἐμοὺς ὀφθαλμοὺς ἐκέκτησο. Ἐγὼ δ' ἂν φαίην τοῦτο καὶ ἐπὶ τῶν λόγων, ἀλλ' εἴ τις ἔχοι πεπαιδευμένα ὦτα, ὥσπεροῦν οἱ χειρουργοὶ τεχνικὰ ὄμματα.

## ΚΕΦ. μή.

### Τίνας ὁ Ἀλέξανδρος ὑπώπτευεν.

Ὅτι ὁ Ἀλέξανδρος Πτολεμαίου τὸ δεξιὸν ὑφωρᾶτο, Ἀρρίου δὲ ἐδεδίει τὸ ἄτακτον, τό γε μὴν νεωτεροποιὸν Πύθωνος.

## ΚΕΦ. μθ'.

### Διὰ τί ὁ Φίλιππος τοὺς τῶν δοκιμωτάτων υἱοὺς περὶ τὴν ἑαυτοῦ θεραπείαν εἶχεν.

Ὅτι Φίλιππος τῶν ἐν Μακεδονίᾳ δοκιμωτάτων τοὺς υἱεῖς παραλαμβάνων, περὶ τὴν ἑαυτοῦ θεραπείαν εἶχεν, οὔτι που, φασὶν, ἐνυβρίζων αὐτοῖς, οὐδὲ διευτελίζων, ἀλλ' ἐκ τῶν ἐναντίων, καρτερικοὺς αὐτοὺς ἐκπονῶν, καὶ ἑτοίμους πρὸς τὸ τὰ δέοντα πράττειν ἀποφαίνων. Πρὸς δὲ τοὺς τρυφῶντας αὐτῶν, καὶ εἰς τὰ ἐπιταττόμενα ῥᾳθύμως ἔχοντας, διέκειτό, φασι, πολεμίως. Ἀφθόνητον γοῦν ἐμαστίγωσεν, ὅτι τὴν τάξιν ἐκλιπὼν ἐξετράπετο τῆς ὁδοῦ διψήσας, καὶ παρῆλθεν εἰς πανδοκέως. Καὶ Ἀρχέδαμον ἀπέκτεινεν, ὅτι, προστάξαντος αὐτοῦ ἐν τοῖς ὅπλοις συνέχειν ἑαυτὸν, ὅδε ἀπεδύσατο· ἤλπισε γὰρ διὰ τῆς κολακείας καὶ ὑποδρομῆς χειρώσασθαι τὸν βασιλέα, ἅτε ἀνὴρ ἥττων τοῦ κερδαίνειν ὤν.

ΤΗΣ ΑΙΛΙΑΝΟΥ ΠΟΙΚΙΛΗΣ ΙΣΤΟΡΙΑΣ ΤΕΛΟΣ.

# ΕΚ ΤΩΝ ΗΡΑΚΛΕΙΔΟΥ

## ΠΕΡΙ ΠΟΛΙΤΕΙΩΝ.

# ΗΡΑΚΛΙΔΟΥ ΒΙΟΣ,

## ΕΚ ΔΙΟΓΕΝΟΥΣ ΤΟΥ ΛΑΕΡΤΙΟΥ.

Ἡρακλείδης Εὐθύφρονος, Ἡρακλεώτης τοῦ Πόντου, ἀνὴρ πλούσιος. Ἀθήνησι δὲ παρέβαλε πρῶτον μὲν Σπευσίππῳ· ἀλλὰ καὶ τῶν Πυθαγορείων διήκουσε, καὶ τὰ Πλάτωνος ἐζηλώκει. Καὶ ὕστερον ἤκουσεν Ἀριστοτέλους, ὥς φησι Σωτίων ἐν Διαδοχαῖς. Οὗτος ἐσθῆτί τε μαλακῇ ἐχρῆτο, καὶ ὑπέρογκος ἦν τὸ σῶμα, ὥστε αὐτὸν ὑπὸ τῶν Ἀττικῶν μὴ Ποντικὸν, ἀλλὰ Πομπικὸν καλεῖσθαι. Πρᾶός τε ἦν τὸ βάδισμα καὶ σεμνός. Φέρεται δ' αὐτοῦ συγγράμματα κάλλιστά τε καὶ ἄριστα.....Καὶ ἐν ἅπασι ποικίλος τε καὶ διηρμένος τὴν λέξιν ἐστὶ, καὶ ψυχαγωγεῖν ἱκανῶς δυνάμενος. Δοκεῖ δὲ καὶ τὴν πατρίδα τυραννουμένην ἐλευθερῶσαι, τὸν μόναρχον κτείνας, ὥς φησι Δημήτριος ὁ Μάγνης ἐν Ὁμωνύμοις· ὃς καὶ τοιόνδε ἱστορεῖ περὶ αὐτοῦ. Θρέψαι αὐτὸν δράκοντα ἐκ νέου, καὶ αὐξηθέντα, ἐπειδὴ τελευτᾷν ἔμελλε, κελεῦσαί τινι τῶν πιστῶν αὐτοῦ τὸ σῶμα κατακρύψαι, τὸν δὲ δράκοντα ἐπὶ τῆς κλείνης θεῖναι, ἵνα δόξειεν εἰς θεοὺς μεταβεβηκέναι. Ἐγένετο δὲ ταῦτα· καὶ, μεταξὺ παραπεμπόντων τὸν Ἡρακλείδην τῶν πολιτῶν, καὶ εὐφημούντων ὁ δράκων, ἀκούσας τῆς ἐπιβοῆς, ἐξέδυ τῶν ἱματίων, καὶ διετάραξε τοὺς πλείστους. Ὕστερον μέντοι ἐξεκαλύφθη πάντα· καὶ ὤφθη Ἡρακλείδης οὐχ οἷος ἐδόκει, ἀλλ' οἷος ἦν........ Ταῦτα δέ φησι καὶ Ἱππόβοτος. Ἕρμιππος δὲ, λιμοῦ κατασχόντος τὴν χώραν, φησὶν αἰτεῖν τοὺς Ἡρακλεώτας τὴν Πυθίαν λύσιν. Τὸν δὲ Ἡρακλείδην διαφθεῖραι χρήμασι τούς τε

θεωροὺς καὶ τὴν προειρημένην, ὥστ' ἀνειπεῖν, ἀπαλλαγήσεσθαι τῶν κακῶν, εἰ ζῶν μὲν Ἡρακλείδης ὁ Εὐθύφρονος χρυσῷ ςεφάνῳ στεφανωθείη πρὸς αὐτῶν, ἀποθανὼν δὲ, ὡς ἥρως τιμῷτο· Ἐκομίσθη ὁ δῆθεν χρησμὸς, καὶ οὐδὲν ὤναντο οἱ πλάσαντες αὐτόν· αὐτίκα γὰρ ἐν τῷ θεάτρῳ στεφανούμενος ὁ Ἡρακλείδης, ἀπόπληκτος ἐγένετο, οἵ τε θεωροὶ κατακυλισθέντες διεφθάρησαν. Ἀλλὰ καὶ ἡ Πυθία, τὴν αὐτὴν ὥραν κατιοῦσα εἰς τὸ ἄδυτον, καὶ ἐπιστᾶσα, ἑνὶ τῶν δρακόντων δηχθεῖσα, παραχρῆμα ἀπέπνευσε. Καὶ τὰ μὲν περὶ τὸν θάνατον αὐτοῦ τοσαῦτα.....

## ΕΚ ΤΟΥ ΣΟΥΪΔΑ.

Ἡρακλείδης Εὔφρονος, φιλόσοφος, Ἡρακλείας τῆς ἐν Πόντῳ· τὸ δὲ γένος ἄνωθεν ἀπὸ Δάμιδος, ἑνὸς τῶν ἡγησαμένων τῆς εἰς Ἡράκλειαν ἐκ Θηβῶν ἀποικίας. Πλάτωνος γνώριμος· ἐκδημήσαντος δὲ Πλάτωνος εἰς Σικελίαν, προεςάναι τῆς σχολῆς κατελείφθη ὑπ' αὐτοῦ. Οὗτος καὶ δράκοντα ἔθρεψε καὶ ἡμέρωσε, καὶ εἶχε συνδιαιτώμενον αὐτῷ καὶ συγκαθεύδοντα· ὃς καὶ μόνος ἐπὶ τῆς κλίνης εὑρέθη, τοῦ Ἡρακλείδου κατακλιθέντος μὲν ὑγιοῦς, οὐχ εὑρεθέντος δέ. Καὶ ἄλλοι μὲν αὐτὸν ἀπηθανατίσθαι ἐνόμισαν· ἄλλοι δὲ ἐν φρέατι αὐτὸν ἐμβεβληκέναι, ὡς ἂν δόξῃ τοῖς ἀνθρώποις ἀπηθανατίσθαι. Ἔγραψε πολλά.

# ΕΚ ΤΩΝ ΗΡΑΚΛΕΙΔΟΥ

## ΠΕΡΙ ΠΟΛΙΤΕΙΩΝ.

### ά. ΑΘΗΝΑΙΩΝ.

ΑΘΗΝΑΪΟΙ τὸ μὲν ἐξ ἀρχῆς ἐχρῶντο βασιλείᾳ. Συνοικήσαντος δὲ Ἴωνος αὐτοῖς, τότε πρῶτον Ἴωνες ἐκλήθησαν. Πανδίων δὲ, βασιλεύσας μετ᾽ Ἐρεχθέα, διένειμε τὴν ἀρχὴν τοῖς υἱοῖς.

Καὶ διετέλουν οὗτοι στασιάζοντες. Θησεὺς δὲ ἐκήρυξε καὶ συνεβίβασε τούτους ἐπ᾽ ἴσῃ καὶ ὁμοίᾳ τιμῇ. Οὗτος ἐλθὼν εἰς Σκῦρον ἐτελεύτησεν, ὠσθεὶς κατὰ πετρῶν ὑπὸ Λυκομήδους, φοβηθέντος, μὴ σφετερίσηται τὴν νῆσον· Ἀθηναῖοι δὲ ὕστερον περὶ τὰ Μηδικὰ μετεκόμισαν αὐτοῦ τὰ ὀστᾶ.

Ἀπὸ δὲ Κοδριδῶν οὐκέτι βασιλεῖς ᾑροῦντο, διὰ τὸ δοκεῖν τρυφᾷν, καὶ μαλακοὺς γεγονέναι. Ἱππομένης δὲ, εἷς τῶν Κοδριδῶν, βουλόμενος ἀπώσασθαι τὴν διαβολὴν, λαβὼν ἐπὶ τῇ θυγατρὶ Λειμώνῃ μοιχὸν, ἐκεῖνον μὲν ἀνεῖλεν, ὑποζεύξας τῷ ἅρματι, τὴν δὲ ἵππῳ συνέκλεισεν, ἕως ἀπώλετο.

Τοὺς μετὰ Κύλωνος, διὰ τὴν τυραννίδα ἐπὶ τὸν βωμὸν τῆς θεοῦ πεφευγότας, οἱ περὶ Μεγακλέα ἀπέκτειναν.

Καὶ τοὺς δράσαντας ὡς ἐναγεῖς ἤλαυνον.

Σόλων νομοθέτης Ἀθηναίων, χρεῶν ἀποκοπὴν ἐποίησε, τὴν σεισάχθειαν λεγομένην· ὡς δὲ διώχλουν αὐτῷ τινες περὶ τῶν νόμων, ἀπεδήμησεν εἰς Αἴγυπτον.

Πεισίστρατος, τριάκοντα τρία ἔτη τυραννήσας, γηράσας ἀπέθανεν. Ἵππαρχος ὁ υἱὸς τοῦ Πεισιστράτου παιδιώδης ἦν, καὶ ἐρωτικὸς, καὶ φιλόμουσος· Θεσσαλὸς δὲ νεώτερος καὶ θρασύς. Τοῦτον τυραννοῦντα μὴ δυνηθέντες ἀνελεῖν, Ἵππαρχον ἀπέκτειναν τὸν ἀδελφὸν αὐτοῦ. Ἱππίας δὲ πικρότερον ἐτυράννει,

Καὶ τὸν περὶ ὀστρακισμοῦ νόμον εἰσηγήσαντο, ὃς ἐτέθη διὰ τοὺς τυραννιῶντας. Καὶ ἄλλοι τε ὠστρακίσθησαν, καὶ Ξάνθιππος καὶ Ἀριστείδης.

Ἐφιάλτης τοὺς ἰδίους ἀγροὺς ὀπωρίζειν παρεῖχε τοῖς βουλομένοις, ἐξ ὧν πολλοὺς ἐδείπνιζε.

Κλέων παραλαβὼν διέφθειρε τὸ πολίτευμα, καὶ ἔτι μᾶλλον οἱ μετ' αὐτὸν, οἳ πάντας ἀνομίας ἀνέπλησαν, καὶ ἀνεῖλον οὐκ ἐλάττους χιλίων πεντακοσίων. Τούτων δὲ καταλυθέντων, Θρασύβουλος καὶ Ῥίνων προέστησαν, ὃς ἦν ἀνὴρ καλὸς κἀγαθός.

Θεμιστοκλῆς καὶ Ἀριστείδης καὶ ἡ ἐξ Ἀρείου πάγου βουλὴ πολλὰ ἐδύναντο, καὶ τῶν ὁδῶν ἐπεμελοῦντο, ὅπως μή τινες ἀνοικοδομῶσιν αὐτὰς, ἢ δρυφάκτους ὑπερτείνωσιν.

Ὁμοίως δὲ καθιστᾶσι καὶ τοὺς ἕνδεκα, τοὺς ἐπιμελησομένους τῶν ἐν τῷ δεσμωτηρίῳ. Εἰσὶ δὲ καὶ ἐννέα ἄρχοντες· ὧν θεσμοθέται [ ἕξ ], καὶ οἱ δοκιμασθέντες ὀμνύουσι, δικαίως ἄρξειν, καὶ δῶρα μὴ λήψεσθαι, ἢ ἀνδριάντα χρυσοῦν ἀναθήσειν. Ὁ δὲ βασιλεὺς τὰ κατὰ τὰς θυσίας διοικεῖ· [ ὁ δὲ πολέμαρχος ταῦτά τε ] καὶ τὰ πολεμικά.

## β'. ΛΑΚΕΔΑΙΜΟΝΙΩΝ.

Τὴν Λακεδαιμονίων πολιτείαν τινὲς Λυκούργῳ προσάπτουσι πᾶσαν.

Ὁ δὲ Ἀλκμὰν οἰκέτης ἦν Ἀγησίδου, εὐφυὴς δὲ ὢν ἠλευθερώθη, καὶ ποιητὴς ἀπέβη.

Λυκοῦργος ἐν Σάμῳ ἐτελεύτησε.

Καὶ τὴν Ὁμήρου ποίησιν, παρὰ τῶν ἀπογόνων Κρεωφύλου λαβὼν, πρῶτος διεκόμισεν εἰς Πελοπόννησον. Καταλαβὼν δὲ πολλὴν ἀνομίαν ἐν τῇ πατρίδι, καὶ τὸν Χάριλλον τυραννικῶς ἄρχοντα μετέστησε, καὶ κοινὸν ἀγαθὸν τὰς ἐκεχειρίας κατέστησε. Λέγεται δὲ καὶ τὴν κρυπτὴν εἰσηγήσασθαι, καθ' ἣν ἔτι καὶ νῦν ἐξιόντες ἡμέρας κρύπτονται· τὰς δὲ νύκτας μεθ' ὅπλων ἐκρήττονται, καὶ ἀναιροῦσι τῶν Εἱλώτων ὅσους ἂν ἐπιτήδειον ᾖ.

Καθιστᾶσι δὲ καὶ Ἐφόρους, καὶ μέγιστον οὗτοι δύνανται·

οὐδενὶ γὰρ ὑπανίστανται, πλὴν Βασιλεῖ καὶ Ἐφόρῳ. Ὅταν δὲ τελευτήσῃ Βασιλεὺς, τρεῖς ἡμέρας οὐδὲν πωλεῖται, καὶ ἀχύροις ἡ ἀγορὰ καταπάσσεται.

Λακεδαιμόνιοι τὸν Λέσβιον ᾠδὸν ἐτίμησαν· τούτου γὰρ ἀκούειν ὁ θεὸς χρησμῳδουμένοις ἐκέλευε.

Πωλεῖν δὲ γῆν Λακεδαιμονίοις αἰσχρὸν νενόμισται· τῆς [γὰρ] ἀρχαίας μοίρας ἀνανέμεσθαι οὐδὲν ἔξεστι.

Τῶν ἐν Λακεδαίμονι γυναικῶν κόσμος ἀφῄρηται· οὐδὲ κομᾷν ἔξεστιν, οὐδὲ χρυσοφορεῖν. Τρέφουσι δὲ τὰ τέκνα, ὥςε μηδέποτε πληροῦν, ἵνα ἐθίζωνται δύνασθαι πεινῆν. Ἐθίζουσι δὲ αὐτοὺς καὶ κλέπτειν, καὶ τὸν ἁλόντα κολάζουσι πληγαῖς, ἵν' ἐκ τούτου πονεῖν καὶ ἀγρυπνεῖν δύνωνται ἐν τοῖς πολέμοις. Μελετῶσι δὲ ἐκ παίδων εὐθὺς βραχυλογεῖν, εἶτα ἐμμελῶς καὶ σκώπτειν καὶ σκώπτεσθαι. Εὐτελεῖς δὲ ταφαὶ, καὶ ἴσαι πᾶσίν εἰσι. Πέττει δὲ ἐν αὐτοῖς σῖτον οὐδείς· οὐδὲ γὰρ ἄλευρα κομίζουσι, σιτοῦνται δὲ ἄλφιτον.

Ὅτι τοὺς Εἵλωτας κατεδουλώσαντό ποτε Λακεδαιμόνιοι· Θετταλοὶ δὲ τοὺς Πενέστας.

Ὅτι, ὅτε Λακεδαιμόνιοι Μεσσηνίοις ἐπολέμουν, αἱ γυναῖκες, ἀπόντων τούτων, παῖδάς τινας ἐγέννησαν, οὓς ἐν ὑποψίαις εἶχον οἱ πατέρες, ὡς οὐκ ὄντας αὐτῶν, καὶ Παρθενίας ἐκάλουν· οἱ δ' ἠγηνάκτουν.

## γ'. ΚΡΗΤΩΝ.

Τὴν Κρητικὴν πολιτείαν λέγεται πρῶτος καταστῆσαι Μίνως, πρακτικός τε ἅμα καὶ νομοθέτης σπουδαῖος γενόμενος, ἐποιεῖτο δὲ δι' ἐννάτου ἔτους τὴν ἐπανόρθωσιν τῶν νόμων. Ὅτι δὲ ἀρχαιοτάτη τῶν πολιτειῶν ἡ Κρητικὴ, ἐμφαίνει καὶ Ὅμηρος, λέγων τὰς πόλεις αὐτῶν εὖ ναιεταώσας· καὶ Ἀρχίλοχος, ἐν οἷς ἐπισκώπτων τινά φησι,

. . . Νόμους δὲ Κρητικοὺς διδάσκεται.

Οἱ παῖδες οἱ ἐν Κρήτῃ μετ' ἀλλήλων διαιτῶνται, ἑνὶ ἱματίῳ

θέρους καὶ χειμῶνος [χρώμενοι]. Ἀθροίζονται δὲ Ἀγέλαι τούτων, καὶ ἐφ' ἑκάστης ἄρχων γίνεται, ὃν καλοῦσιν Ἀγελάτην· καὶ ἀθροίζει αὐτοὺς, ὅπου θέλει, καὶ ἐπὶ θήραν ἐξάγει. Καὶ τὰ πολλὰ κοιμῶνται μετ' ἀλλήλων. Ποιοῦνται δὲ καὶ μάχας κατὰ νόμον πύξ τε καὶ ξύλοις, καὶ ὅταν συμβάλλωνται, αὐλοῦσί τινες αὐτοῖς καὶ κιθαρίζουσι. Καὶ πρὸς ἀνδρίαν καὶ καρτερίαν ἐθίζονται. Γράμματα δὲ μόνον παιδεύονται, καὶ ταῦτα μετρίως. Ταῖς δὲ πρὸς τοὺς ἄῤῥενας ἐρωτικαῖς ὁμιλίαις ἐοίκασι πρῶτοι κεχρῆσθαι, καὶ οὐκ αἰσχρὸν παρ' αὐτοῖς τοῦτο. Ὅταν δὲ κρατήσωσιν, ἀπάγουσιν εἰς ὄρος, ἢ τοὺς ἑαυτῶν χώρους, κἀκεῖ ἑστιῶνται ἡμέρας ἑξήκοντα (πλείους γὰρ οὐκ ἔξεστι)· καὶ δίδωσιν ὁ φιλήτωρ ἐσθῆτα, καὶ ἄλλα δῶρα, καὶ βοῦν. Διαιτῶνται δὲ Κρῆτες πάντες καθήμενοι θρόνοις. Ἄρχονται δὲ τῶν παρατιθεμένων ὑπὸ τῶν ξένων. Μετὰ δὲ τοὺς ξένους τῷ Ἄρχοντι διδόασι τέσσαρας μοίρας· μίαν μὲν, ἣν καὶ τοῖς ἄλλοις, δευτέραν δὲ ἀρχικὴν, τρίτην δὲ τοῦ οἴκου, τετάρτην δὲ τῶν σκευῶν. Καθόλου δὲ πολλὴ φιλανθρωπία τοῖς ξένοις ἐστὶν ἐν Κρήτῃ, καὶ εἰς προεδρίαν καλοῦνται.

## δ'. ΚΥΡΗΝΑΙΩΝ.

Κυρήνην ᾤκισε Βάττος, ὃς ἐκαλεῖτο πρότερον Ἀριστοτέλης· τῆς δὲ Πυθίας Βάττον αὐτὸν εἰπούσης, ὄνομα τοῦτο ἔσχηκεν. Οὗτος ἦλθεν εἰς Δελφοὺς περὶ τῆς φωνῆς πευσόμενος· ἦν γὰρ ἰσχνόφωνος. Τοῦ δὲ θεοῦ κελεύοντος κτίζειν Λιβύην, τὸ μὲν πρῶτον ὁρμήσας ἠδυνάτησε. . . .

Φερετίμη δὲ, ἡ μήτηρ Ἀρκεσιλάου, ἐβασίλευσε χαλεπὴ καὶ περίεργος. Πολεμοῦσα γοῦν πρὸς Βαρκαίους, λαβοῦσα δὲ τὴν Βάρκην, τοὺς μὲν ἄνδρας ἀνεσκολόπισε, τῶν δὲ γυναικῶν τοὺς μαστοὺς ἐξέτεμε· μετ' οὐ πολὺ δὲ ζῶσα κατεσάπη.

Βάττος δὲ ἐβασίλευσεν ὁ καλὸς, ἕβδομος ὢν ἀπὸ τοῦ πρώτου.

Ἀρκεσιλάου δὲ βασιλεύοντος, λευκὸς κόραξ ἐφάνη, περὶ οὗ

λόγιον

λόγιον ἦν χαλεπόν. Δημοκρατίας δὲ γενομένης, Βάττος εἰς Ἑσπερίδας ἐλθὼν ἀπέθανε· καὶ τὴν κεφαλὴν αὐτοῦ λαβόντες κατεπόντισαν.

Νόμος δὲ ἦν τοὺς πολυδίκους καὶ κακοπράγμονας ὑπὸ τῶν Ἐφόρων προάγεσθαι, καὶ ζημιοῦν τούτους, καὶ ἀτίμους ποιεῖν.

## ε'. ΚΟΡΙΝΘΙΩΝ.

Κόρινθος Ἔφυρα πρότερον ἐκαλεῖτο μέχρι Κορίνθου, ἀφ' οὗ τοὔνομα ἔσχεν. Ἐβασίλευσε δὲ καὶ Βάκχις ὁ τρίτος, χωλὸς καὶ εὐτελὴς τὴν ὄψιν, καλῶς δὲ ἄρχων καὶ πολιτικῶς· ᾧ θυγατέρες μὲν τρεῖς, υἱοὶ δὲ ἑπτά, οἳ τὸ γένος οὕτως ηὔξησαν, ὥστε Βακχιάδας ἀντὶ Ἡρακλειδῶν καλεῖσθαι τοὺς ἀπ' αὐτῶν. Περίανδρος δὲ πρῶτος μετέστησε τὴν ἀρχὴν, δορυφόρους ἔχων, καὶ οὐκ ἐπιτρέπων ἐν ἄστει ζῆν, ἔτι δὲ δούλων κτῆσιν καὶ τρυφὴν ὅλως περιαιρῶν. Μέτριος δὲ ἦν ἐν ἄλλοις, τῷ τε μηδένα τέλος πράσσεσθαι, ἀρκεῖσθαί τε τοῖς ἀπὸ τῆς ἀγορᾶς, καὶ τῶν λιμένων, καὶ τῷ μήτε ἄδικος, μήτε ὑβριστικὸς εἶναι. Μισοπόνηρος δε [ ὢν ], τὰς προαγωγοὺς πάσας κατεπόντισε. Βουλὴν δὲ ἐπ' ἐσχάτων κατέστησεν, οἳ οὐκ ἐφίεσαν δαπανᾷν πλέον ἢ κατὰ τὰς προσόδους.

## ϛ'. ΗΛΕΙΩΝ.

Πανταλέων ἐβασίλευσεν ἐν τούτοις, ὑβριστὴς καὶ χαλεπός. Οὗτος πρέσβεις πρὸς αὐτὸν ἐλθόντας ἐκτεμὼν ἠνάγκασε καταφαγεῖν τοὺς ὄρχεις.

## ζ'. ΤΕΝΕΔΙΩΝ.

Τένεδος ἡ νῆσος τὸ μὲν ἐξ ἀρχῆς Λεύκοφρυς ἐκαλεῖτο, χρόνῳ δὲ ὕστερον, πρὸ τῶν Τρωϊκῶν, Τέννης, διενεχθεὶς πρὸς τὸν πατέρα, συνῴκισεν αὐτήν. Λέγεται δὲ, καταψευσαμένης αὐτοῦ τῆς μητρυιᾶς, καταμαρτυρήσαντος αὐλητοῦ τινος βιάζεσθαι ταύτην, εἰς λάρνακα ἐμβληθεὶς ὑπὸ τοῦ πατρὸς Κύκνου, καὶ εἰς θάλασσαν ῥιφθεὶς, διασωθῆναι πρὸς τὴν

νῆσον· διὰ δὲ τὸ καταψεύσασθαι τὸν αὐλητὴν, οὐ νόμιμον εἰς τὸ ἱερὸν αὐλητὴν εἰσιέναι.

Ὅτι Ἀμαυρὸς, χωλὸς τοὺς πόδας, ἐβασίλευσε ταύτης.

Νόμον δέ τινά φασι τὸν βασιλέα Τέννην διαθέσθαι· εἴτις λάβοι μοιχὸν, ἀποκτείνειν τοῦτον πελέκει. Ἁλόντος δὲ τοῦ υἱοῦ αὐτοῦ, καὶ τοῦ λαβόντος ἐρομένου τὸν βασιλέα, τί χρὴ ποιεῖν, ἀποκρίνασθαι, Τῷ νόμῳ χρῆσθαι. Καὶ διὰ τοῦτο τοῦ νομίσματος αὐτοῦ ἐπὶ θάτερα πέλεκυς κεχάρακται, ἐπὶ θάτερα δὲ ἐξ ἑνὸς αὐχένος πρόσωπον ἀνδρὸς καὶ γυναικός. Καὶ ἐκ τούτου λέγεται ἐπὶ τῶν ἀποτόμων τὸ, Ἀποκεκόφθαι Τενεδίῳ πελέκει.

## ή. ΠΑΡΙΩΝ.

Πάρον τὴν νῆσον ᾤκισε Πάρος, ἐξ Ἀρκαδίας λαὸν ἄγων.

Ἀρχίλοχον τὸν ποιητὴν Κόραξ ὄνομα ἔκτεινε, πρὸς ὅν φασιν εἰπεῖν τὴν Πυθίαν, Ἔξιθι νηοῦ. Τοῦτον δὲ εἰπεῖν, Ἀλλὰ καθαρός εἰμι, ἄναξ· ἐν χειρῶν γὰρ νόμῳ ἔκτεινα.

## θ΄. ΚΕΙΩΝ.

Ἐκαλεῖτο μὲν Ὑδροῦσσα ἡ νῆσος. Λέγονται δὲ οἰκῆσαι νύμφαι πρότερον αὐτήν· φοβήσαντος δ' αὐτὰς λέοντος, εἰς Κάρυστον διαβῆναι. Διὸ καὶ ἀκρωτήριον τῆς Κέω Λέων καλεῖται. Κέως δ' ἐκ Ναυπάκτου διαβὰς ᾤκισε, καὶ ἀπ' αὐτοῦ ταύτην ὠνόμασαν.

Ἀρισταῖον δέ φασι μαθεῖν παρὰ νυμφῶν τὴν τῶν προβάτων καὶ βοῶν ἐπιστήμην, παρὰ δὲ Βρισῶν τὴν μελιττουργίαν, φθορᾶς οὔσης φυτῶν καὶ ζώων, διὰ τὸ μὴ πνεῖν ἐτησίας.

Ἀριστείδης ἐπεμελεῖτο γυναικῶν εὐκοσμίας. Καὶ τὸ παλαιὸν ὕδωρ ἔπινον οἱ παῖδες, καὶ αἱ κόραι μέχρι γάμου.

Ἐν ταύτῃ τῇ νήσῳ τοῖς τελευτῶσιν οὐδέν ἐστι πένθος ἐν ἀνδράσι περὶ ἐσθῆτα ἢ κουράν· μητρὶ δὲ, νέου τελευτήσαντος, ἐνιαυτός. Οὔσης δὲ ὑγιεινῆς τῆς νήσου, καὶ εὐγήρων τῶν ἀνθρώπων, μάλιστα δὲ τῶν γυναικῶν, οὐ περιμένουσι

γεραιοὶ τελευτὴν, ἀλλὰ πρὶν ἀσθενῆσαι, ἢ πηρωθῆναί τι, οἱ μὲν μήκωνι, οἱ δὲ κωνείῳ ἑαυτοὺς ἐξάγουσι.

## ί. ΣΑΜΙΩΝ.

Σάμον τὸ μὲν ἐξ ἀρχῆς, ἐρήμην οὖσαν, λέγεται κατέχειν πλῆθος θηρίων, μεγάλην φωνὴν ἀφιέντων· ἐκαλοῦντο δὲ τὰ θηρία Νηΐδες, ἡ δὲ νῆσος Παρθενία, ὕστερον δὲ Δρυοῦσσα.

Ἐβασίλευσεν αὐτῶν Ἀγκαῖος, ἀφ' οὗ, Πολλὰ μεταξὺ πέλει κύλικος καὶ χείλεος ἄκρου, παροιμία ἐῤῥέθη.

Ὅτι ἐν τοῖς Σαμίοις ἐφάνη λευκὴ χελιδὼν οὐκ ἐλάττων πέρδικος.

Φερεκύδης ὁ Σύριος, ὑπὸ φθειρῶν καταβρωθεὶς, ἐν Σάμῳ ἐτελεύτησεν, ὅτε καὶ ἐλθόντι Πυθαγόρᾳ τὸν δάκτυλον διὰ τῆς ὀπῆς ἔδειξε περιεψιλωμένον.

Αἴσωπος δὲ ὁ λογοποιὸς εὐδοκίμει τότε. Ἦν δὲ Θρᾷξ τὸ γένος, ἠλευθερώθη δὲ ὑπὸ Ἴδμονος τοῦ κωφοῦ, ἐγένετο δὲ πρῶτον Ξάνθου δοῦλος.

Τὴν δὲ πολιτείαν τῶν Σαμίων Συλοσῶν ἠρήμωσεν, ἀφ' οὗ καὶ ἡ παροιμία, Ἕκητι Συλοσῶντος εὐρυχωρίη.

Ὅτι Θεαγένης τῶν Σαμίων τις, εὐφυὴς μὲν, ἄλλως δὲ ἄσωτος καὶ πονηρὸς, φεύγων τὴν πατρίδα, διατρίβων δὲ Ἀθήνησι παρ' Εὐριπίδῃ, καὶ τὸ γύναιον αὐτοῦ διαφθείρων, συνεργὸν αὐτὸν λαβὼν, πείθει τοὺς Ἀθηναίους δισχιλίους εἰς Σάμον ἀποστεῖλαι· οἱ δὲ, ἐλθόντες πάντας ἐξέβαλον.

## ιά. ΚΥΜΑΙΩΝ.

Τηλεφάνης ἐβασίλευσε ταύτης, ὃς ἐξεφύτευσε τὴν Κυμαίων χώραν. Λυδοὶ δὲ χαλεπῶς δεσποζόμενοι πρός τινος, πυθόμενοι ἐν Κύμῃ εἶναί τινα, ἔπεμψαν εἰς βασιλείαν καλοῦντες· οὗτος δὲ ἐτύγχανεν ἐν ἁμαξοπηγοῦ δουλεύων. Δόντες οὖν οἱ Λυδοὶ λύτρα τούτῳ παρέλαβον αὐτόν. Τῶν δὲ ἐν Κύμῃ τὶς, ἐκδεδωκὼς ἅμαξαν αὐτῷ, κατεῖχεν αὐτόν· παρακαλούντων δὲ πολλῶν μὴ κωλύειν, οὐκ εἴα, προσεπι-

κερτομῶν, καὶ λέγων περὶ πολλοῦ ποιεῖσθαι ὑπὸ τοῦ Λυδῶν βασιλέως εἰργασμένην ἔχειν ἅμαξαν.

Ἑρμοδίκην, γυναῖκα τοῦ Φρυγῶν βασιλέως Μίδου, φασὶ κάλλει διαφέρειν, ἀλλὰ καὶ σοφὴν εἶναι, καὶ τεχνικὴν, καὶ πρώτην νόμισμα κόψαι Κυμαίοις.

Ἔθος δὲ ἦν αὐτοῖς εἰς τὰ κλοπιμαῖα συμβάλλεσθαι τοὺς γείτονας. Διὸ καὶ ὀλίγα ἀπώλλυντο· πάντες γὰρ ὁμοίως ἐτήρουν. Καὶ Ἡσίοδος ἐντεῦθεν δοκεῖ λέγειν,

Οὐδ' ἂν βοῦς ἀπόλοιτ', εἰ μὴ γείτων κακὸς εἴη.

Κῦρος δὲ, καταλύσας τὴν πολιτείαν, μοναρχεῖσθαι αὐτοὺς ἐποίησεν.

Φείδων, ἀνὴρ δόκιμος, πλείοσι μετέδωκε τῆς πολιτείας, νόμον θεὶς, ἕκαστον ἐπάναγκες τρέφειν ἵππον. Προμηθεὺς δέ τις, ἀνὴρ δραστήριος καὶ ἱκανὸς εἰπεῖν, χιλίοις παρέδωκε τὴν πολιτείαν.

## ιϐʹ. ΕΡΕΤΡΙΕΩΝ.

Διαγόρᾳ εἰς Σπάρτην πορευομένῳ, καὶ ἐν Κορίνθῳ τελευτήσαντι, Ἐρετριεῖς εἰκόνα ἔστησαν.

## ιγʹ. ΠΕΠΑΡΗΘΙΩΝ.

Αὕτη ἡ νῆσος εὔοινός ἐστι καὶ εὔδενδρος, καὶ σῖτον φέρει.

## ιδʹ. ΛΕΠΡΕΑΤΩΝ.

Λεπρεεῖς, οὓς ἂν λάβωσι μοιχοὺς, περιάγωσι τρεῖς ἡμέρας τὴν πόλιν δεδεμένους, καὶ ἀτιμοῦσι διὰ βίου· τὴν δὲ γυναῖκα ἕνδεκα ἐπ' ἀγορᾶς ἄζωστον ἐν χιτῶνι διαφανεῖ ἱστᾶσι, καὶ ἀτιμοῦσι.

## ιέ. ΛΥΚΙΩΝ.

Λύκιοι διῆγον λῃστεύοντες. Νόμοις οὐ χρῶνται, ἀλλ' ἔθεσι, καὶ ἐκ παλαιοῦ γυναικοκρατοῦνται. Πωλοῦσι δὲ τοὺς ψευδομάρτυρας, καὶ τὰς οὐσίας αὐτῶν δημεύουσι.

ιϛ'. ΤΥΡΡΗΝΩΝ.

Οὗτοι τέχνας ἔχουσι πλείστας. Πάντες δὲ ὑπὸ τῷ αὐτῷ ἱματίῳ μετὰ τῶν γυναικῶν κατάκεινται, κἂν παρῶσί τινες. Καὶ τοὺς καταλύοντας ξένους φιλοῦσιν. Ὅταν δέ τις ὀφείλων χρέος μὴ ἀποδιδῷ, παρακολουθοῦσιν οἱ παῖδες, ἔχοντες κενὸν θυλάκιον εἰς δυσωπίαν.

ιζ'. ΜΟΛΟΤΤΩΝ.

Μολοττοὶ, τῆς Ἀρτέμιδος συλήσαντες τὸ ἱερὸν, καὶ τοῦ ξοάνου χρυσοῦν ἀφελόμενοι στέφανον, θυσίαν ἔθεσαν ἀντ' αὐτοῦ. Τῶν δὲ Κεφαλλήνων ἄλλον ἐπιθέντων, τοῦτον ἀπέϐαλεν ἡ θεὸς, καὶ χαμαὶ κείμενος εὑρέθη. Κεφαλλῆνες δὲ ἀπὸ τοῦ Κεφάλου ἐκλήθησαν.

ιή. ΦΑΣΙΑΝΩΝ.

Φάσιν ὡς τὸ ἐξ ἀρχῆς Ἡνίοχοι κατῴκουν, φῦλον ἀνθρωποφάγον, καὶ ἐκδέρον τοὺς ἀνθρώπους· ἔπειτα Μιλήσιοι. Φιλόξενοι δέ εἰσιν, ὥστε τοὺς ναυαγοὺς ἐφοδιάζειν, καὶ τρεῖς μνᾶς διδόντας ἀπολύειν.

ιθ'. ΑΜΟΡΓΙΩΝ.

Ἀμοργὸς οἶνον φέρει πολὺν, καὶ ἔλαιον, καὶ ὀπώραν.

κ'. ΛΕΥΚΑΝΩΝ.

Λευκανοὶ φιλόξενοι καὶ δίκαιοι. Ἐϐασίλευσε δὲ τούτων Δαμίσκος, ὃς εἶχε λύκου τὸν τρίτον δάκτυλον τοῦ ποδὸς ἀπὸ τοῦ μεγάλου.

κά. ΣΑΜΟΘΡΑΚΗ.

Ἡ Σαμοθράκη τὸ μὲν ἐξ ἀρχῆς ἐκαλεῖτο Λευκανία, διὰ τὸ λευκὴ εἶναι· ὕστερον δὲ, Θρακῶν κατασχόντων, Θρακία. Τούτων δὲ ἐκλιπόντων, ὕστερον ἔτεσιν ἑπτακοσίοις, Σάμιοι κατῴκησαν αὐτὴν, ἐκπεσόντες τῆς οἰκείας, καὶ Σαμοθράκην ἐκάλεσαν.

## κβ'. ΜΑΓΝΗΤΩΝ.

Οὗτοι δὲ ὑπερβολὴν ἀτυχημάτων πολλὰ ἐκακώθησαν. ὅθεν καὶ Ἀρχίλοχός φησι,

Κλαίω θαλασσῶν, οὐ τὰ Μαγνήτων κακά.

Ἱπποτρόφοι δ' εἰσὶν, ὃν τρόπον καὶ οἱ Κολοφώνιοι, πεδιάδα χώραν ἔχοντες.

Φάμις ἄρχων ἦν, καὶ τούτου τοὺς υἱοὺς ὡς ἱεροσύλους συνέλαβον θύοντας. Ὅ φασι καὶ περὶ Αἴσωπον γενέσθαι· καὶ γὰρ ἐκεῖνος ἐπὶ ἱεροσυλίᾳ διεφθάρη, φιάλης χρυσῆς φωραθείσης ἐν τοῖς στρώμασιν αὐτοῦ.

## κγ'. ΑΘΑΜΑΝΩΝ.

Ἐν τῇ Ἀθαμάνων χώρᾳ γεωργοῦσι μὲν αἱ γυναῖκες, νέμουσι δὲ οἱ ἄνδρες.

## κδ'. ΚΥΘΗΡΙΩΝ.

Κυθήριοι ὄψῳ τυρῷ χρῶνται, καὶ σύκοις· φέρει γὰρ ἡ νῆσος πολλὰ, καὶ μέλι καὶ οἶνον. Φιλάργυροι δέ εἰσι καὶ φιλόπονοι.

## κε. ΡΗΓΙΝΩΝ.

Ῥήγιον ᾤκισαν Χαλκιδεῖς οἱ ἀπ' Εὐρίπου διὰ λιμὸν ἀναστάντες· παρέλαβον δὲ καὶ ἐκ Πελοποννήσου τοὺς Μεσσηνίους, τοὺς ἐν Μακίστῳ τυχόντας διὰ τὴν ὕβριν τῶν Σπαρτιάδων παρθένων. Καὶ συνῴκισαν πρῶτον περὶ τὸν Ἰοκάςου τάφον, ἑνὸς τῶν Αἰόλου παίδων, ὅν φασιν ἀποθανεῖν πληγέντα ὑπὸ δράκοντος. Καὶ χρησμὸν ἔλαβον, Ὅπου ἂν ἡ θήλεια τὸ ἄῤῥεν· καὶ ἰδόντες πρίνῳ περιπεφυκυῖαν ἄμπελον, τοῦτον εἶναι τὸν τόπον συνῆκαν. Τὸ δὲ χωρίον, ἐν ᾧ τὴν πόλιν ᾤκισαν, Ῥήγιον ἐκαλεῖτο ἀπό τινος ἐγχωρίου ἥρωος. Πολιτείαν δὲ κατεςήσαντο ἀριςοκρατικήν· χίλιοι γὰρ πάντα διοικοῦσιν, αἱρετοὶ ἀπὸ τιμημάτων. Νόμοις δὲ ἐχρῶντο τοῖς Χαρώνδου τοῦ Καταναίου. Ἐτυράννησε δὲ αὐτῶν Ανα-

ξίλας Μεσσήνιος· καὶ, νικήσας Ὀλύμπια ἡμιόνοις, εἱστίασε τοὺς Ἕλληνας· καί τις αὐτὸν ἐπέσκωψεν εἰπὼν, Οὗτος τί ἂν ἐποίει νικήσας ἵπποις; Ἐποίησε δὲ καὶ ἐπινίκιον Σιμωνίδης,

Χαίρετ' ἀελλοπόδων θύγατρες ἵππων.

Ἦσαν δὲ καὶ ἄλλοι δυναστευτικοὶ παρὰ τοῖς Ῥηγίνοις.

## κϛ'. ΚΟΡΚΥΡΑΙΩΝ.

Κορκυραῖοι Διομήδην ἐπεκαλέσαντο, καὶ τὸν παρ' αὐτοῖς δράκοντα ἀπέκτεινεν· οἷς καὶ συνεμάχησε στόλῳ πολλῷ, εἰς Ἰαπυγίαν ἐλθὼν πολεμοῦσαν πρὸς τοὺς Βρεντησίους, καὶ τιμῶν ἔτυχεν.

## κζ'. ΘΡᾼΚΩΝ.

Γαμεῖ ἕκαστος τρεῖς καὶ τέσσαρας, εἰσὶ δὲ οἳ καὶ τριάκοντα· καὶ ὡς θεραπαίναις χρῶνται. Καὶ ἐκ περιόδου σύνεισιν αὐταῖς, καὶ λούει καὶ διακονεῖ. Καὶ πλεῖσται μετὰ τὴν χρῆσιν χαμαὶ κοιμῶνται. Κἂν δυσχεραίνῃ τις, οἱ γονεῖς ἀποδόντες ὃ ἔλαβον, ἀπεκομίσαντο τὴν θυγατέρα· τιμὴν γὰρ λαμβάνοντες συνάπτουσιν αὐτάς. Καὶ ἀποθανόντος τοῦ ἀνδρὸς, ὥσπερ τἄλλα, οὕτω καὶ τὰς γυναῖκας κληρονομοῦσι.

## κη'. ΜΙΝΩΩΝ.

Μινώαν τὴν ἐν Σικελίᾳ, Μακάραν ἐκάλουν πρότερον. Ἔπειτα Μίνως, ἀκούων Δαίδαλον ἐνταῦθα μετὰ στόλου παραγεγονέναι, ἀναβὰς ἐπὶ τὸν Ἅλυκον ποταμὸν, τῆς πόλεως ταύτης ἐκυρίευσε· καὶ νικήσας τοὺς βαρβάρους, ἀφ' ἑαυτοῦ προσωνόμασεν αὐτὴν, νόμους κρητικοὺς θεὶς αὐτῇ.

## κθ'. ΛΟΚΡΩΝ.

Ἐγένετο Λοκρὸς Ξενόκριτος, τυφλὸς ἐκ γενετῆς ποιητὴς, καὶ Ἐράσιππος.

Παρ' αὐτοῖς ὀδύρεσθαι οὐκ ἔστιν ἐπὶ τοῖς τελευτήσασιν, ἀλλ' ἐπειδὰν ἐκκομίσωσιν, εὐωχοῦνται. Καπηλεῖον οὐκ ἔστι μεταβολικὸν ἐν αὐτοῖς, ἀλλ' ὁ γεωργὸς πωλεῖ τὰ ἴδια.

Ἐὰν ἁλῷ τις κλέπτων, τοὺς ὀφθαλμοὺς ἐξορύττεται. Ζαλεύκου υἱὸς ἑάλω, καὶ, τῶν Λοκρῶν αὐτὸν ἀφιέντων, οὐχ ὑπέμεινεν, αὐτοῦ δὲ ἕνα καὶ τοῦ υἱοῦ ἕνα ἐξεῖλεν.

Πολέμαρχος ἐπιορκήσας τὸν τῶν Κορινθίων ἀπέφυγε στόλον. Καὶ μυθολογοῦσιν, ὅτε καθεύδοι νύκτωρ, τὰς γαλᾶς δάκνειν αὐτὸν, καὶ τέλος διαποροῦντα ἑαυτὸν ἀνελεῖν.

## λ΄. ΧΑΛΚΙΔΕΩΝ.

Κατῴκισαν δὲ καὶ Κλεωνὰς Χαλκιδεῖς οἱ ἐν τῷ Ἄθῳ, ἐξαναστάντες ἐξ Ἐλυμνίου, ὡς μὲν μυθολογοῦσιν, ὑπὸ μυῶν, οἳ τά τ᾽ ἄλλα κατήσθιον αὐτῶν καὶ τὸν σίδηρον. Νόμος δὲ ἦν Χαλκιδεῦσι μὴ ἄρξαι, μηδὲ πρεσβεῦσαι, νεώτερον ἐτῶν πεντήκοντα.

## λά. ΚΕΦΑΛΛΗΝΙΩΝ.

Ἐν Κεφαλληνίᾳ Προμνήσου υἱὸς ἐκράτησε, καὶ χαλεπὸς ἦν, καὶ ἑορτὰς πλέον δυοῖν οὐκ ἐπέτρεπεν, οὐδ᾽ ἐν πόλει διαιτᾶσθαι πλέον ἡμερῶν δέκα τοῦ μηνός. Τάς τε κόρας πρὸ τοῦ γαμίσκεσθαι, αὐτὸς ἐγίνωσκεν. Ἀντήνωρ δὲ, λαβὼν ξιφίδιον, καὶ γυναικεῖαν ἐσθῆτα ἐνδυσάμενος, εἰς τὴν κοίτην ἀπέκτεινε· καὶ ὁ δῆμος αὐτὸν ἐτίμησε, καὶ ἡγεμόνα κατέστησε· καὶ ἡ κόρη, ὑπὲρ ἧς αὐτὸς εἰσῄει, ἐπικλεὴς ἐγένετο.

Μαρτυρεῖ δὲ καὶ ἐκ Τυῤῥηνίας Ὅμηρος παραβαλεῖν εἰς Κεφαλληνίαν καὶ Ἰθάκην, ὅτε τοὺς ὀφθαλμοὺς λέγεται διαφθαρῆναι νοσήσας.

## λϐ΄. ΡΟΔΟΣ.

Ῥόδον τὴν νῆσον τὸ παλαιὸν κεκρύφθαι λέγουσιν ὑπὸ τῆς θαλάσσης, ἀναφανῆναι δὲ ὕστερον ξηρανθεῖσαν. Ἐκαλεῖτο δὲ Ὀφιοῦσσα, διὰ τὸ πλῆθος τῶν ἐνόντων ὄφεων.

## λγ΄. ΕΦΕΣΟΣ.

Ἔφεσον κληθῆναί φασιν ἀπὸ μιᾶς τῶν Ἀμαζόνων· οἱ δὲ, ἀπὸ τοῦ τὸν Ἡρακλέα ταῖς Ἀμαζόσιν ἐφεῖναι τὰ ἀπὸ Μυκάλης ἕως Πιτάνης.

## λδ'. ΦΩΚΕΑ.

Φώκεαν οἱ μὲν ἀπὸ Φώκου ἡγεμόνος ὠνόμασαν, οἱ δὲ, ὅτι φώκην εἰς τὸ ξηρὸν εἶδον ἐκβαίνουσαν.

## λέ. ΚΡΟΤΩΝ.

Κρότωνα ἐξ ἀρχῆς Κρότων ᾤκισεν.

## λς'. ΑΚΡΑΓΑΝΤΙΝΩΝ.

Ἀκραγαντίνων Φάλαρις ἐτυράννησε, παρανομίᾳ πάντας ὑπερβάλλων· οὐ γὰρ μόνον ἐφόνευε πολλοὺς, ἀλλὰ καὶ τιμωρίαις παρανόμοις ἐχρήσατο. Καὶ τοὺς μὲν εἰς λέβητας ζέοντας, τοὺς δὲ εἰς τοὺς κρατῆρας τοῦ πυρὸς ἀπέστελλε, τοὺς δὲ καὶ εἰς χαλκοῦν ταῦρον ἐμβαλὼν κατέκαιεν. Ὅνπερ ὁ δῆμος ἐτιμωρήσατο· ἐνέπρησε δὲ καὶ τὴν μητέρα, καὶ τοὺς φίλους. Μεθ' ὃν Ἀλκμάνης παρέλαβε τὰ πράγματα· καὶ μετὰ τοῦτον Ἄλκανδρος προέστη, ἀνὴρ ἐπιεικής. Καὶ εὐθένησαν οὕτως, ὡς περιπόφυρα ἔχειν ἱμάτια.

## λζ'. ΙΘΑΚΗΣΙΩΝ.

Κεφάλῳ, μαντευσαμένῳ περὶ παίδων, ὁ θεὸς εἶπεν, ᾧ ἂν ἐντύχῃ θήλει πρῶτον συγγενέσθαι. Τὸν δὲ περιτυχεῖν ἄρκῳ· καὶ πλησιάσαντος γενέσθαι γυναῖκα, ἐξ ἧς Ἀρκείσιον φερωνύμως ὀνομασθῆναι λέγεται.

Πορθμεὺς, Παρίας ὄνομα, λῃστὰς διεπόρθμευσε, πρεσβύτην αἰχμάλωτον, καὶ πίτταν· καὶ ὠνεῖται ταῦτα παρὰ τῶν λῃστῶν, δεηθέντος τοῦ πρεσβύτου. Ἦν δὲ ἐν τῇ πίττῃ κεκρυμμένον χρυσίον. Πλουτήσας οὖν θῦσαι λέγεται τῷ πρεσβύτῃ βοῦν· διὸ καὶ εἰς παροιμίαν ἦλθεν, Οὐδεὶς πώποτε εὐεργέτῃ βοῦν ἔθυσεν, ἀλλ' ἢ Παρίας.

## λή. ΑΦΥΤΑΙΩΝ.

Δικαίως καὶ σωφρόνως βιοῦσι, καὶ ἀλλοτρίων οὐ θιγγάνουσιν, ἀνεῳγμένων τῶν θυρῶν. Φασὶ δέ ποτε ξένον πριάμενον

οἶνον μὴ ἀναλαβεῖν, ἐπείξαντος αὐτὸν τοῦ πλοῦ, καταλιπεῖν δὲ αὐτὸν ἐν τῇ ἀποστάσει οὐδενὶ παραδόντα, ὕστερον δὲ, κατὰ ἄλλην ἐμπορίαν ἐλθόντα, εὑρεῖν τοῦτον ἄθικτον.

## λθ'. ΙΑΣΕΩΝ.

Τούτοις οὐκ ἐξῆν ἐν γάμοις πλείους ἑστιᾷν δέκα, καὶ γυναικῶν ἴσων, οὐδὲ γάμον ποιεῖν πλέον ἡμερῶν δύο. Ἐπεσκόπουν δὲ καὶ τοὺς ὀρφανοὺς, ὅπως παιδεύονται, καὶ τὰς οὐσίας αὐτοῖς ἀπεδίδοσαν εἴκοσιν ἐτῶν γινομένοις.

## μ'. ΙΚΑΡΟΣ.

Ἴκαρος ἡ νῆσος Ἰχθυοῦσσα ἐκαλεῖτο, διὰ τὸ κάλλος τῶν ἐν αὐτῇ γινομένων ἰχθύων· πρὸς ἣν Ἴκαρος παρέβαλεν, ἀφ' οὗ καὶ τοὔνομα ἔσχεν. Ὁ δὲ μῦθος πτεροῖς αὐτὸν ἀπὸ Κρήτης φησὶν ἐλθεῖν· οἱ δὲ, ἀποδράντα μετὰ τοῦ πατρὸς ἐπὶ τριήρων, διὰ τὸ δεῖξαι τὴν εἰς Λαβύρινθον εἴσοδον τῷ Θησεῖ.

## μά. ΑΡΓΙΛΟΣ.

Ἄργιλον τὸν μῦν καλοῦσι Θρᾷκες· οὗ ὀφθέντος, πόλιν κατὰ χρησμὸν ἔκτισαν, καὶ Ἄργιλον ὠνόμασαν.

## μβ'. ΘΕΣΠΙΕΩΝ.

Παρὰ Θεσπιεῦσιν αἰσχρὸν ἦν τέχνην μαθεῖν, καὶ περὶ γεωργίαν διατρίβειν· καὶ διὰ τοῦτο πένητες οἱ πλείους ἦσαν, καὶ Θηβαίοις, οὖσι φειδωλοῖς, πολλὰ ὤφειλον.

ΤΕΛΟΣ ΤΩΝ ΗΡΑΚΛΕΙΔΟΥ ΠΕΡΙ ΠΟΛΙΤΕΙΩΝ.

ΕΚ ΤΩΝ

# ΝΙΚΟΛΑΟΥ ΤΟΥ ΔΑΜΑΣΚΗΝΟΥ.

Περὶ τοῦ πατρὸς, Νικολάου τοῦ Δαμασκηνοῦ, ἐκ τοῦ Σουΐδα (λέξ. Ἀντίπατρος.)

Ἀντίπατρος, Νικολάου τοῦ Δαμασκηνοῦ πατὴρ τοῦ ἱστορικοῦ· ὃς ἔσχε Στρατονίκην γυναῖκα τὴν μητέρα Νικολάου, οἳ διαφανεῖς ἦσαν ἐν Δαμασκῷ, κατά τε σωφροσύνην καὶ ἄλλην λαμπρότητα· πλούτῳ τε γὰρ πολλῷ διαφέροντες, ἥκιςα ἐπ' αὐτῷ ἐμεγαλύνοντο, εὐδοξίας τε οὐ τὰ δεύτερα φερόμενοι, βραχὺ τοῦτο ἐλογίζοντο. Ὁ δὲ δὴ Ἀντίπατρος καὶ λόγου δεινότητι προὔχων ἔβλαψε μὲν οὐδοντινοῦν, ὤνησε δὲ μυρία τούτῳ, οὐ τὸ κοινὸν μόνον, ἀλλὰ καὶ τῶν ἀστῶν συχνούς· δικαιοσύνην γὰρ ἀσκῶν, εἴ πέρ τις ἕτερος, πλεῖστα μὲν διήτησε νείκη τοῖς πολίταις πρὸς ἀλλήλους, πλεῖστα δὲ τῇ πατρίδι πρὸς τοὺς ἐν κύκλῳ δυνάστας, καὶ ἐτιμᾶτο ὑπὸ πάντων διὰ τοῦτο· πλείστας δὲ ἐπιστεύθη πρεσβείας καὶ ἐπιτροπὰς, ἀρχάς τε πάσας διεξῆλθε τὰς ἐγχωρίους. Τελευτῶν τε τὸν βίον, οὐκ ἔστιν ὅ, τι ἐπέσκηψε Νικολάῳ τῷ υἱεῖ, καὶ Πτολεμαίῳ τῷ τούτου ἀδελφῷ, ἢ τῷ Διῒ θυμιατήριον, ὅπερ ἔφθη αὐτὸς προϋπεσχημένος τῷ θεῷ, κατασκευάσαι, ἐπειδὰν τελευτήσῃ· δηλῶν, οἶμαι, ὅτι τὸ πρὸς θεοὺς ὅσιον δεῖ καὶ τελευτῶντας φυλάττειν, καὶ μηδὲν ἔτι ἀπολαύσεσθαι τοῦ βίου μέλλοντας.

Περὶ αὐτοῦ Νικολάου τοῦ Δαμασκηνοῦ, ἐκ τοῦ αὐτοῦ (λέξ. Νικόλαος.)

Νικόλαος Δαμασκηνὸς, γνώριμος Ἡρώδου τοῦ Ἰουδαίων βασιλέως, καὶ Αὐγούστου Καίσαρος, φιλόσοφος Περιπατη-

τικὸς καὶ Πλατωνικός. Ἔγραψεν Ἱστορίαν καθολικὴν ἐν βιβλίοις ὀγδοήκοντα, καὶ τοῦ βίου Καίσαρος ἀγωγήν. Οὕτω δὲ ἠσπάζετο αὐτὸν ὁ Καῖσαρ, ὡς τοὺς ὑπ' ἐκείνου πεμπομένους πλακοῦντας τῷ Καίσαρι, ἤγουν μελιτούττας, Νικολάους αὐτὸν καλεῖν· καὶ διαμένει τοῦτο ἄχρι τῆς σήμερον. Ἔγραψε καὶ περὶ τοῦ ἰδίου βίου, καὶ τῆς ἑαυτοῦ ἀγωγῆς. Οὗτος ὁ Νικόλαος ὁ Δαμασκηνός, ἐν τῇ ὅλῃ παιδείᾳ διατεθραμμένος, διὰ τὸ καὶ τὸν πατέρα αὐτοῦ περὶ ταῦτα μάλιςα σπουδάσαι, ἐπειδὴ ἀπ' αὐτῆς αὐτῷ ὅ τε πλοῦτος καὶ ἡ δόξα ἐπεγένετο, ἔτι μᾶλλον ηὔξησε ταύτην, ἔρωτά τινα ἀδιήγητον αὐτῆς σχών, ἄλλως τε καὶ φύσεως οὐ φαύλης λαβόμενος· ὥςε, πρὶν γενειᾶν, εὐδόκιμος εἶναι ἐν τῇ πατρίδι, καὶ τῶν ἡλίκων διαφέρειν. Γραμματικῆς τε γὰρ οὐδενὸς χεῖρον ἐπεμεμέλητο, καὶ δι' αὐτῆς ποιητικῆς πάσης· αὐτός τε τραγῳδίας ἐποίει καὶ κωμῳδίας εὐδοκίμους· ἔτι δὲ μᾶλλον ὕςερον αὐξηθείς, ὥςε καὶ τὴν δύναμιν συναυξῆσαι, ῥητορικῆς τε καὶ μουσικῆς καὶ τῆς περὶ τὰ μαθήματα θεωρίας καὶ φιλοσοφίας ἁπάσης ἐπεμελεῖτο. Ζηλωτὴς γὰρ Ἀριςοτέλους γενόμενος, καὶ τὸ ποικίλον τῆς περὶ τὸν ἄνδρα παιδείας ἀγαπήσας, χάριν εἰδέναι πᾶσιν ἔλεγεν ἀεὶ τοῖς μαθήμασι, πολὺ μὲν ἔχουσι τὸ ἐλευθέριον, πολὺ δὲ τὸ χρήσιμον εἰς τὸν βίον, πάντων δὲ μάλιςα τὸ εὐδιάγωγον πρός τε νεότητα καὶ γῆρας. Ἔλεγε δὲ καὶ τὰς Μούσας ἄρα διὰ τοῦτο πολλὰς ὑπὸ τῶν θεολόγων παραδεδόσθαι, ὅτι πολὺ τὸ ποικίλον ἔχει τὰ παιδεύματα καὶ πρὸς πᾶσαν βίου χρῆσιν οἰκεῖον· καὶ οὔτε τὴν ἐμπειρίαν αὐτῶν, οὔτε τὴν ἀπόλειψιν ὁμοίως ὑπελάμβανεν εἶναι τῇ τῶν βαναύσων τεχνῶν, ἀλλά, τοὐναντίον, ἐπονείδιστον τοῖς μετρίως ζῶσι τήν τε τούτων ἄγνοιαν καὶ τὴν τῶν βαναύσων ἐπιςήμην. Οὗτος μὲν οὖν οὐκ

ἔστιν ὅτῳ τῶν παιδευμάτων πρὸς ἀργυρισμὸν ἐχρήσατο, οὐδὲ ἐκαπήλευσεν. Ἔφη δὲ Νικόλαος ὁμοίαν εἶναι τὴν ὅλην παιδείαν ἀποδημίᾳ· ὡς γὰρ ἐν ταύτῃ συμβαίνει τοῖς ἀποδημοῦσι, καὶ μακρὰν ὁδὸν διεξιοῦσιν, ὅπου μὲν ἐγκατάγεσθαί τε καὶ ἐναυλίζεσθαι μόνον, ὅπου δὲ ἐναριστᾶν, ὅπου δὲ πλείους ἐνδημεῖν ἡμέρας, ἐνίους δὲ τόπους ἐκ παρόδου θεωρεῖν, ἐπανελθόντας μέν τοι ταῖς ἑαυτῶν ἐνοικεῖν ἑστίαις, οὕτω καὶ διὰ τῆς ὅλης παιδείας διερχομένους δεῖν ἐν οἷς μὲν ἐπιτηδεύμασιν ἐπὶ πλέον ἐνδιατρίβειν, ἐν οἷς δ' ἐπ' ἔλαττον, καὶ τὰ μὲν, ὅλα, τὰ δὲ, ἐκ μέρους, τὰ δὲ, ἄχρι στοιχειώσεως παραλαμβάνειν, καὶ τὸ ἐκείνων χρήσιμον κατασχόντας ἐπὶ τὴν ὡς ἀληθῶς πατρῴαν ἑστίαν ἐπανελθόντας φιλοσοφεῖν.

Ἐκ τῶν Πλουτάρχου συμποσιακῶν,
(Βιβλ. Η, προβλ. δ'.)

Ὁ γοῦν βασιλεὺς, ὥς φασιν, ἀγαπήσας διαφερόντως τὸν Περιπατητικὸν φιλόσοφον Νικόλαον, γλυκὺν ὄντα τῷ ἤθει, ῥαδινὸν δὲ τῷ μήκει τοῦ σώματος, διάπλεων δὲ τὸ πρόσωπον ἐπιφοινίσσοντος ἐρυθήματος, τὰς μεγίστας καὶ καλλίστας τῶν φοινικοβαλάνων Νικολάους ὠνόμασε· καὶ μέχρι νῦν οὕτως ὀνομάζονται.

Ἐκ τοῦ Ἀθηναίου (Βιβλ. ΙΔ, σελ. 652.)

Περὶ δὲ τῶν Νικολάων καλουμένων φοινίκων, τοσοῦτον ὑμῖν εἰπεῖν ἔχω, τῶν ἀπὸ τῆς Συρίας καταγομένων, ὅτι ταύτης τῆς προσηγορίας ἠξιώθησαν ὑπὸ τοῦ Σεβαστοῦ Αὐτοκράτορος, σφόδρα χαίροντος τῷ βρώματι. Νικολάου τοῦ Δαμασκηνοῦ ἑταίρου ὄντος αὐτῷ, καὶ πέμποντος φοίνικας συν-

εχῶς. Τῶν ἀπὸ τοῦ περιπάτου δ' ὢν ὁ Νικόλαος καὶ ἱστορίαν συνέγραψέ πολλήν.

Ἐκ τοῦ Φωτίου (Κωδ. ρπθ. σελ. 470.)

Ἐν ταὐτῷ δὲ συνανεγνώσθη καὶ Νικολάου λόγος, Ἡρώδῃ τῷ Ἰουδαίων βασιλεῖ προσπεφωνημένος, ἐν ᾧ παραδόξων ἐθνῶν ἐστι συναγωγή. Καὶ συμβαίνει μὲν ἐνίοις τῶν ὑπὸ Ἀλεξάνδρου παραδόξων συνειλεγμένων, καὶ περὶ ὧν δὲ Κόνων συνέταξεν, οὐκ ὀλίγα προσανέγραψε· πλὴν ἔν τισι παραλλάσσει ταῖς ἱστορίαις, ἑτεροτρόπως αὐτὰ διεξιών. Τὴν δὲ φράσιν ἐστὶ μὲν καὶ αὐτὸς κεφαλαιώδης, οὐ μὴν οὐδὲ τοῦ σαφοῦς ἀνακεχωρηκὼς, μετέχων δέ πως καὶ τῶν προειρημένων μᾶλλον συστροφῆς τινος καὶ δεινότητος. Λέγει δὲ ἔνια μὲν πολλοῖς, εἰ καὶ ξενίζοντα εἴη, ὅμως ὁμολογούμενα· τινὰ δ' ἀγνοούμενα μὲν, οὐ μὴν ἐκ τοῦ ἐμφανοῦς πρὸς μάχην τῷ πιθανῷ καθιστάμενα· ἔθη γὰρ ἐθνῶν ἰδιότροπα τὰ πολλὰ περιαγγέλλει, εὑρεῖν δέ ἐστιν ἐν αὐτοῖς καὶ τὸ ἀπίθανον προϊσχόμενα. Ὁ ἐκ Δαμασκοῦ δ' ἔστιν οὗτος, οἶμαι, Νικόλαος, ὁ ἐπὶ τῶν Αὐγούστου χρόνων ἀκμάσας, καὶ φίλος αὐτῷ χρηματίσας· ἐξ οὗ καὶ πλακουντίων τι εἶδος, ἃ διέπεμπε Καίσαρι, εἰς τιμὴν τοῦ δεξιουμένου, Νικολάους ὁ Καῖσαρ ἐκάλεσεν. Οὗτος καὶ Ἀσσυριακὴν ἱστορίαν ἐν πολυστίχῳ βιβλίῳ, ὅσα παλαιᾶς μνήμης ἀναγνωσμάτων ἐχόμενα, καταλέλοιπεν.

Ἐκ τῶν Παρεκβολῶν Οὐαλεσίου, σελ. 418-425.

[Λείπει ἡ ἀρχή.]

. . καὶ παρακαλέσας οἷα δὴ φιλόσοφον καὶ ἀμνησίκακον ἐν πολὺ πλείονι ἦγε τιμῇ καὶ εὐνοίᾳ.

Ὅτι ἐπράχθη τι φιλανθρωπίας πολλῆς ἐχόμενον Νικολάῳ. Ἰλιεῖς

Ἰλιεῖς γὰρ, ἀφικνουμένης νύκτωρ ὡς αὐτοὺς Ἰουλίας τῆς Καίσαρος μὲν θυγατρὸς, γυναικὸς δὲ Ἀγρίππα, καὶ τοῦ Σκαμάνδρου μεγάλου ῥυέντος ὑπὸ χειμάῤῥων πολλῶν, κινδυνευούσης περὶ τὴν διάβασιν ἀπολέσθαι σὺν τοῖς κομίζουσιν αὐτὴν οἰκέταις, οὐκ ᾔσθοντο. Ἐφ' οἷς ἀγανακτήσας ὁ Ἀγρίππας, ὅτι οὐ παρεβοήθησαν οἱ Ἰλιεῖς, δέκα μυριάσιν αὐτοὺς ἐζημίωσεν ἀργυρίου. Οἱ δὲ, ἀπόρως ἔχοντες, καὶ ἅμα οὐ προϋπειδόμενοι τὸν χειμῶνα, οὐδ' ὅτι ἐξίοι ἡ παῖς, Ἀγρίππᾳ μὲν οὐδοτιοῦν εἰπεῖν ἐτόλμησαν, ἥκοντα δὲ τὸν Νικόλαον δεόμενοι παρασχεῖν αὐτοῖς Ἡρώδην βοηθὸν καὶ προστάτην. Καὶ ὃς μάλα προθύμως ὑπέστη, διὰ τὴν τῆς πόλεως δόξαν, καὶ ἐδεήθη τοῦ βασιλέως, διηγήσατό τε αὐτῷ τὸ πρᾶγμα, ὡς οὐ δικαίως αὐτοῖς ὀργίζεται, οὔτε προειπὼν ὅτι πέμποι τὴν γυναῖκα ὡς αὐτοὺς, οὔθ' ὅλως ἐκείνων προῃσθημένων, διὰ τὸ νυκτὸς ἰέναι. Τέλος δ' οὖν, ἀναδεξάμενος ὁ ἀνὴρ τὴν προςασίαν εὑρίσκεται αὐτοῖς τὴν ἄφεσιν τῆς ζημίας, καὶ τὴν ὑπὲρ ταύτης ἐπιστολὴν, ἅτε δὴ ἀπεληλυθότων ἤδη, διὰ τὸ ἀπογνῶναι τὴν ἀπόλυσιν, Νικολάῳ δίδωσι, πλέοντι ἐπὶ Χίου καὶ Ῥόδου, ἔνθα ἦσαν αὐτῷ οἱ υἱεῖς (αὐτὸς γὰρ ἐπὶ Παφλαγονίας ᾔει σὺν Ἀγρίππᾳ). Νικόλαος δὲ ἐκ τῆς Ἀμισοῦ πλεύσας ἐπὶ Βυζάντιον, κᾀκεῖθεν εἰς τὴν Τρωάδα γῆν, ἀνέβη εἰς Ἴλιον, καὶ τὴν τῆς ἀπολύσεως τοῦ χρέους ἐπιστολὴν ἀποδοὺς, σφόδρα ὑπὸ τῶν Ἰλιέων αὐτός τε, καὶ ἔτι μᾶλλον ὁ βασιλεὺς, ἐτιμήθη.

Ὅτι Ἡρώδης, πάλιν διαμεθεὶς τὸν φιλοσοφίας ἔρωτα (ὃ φιλεῖ τοῖς ἐν ὑπεροχῇ οὖσι συμβαίνειν, διὰ τὸ πλῆθος τῶν ἐξαλλαττόντων αὐτοὺς ἀγαθῶν), ἐπεθύμησε πάλιν ῥητορικῆς, καὶ Νικόλαον ἠνάγκαζε συῤῥητορεύειν αὐτῷ, καὶ κοινῇ ἐῤῥητόρευον. Αὖθις δ' ἱστορίας αὐτὸν ἔρως ἔλαβεν, ἐπαινέσαντος

Νικολάου τὸ πρᾶγμα, καὶ πολιτικώτατον εἶναι λέγοντος, χρήσιμον δὲ καὶ βασιλεῖ, ὡς τὰ τῶν προτέρων ἔργα καὶ πράξεις ἱστοροίη. Καὶ ἐπὶ τοῦτο ὁρμήσας, προὔτρεψε καὶ Νικόλαον πραγματευθῆναι τὰ περὶ ἱςορίαν. Ὁ δὲ μειζόνως ἔτι ὥρμησεν ἐπὶ τὸ πρᾶγμα, πᾶσαν ἀθροίσας τὴν ἱστορίαν, μέγαν τε πόνον ὑποστὰς, καὶ οἷον οὐκ ἄλλος. Ἐν πολλῷ δὲ χρόνῳ φιλοπονήσας ἐξετέλεσεν αὐτήν· ἔλεγέ τε, ὡς τοῦτον τὸν ἆθλον Εὐρυσθεὺς εἰ προὔτεινεν Ἡρακλεῖ, σφόδρα ἂν αὐτὸν ἀπέτρυσεν. Ἐκ τούτου πλέων εἰς Ῥώμην ὡς Καίσαρα Ἡρώδης, ἐπήγετο τὸν Νικόλαον ὁμοῦ ἐπὶ τῆς αὐτῆς νηὸς, καὶ κοινῇ ἐφιλοσόφουν.

Ὅτι πάνθ' ὅσα παρήγγελλεν, ἐπὶ τῶν ἔργων διεξῄει αὐτῶν, καὶ ἀπεδείκνυτο χρημάτων μὲν ὢν κρείττων, θᾶττον δὲ λαμπρότατα ἐφιλοτιμήθη, οὐθέν τε, ὧν μὴ δεῖ, ἐφάνη χρημάτων ἕνεκα πεποιηκώς. Ἡδονῆς δ' (ὃ τάχα τῳ θαυμαστὸν ἂν εἴη) ἡςινοσοῦν κατεφρόνει, καὶ ταῦτα βασιλεῦσί τε καὶ ἡγεμόσι συνὼν πολλάκις· ἦν γὰρ αὐστηρὸς φύσει, καὶ ἐναντίος πρὸς αὐτὴν, καὶ ἀνδραποδώδεις νομίζων τοὺς τῶν ἀπολαύσεων τῶν τοιούτων ἥττους· ἐπαινέτης τε αὐταρκείας ἀεὶ καὶ ἁπλότητος, καίτοι γ' ἐν οἷς δεῖ λαμπρύνεσθαι μεγαλοπρεπὴς, οὐ γλίσχρος ἦν, ὡς μὴ δόξαν ἀνελευθερίας λάβοι. Πρός γε μὴν πόνους καὶ καρτερίαν, εἴ ποτε δέοι, πάντων ἀοκνότατος, οὐκ ἐν νεότητι μόνον, ἀλλὰ καὶ ἐν γήρᾳ, καὶ ὅπῃ κίνδυνος καταλάβοι ἐκ πολεμίων ἢ λῃστῶν, ἢ διὰ νόσον, ἢ χειμῶνα κατὰ θάλατταν, ἢ ἄλλως πως, οὕτω δὴ σφόδρα εὔψυχος ἦν, ὥστε καὶ τοῖς ἄλλοις ἀεὶ θαῤῥεῖν παρεῖχεν, ὁπόσοι κοινωνοὶ ἦσαν αὐτῷ τοῦ κινδύνου. Πρός γε μὴν τὸ δίκαιον ἀκλινὴς οὕτω καὶ ἀθώπευτος, ὥστε καὶ ἀπειλὰς ἐνεγκεῖν τινῶν ἡγεμόνων ποτὲ δικάζων, ὑπὲρ τοῦ

μὴ τοῦτο παραβῆναι. Πολλοὶ γὰρ αὐτὸν ᾑροῦντο καὶ δικαςὴν, καὶ διαιτητὴν, φανερᾶς εἰς πάντας αὐτοῦ τῆς δικαιοσύνης γενομένης, ἔν τε συμβολαίοις, καὶ ταῖς πρὸς τοὺς ἰδιώτας κοινωνίαις, οὐδεὶς πώποτε αὐτὸν ἐμέμψατο, οὐδ' εἴ τις πονηρὸς εἴη, διὰ τὴν ἐπιείκειαν· οὐδὲ γὰρ μαρτύρων ἔδει πρὸς αὐτὸν ἢ συμβολαίων, ἀλλ' ὅ, τι ἂν ὁμολογήσειε, βέβαιον ἦν. Κοσμιότητα δὲ καὶ σωφροσύνην οὐδεὶς αὐχήσει πλείω κατὰ τὸ ἦθος, ἔν τε ἀγοραῖς καὶ ὁδοῖς.

[Λείπουσι δύο σελίδες.]

. . . . Καὶ διατριβῶν παρακολουθεῖν εὐδοξίαν τε καὶ τιμὴν τῷ φιλοσόφῳ καὶ ἄλλας χάριτας καὶ ὠφελείας, παρὰ τῶν δυνατῶν οὐκ εἶναι, πόνου δ' ἀλλότριον. Τίνι γὰρ ἂν μᾶλλον ἁρμόττοι ταῦτα καρποῦσθαι, ἀπὸ τοῦ βελτίςου καὶ σπουδαιοτάτου γινόμενα, ἢ τῷ τοιούτῳ; οὐ γὰρ δὴ τῷ φαύλῳ καὶ οὐδενὸς ἀξίῳ. Χρήσεται γὰρ αὐτοῖς ἀφύρτως τε καὶ ἐμμελῶς, καθὼς Νικόλαος τῷ γνώριμος εἶναι καὶ εὔπορος εἰς οὐδὲν ἄτοπον ἐχρήσατο, ἀλλ' εἰς μετριότητά τε καὶ δημοτικὴν φιλανθρωπίαν· πόλεως μὲν οὔποτ' ἀφ' ἑτέρας οἰόμενος δεῖν, ἀλλ' ἀπὸ τῆς αὐτοῦ προσαγορεύεσθαι· κατεγέλα δε καὶ τῶν καθ' αὐτὸν σοφιστῶν, οἳ μεγάλοις τιμήμασιν ἐωνοῦντο Ἀθηναῖοι, ἢ Ῥόδιοι, καλεῖσθαι, βαρυνόμενοι τὴν ἀδοξίαν τῶν πατρίδων. Ἔνιοι δὲ καὶ συνέγραψαν περὶ τοῦ μὴ εἶναι ἀφ' ἧς πόλεως ἦσαν, ἀλλ' ἀπό τινος τῶν δὶ ὀνόματος Ἑλληνίδων· ὁμοίους τε ἀπέφαινε τοῖς τοὺς ἑαυτῶν γονέας βαρυνομένοις.

Ὅτι ᾐτιῶντό τινες τὸν Νικόλαον πλεῖστα χρήματα παρὰ φίλων λαβόντα, οὐ σώζειν αὐτὰ, καὶ ὅτι τὰς πλείους διατριβὰς ἐποιεῖτο μετὰ τῶν δημοτικῶν, ἐκκλίνων τοὺς μεγάλους

καὶ ὑπερπλούτους τῶν ἐν Ῥώμῃ, [εἷς ὢν] οὐδαμῶς ᾔει, πολλῶν καὶ ἐνδόξων αὐτὸν βιαζομένων, ἀλλὰ δι' ὅλης ἡμέρας ἐν ταῖς φιλοσόφοις θεωρίαις ἦν. Ὁ δὲ ἀπελογεῖτο περὶ μὲν τῶν χρημάτων, ὅτι ἡ κτῆσις, ὥσπερ λύρας ἢ αὐλῶν, οὐδενὸς εἴη ἀξία, ἡ χρῆσις δὲ τὸ κυριώτατόν ἐστιν, ἣν εἰ μέν τις εἰς ἄσωτον, ἢ ἀμετάδοτον, ἢ ὅλως ἄφρονα, ἢ φαῦλον, καταδαπανᾷ βίον, ἐπίμεμπτος ἂν εἴη· εἰ δέ τις εἰς σώφρονά τε καὶ κόσμιον καὶ κοινωνικὸν καὶ φιλάνθρωπον, δεχόμενος καὶ ὅτε δεῖ ταῦτα, καὶ παρ' ὧν δεῖ, καὶ προϊέμενος, καὶ τοῖς τέκνοις ἀπολείπων, ἀμείνων ἂν εἴη. Ὅρον δὲ ἕνα ἔφη ποιεῖσθαι τὸν ἄνδρα τὸν ἀγαθὸν, τοῖς ἐπιεικεστέροις ἐθέλειν ἀεὶ συνεῖναι· τοιούτους δ' ἐν τοῖς δημοτικοῖς ὁρᾷν πλείους, ἢ ἐν τοῖς βαρυπλούτοις, φυομένους. Πολλῆς γὰρ ἀγαθῆς τύχης δεῖται πλοῦτος, ὥςε εἰς ἐπιείκειαν φέρειν· ἐκτρέπει γὰρ τοὺς πλείους εἰς φιληδονίαν τε καὶ ὑπερηφανίαν.

Ὅτι τοὺς ἑαυτοῦ οἰκέτας ἐκπαιδεύσας, καὶ ἐκ τοῦ συζῆν ἀεὶ πολλὴν ὁμοήθειαν αὐτοῖς ἐμποιήσας, ἐχρῆτο οὐδὲν χείροσιν ἢ φίλοις.

# ΕΚ ΤΩΝ ΝΙΚΟΛΑΟΥ ΤΟΥ ΔΑΜΑΣΚΗΝΟΥ

# ΙΣΤΟΡΙΩΝ.

---

Ὅτι Σαρδανάπαλος Ἀσσυρίων ἐβασίλευσεν, ἀπό τε Νίνου καὶ Σεμιράμεως τὴν βασιλείαν παραδεξάμενος, οἴκησιν ἔχων ἐν Νίνῳ, ἔνδον τὸ σύμπαν ἐν τοῖς βασιλείοις διατρίβων, ὅπλων μὲν οὐχ ἁπτόμενος, οὐδ᾽ ἐπὶ θήραν ἐξιὼν, ὥσπερ οἱ πάλαι βασιλεῖς, ἐγχριόμενος δὲ τὸ πρόσωπον, καὶ τοὺς ὀφθαλμοὺς ὑπογραφόμενος, πρός τε τὰς παλλακίδας ἁμιλλώμενος περὶ κάλλους καὶ ἐμπλοκῆς, τό τε σύμπαν γυναικείῳ ἤθει χρώμενος. Κατὰ δὲ τὰ πρότερον συντεταγμένα, ἐπὶ τὰς θύρας αὐτῷ παρῆσαν οἵ τε ἐκ τῶν ἄλλων ἐθνῶν Σατράπαι, ἄγοντες τάς τε εἰρημένας δυνάμεις, καὶ δὴ Ἀρβάκης ὁ Μήδων ὕπαρχος, ἀνὴρ τόν τε βίον σώφρων, καὶ πραγμάτων, εἰ δή τις ἄλλος, ἔμπειρος, τετριμμένος τε ἐν κυνηγεσίοις καὶ πολέμοις, καὶ πολλὰ μὲν πάλαι γενναῖα ἐξειργασμένος, πλείω δ᾽ ἔτι καὶ μείζω τότε διανοούμενος. Οὗτος ἀκηκοὼς τόν τε βίον καὶ τὰ ἤθη, οἷς χρῆται ὁ βασιλεὺς, εἰς νοῦν ἐνεβάλετο καὶ ἐνεθυμήθη ἄρα, ὅτι ἀπορίᾳ γενναίου ἀνδρὸς οὗτος ἔχοι τὰ τῆς Ἀσίας κράτη· καὶ βουλὴν συντίθεται περὶ τῆς ὅλης ἀρχῆς.

---

Ὅτι ἐπὶ Ἀρταίου τοῦ βασλέως Μήδων, τοῦ διαδόχου Σαρδαναπάλου τοῦ Ἀσσυρίων βασιλέως, ἦν ἐν Μήδοις τότε κατά τε ἀνδρείαν καὶ ῥώμην δοκιμώτατος Παρσώνδης, παρά τε βασιλεῖ μάλιστα ἐπαινούμενος καὶ ἐν Πέρσαις, ὅθεν ἦν γένος, ἐπί τε εὐβουλίᾳ καὶ κάλλει σώματος. Δεινὸς δὲ καὶ θῆρας αἱρεῖν, ἐν σταδίᾳ τε μάχῃ καὶ ἀπὸ ἅρματος καὶ ἵππου μάχεσθαι. Οὗτος ὁρῶν Νάναρον τὸν Βαβυλώνιον διαπρεπεῖ κόσμῳ χρώμενον ἀμφὶ τὸ σῶμα, καὶ ἐλλόβια ἔχοντα,

καὶ κατεξυρημένον εὖ μάλα, γυναικώδη τε καὶ ἄναλκιν, ἔπειθεν Ἀρταῖον ἀφελέσθαι αὐτὸν τὴν ἀρχὴν καὶ ἑαυτῷ δοῦναι, δυσχεραίνων σφόδρα τὸν ἄνθρωπον. Ὁ δὲ ὤκνει συγχέας τὰ συγκείμενα ὑπ' Ἀρβάκεω ἀδικεῖν τὸν Βαβυλώνιον. Ἐπεὶ δὲ δὶς καὶ τρὶς ὁ Παρσώνδης ἐνέτυχεν Ἀρταίῳ, καὶ ταὐτὸν ἤκουσεν, ἡσύχαζεν· οὐ μὴν τὸν Νάναρον ἔλαθεν. Αἰσθόμενος δ' ἐκεῖνος τὴν γνώμην τἀνδρὸς, μεγάλα δῶρα τοῖς ἑαυτοῦ ὑπέσχετο καπήλοις, εἴ τις αὐτῷ Παρσώνδην συλλαβὼν ἄγοι· ἕπονται δ' οὗτοι πολλοὶ τῷ βασιλέως στρατῷ. Καί ποτε κατὰ δαίμονα κυνηγετῶν ὁ Παρσώνδης ἐλαύνει πόῤῥω ἀπὸ τοῦ βασιλέως εἴς τι πεδίον οὐχ ἑκὰς Βαβυλῶνος. Τοὺς δὲ θεράποντας εἰς τὴν πλησίον ὕλην τρέψας, ἐκέλευσε βοῇ τε καὶ ἀλαλητῷ χρῆσθαι, ὡς δὴ τὰ θηρία σοβήσων εἰς τὰ πεδία· καὶ πολλοὺς μὲν ὗς ἀγρίους, πολλοὺς δ' ἐλάφους αἱρεῖ. Τέλος δ', ὄνον ἄγριον διώκων, ἐπὶ πλεῖστον ἀποσπᾶται τῶν ἑαυτοῦ, καὶ μόνος ἐλαύνων ἧκεν εἰς τὴν Βαβυλωνίαν, ἔνθα ἦσαν οἱ κάπηλοι ἀγορὰς εὐτρεπίζοντες τῷ βασιλεῖ· οὓς θεασάμανος ὑπὸ δίψους πιεῖν ᾔτει. Οἱ δ' ἄσμενοι ἰδόντες Παρσώνδην, προσίασιν αὐτῷ, πιεῖν τ' ἐνέχεον, καὶ, τὸν ἵππον δεξάμενοι, ἀριστᾷν ἐκέλευσαν. Ὁ δὲ, οἷα πανημέριος θηρῶν, οὐκ ἀηδῶς ἤκουσεν, ἐκέλευσέ τε ἀποπέμψαι βασιλεῖ τὸν ὄνον, ὃν κατέλαβε, καὶ τοῖς ἀνὰ τὸν δρυμὸν οἰκέταις φράσαι, ἔνθα εἴη. Οἱ δὲ, πάντα ποιήσειν ὑποσχόμενοι, κατακλίνουσι τὸν Παρσώνδην, καὶ δαῖτα παρέθεσαν παντοίαν, οἶνόν τε ἥδιστον πίνειν ἐπέχεον, ἀκρατέστερον ἐπίτηδες, ὡς μεθυσθείη. Καὶ ἐπεὶ ἅδην εἶχεν, ὁ μὲν ᾔτει τὸν ἵππον, ὡς ἀπίοι ἐπὶ τὸ βασιλέως στράτευμα· οἱ δε γυναῖκας εὐπρεπεῖς παραγαγόντες, ἐδείκνυόν τε αὐτῷ καὶ ἐκέλευον κοιμηθέντα αὐτόθι, καὶ εἰς νύκτα χρησάμενον αὐταῖς, ἕωθεν ἀπιέναι. Ὁ δὲ, εὐπρεπεῖς γυναῖκας ὁρῶν, ἔμεινέ τε καὶ ηὐλίσατο. Καὶ τὰ μὲν διὰ τὴν συνουσίαν, τὰ δὲ διὰ τὸν κόπον, ὕπνος αὐτὸν ἔλαβεν. Οἱ δ', ἀναστήσαντες τὴν παρακοιμωμένην γυναῖκα, πολλοὶ ἅμα ἐπιπεσόντες, συν-

ἔδησαν τὸν ἄθρωπον, καὶ ἐπὶ Νάναρον ἐκόμισαν. Ὁ δ', ὡς εἶδεν αὐτὸν (ἤδη δὲ ἀνένηψεν ἐκ τοῦ οἴνου, καὶ ἔγνω ἵνα ἦν κακοῦ), ἤρετο, Ἆρα, ὦ Παρσώνδη, κακόν τι ὑπ' ἐμοῦ πάλαι ἔπαθες, ἢ αὐτὸς, ἢ τῶν σῶν τις; Ὁ δὲ οὐκ ἔφη. Τί δὲ, πείσεσθαι προσεδόκησας; Οὐκ ἔγωγε, εἶπεν. Τί οὖν αὐτὸς ἀδικίας ἦρξας εἰς ἐμὲ, ἀνδρόγυνόν τε καλῶν, καὶ βασιλείαν τὴν ἐμὴν αἰτῶν παρὰ Ἀρταίου, ὡς δῆτα οὐδενὸς ἀξίου αὐτὸς γενναῖος ὤν; Πολλὴ δὲ χάρις Ἀρταίῳ οὐ πεισθέντι τὴν ὑπ' Ἀρβάκεω δεδομένην ἡμῖν ἀρχὴν ἀφελέσθαι. Διὰ τί δῆτα ταῦτ' ἐποίεις, ὦ κακὴ κεφαλή; Ὁ δὲ, οὐδὲν ὑποθωπεύσας, εἶπεν, Ὤμην αὐτὸς ἀξιώτερος εἶναι τοῦτο τὸ γέρας ἔχειν, ἀνδρειότερός τε ὢν καὶ ὠφελιμώτερος βασιλεῖ ἢ σὺ ὁ κατεξυρημένος τε καὶ καθυπεστιβισμένος τὼ ὀφθαλμὼ, ψιμιθίῳ δὲ τὸ χρῶμα ἐναλειφόμενος. Καὶ ὃς, Εἶτ' οὐκ αἰσχύνῃ, ἔφη, σὺ ὁ τηλικοῦτος ὑπὸ τοῦ χείρονος συνειλημμένος ἐπειδὴ γαστρὸς ἥττων καὶ αἰδοίων ἐγένου; Ἀλλ' ἐγώ σε, ἔφη, θήσω γυναικῶν ἁπαλώτερον καὶ λευκότερον τὴν χροιὰν οὐ πολλοῦ χρόνου. Καὶ ἐπώμοσε τόν τε Βῆλον καὶ τὴν Μύλιττα· οὕτως γὰρ τὴν Ἀφροδίτην καλοῦσι Βαβυλώνιοι. Καὶ ἅμα καλέσας τὸν εὐνοῦχον, τὸν τὰς μουσουργοὺς πεπιστευμένον, Τοῦτον, ἔφη, ἄπαγε, καὶ ξυρήσας τὸ ὅλον σῶμα, καὶ κισηρίσας πλὴν κεφαλῆς, δὶς τῆς ἡμέρας λοῦε, καὶ σμῆχε ἀπὸ λεκίθου, καὶ τοὺς ὀφθαλμοὺς ὑπογραφέσθω, καὶ τὰς κόμας ἐμπλεκέσθω, ὥσπερ αἱ γυναῖκες· μανθανέτω δὲ ᾄδειν καὶ θιθαρίζειν καὶ ψάλλειν, ἵνα μοι μετὰ τῶν μουσουργῶν λειτουργῇ, γυναικὶ ὡμοιωμένος, μεθ' ὧν καὶ δίαιταν ἕξει, λεῖος ὢν τὸ σῶμα, καὶ τὴν ἐσθῆτα τὴν αὐτὴν καὶ τὴν τέχνην ἔχων. Ταῦτα εἰπόντος, ὁ εὐνοῦχος παραδεξάμενος τὸν Παρσώδην κατεξύρησέ τε ὅλον πλὴν κεφαλῆς, καὶ τὰ προσταχθέντα ἐδίδασκε, καὶ ἐσκιατράφει, λούων ἑκάστης ἡμέρας δὶς, καὶ λεαίνων ὁμοδίαιτόν τε ποιῶν ταῖς γυναιξὶν, ὥσπερ ὁ δεσπότης προσέταξε. Καὶ οὐ πολλοῦ χρόνου γίνεται ἄνθρωπός τε λευκὸς καὶ ἁπαλὸς καὶ γυναικώδης, ἤδέ

τε καὶ ἐκιθάριζε πολὺ κάλλιον τῶν μουσουργῶν· οὐδείς τε ἂν ἰδὼν αὐτὸν λειτουργοῦντα ἐν συμποσίῳ Νανάρῳ, οὐχὶ γυναῖκα ὑπέλαβε, καὶ πολύ γε ἐκείνων εὐπρεπέστερον, μεθ' ὧν ἑκάστοτε ἐλειτούργει. Βασιλεὺς δὲ ὁ Μήδων Ἀρταῖος, ἐπειδὴ πάντη μαστεύων Παρσώνδην ἐξέκαμε, καὶ δῶρα προτείνων, εἴ τις αὐτὸν ἀνεύροι ἢ ζῶντα ἢ τεθνεῶτα, ὑπέλαβέ που ἐν κυνηγεσίῳ ὑπὸ λέοντος, ἢ ἄλλου του θηρίου, καταβεβρῶσθαι, καὶ μεγάλως ἐπ' αὐτῷ ἠνιᾶτο, ἅτε ἀνδρειοτάτῳ ὄντι. Ὡς δ' ἑπτὰ ἔτη ἐγένοντο αὐτῷ τοιαύτην δίαιταν ἔχοντι ἐν Βαβυλῶνι, τῶν εὐνούχων τινα ὁ Νάναρος μαστιγοῖ τε χαλεπῶς, καὶ τὸ σῶμα αἰκίζεται. Καὶ αὐτὸν ὁ Παρσώνδης, μεγάλαις ἐλπίσιν ἐπάρας, ἀναπείθει παρὰ τὸν Ἀρταῖον εἰς Μήδους ἀποδράναι, καὶ πάντα φράσαι τὰ περὶ αὐτὸν βασιλεῖ, ὡς ζῇ τε, καὶ λελώβηται, μετὰ μουσουργῶν δίαιταν ἔχων, Παρσώνδης ὁ σὸς φίλος ἐκεῖνος ὁ πολεμιστήριος. Καὶ μέγας στενάξας εἶπε, Φεῦ λώβης ἀνδρὸς ἀγαθοῦ, πῶς ἠνέσχετο ὁ Παρσώνδης, ὃν ἐγὼ οἶδα, θηλυνόμενος τὸ σῶμα ὑπὸ ἐχθροῦ; Καὶ ἅμα πέμπει τινα τῶν πιστοτάτων ἄγγαρον παρὰ τὸν Βαβυλώνιον (οὕτω γὰρ ἐκάλουν τοὺς βασιλέως ἀγγέλους). Ὁ δὲ Νάναρος ἀφικομένῳ τῷ ἀγγάρῳ, καὶ ἀπαιτοῦντι Παρσώνδην, ἔξαρνος γενόμενος, οὐδαμοῦ ἔφη ἐκεῖνον ἑωρακέναι, ἐξ ὅτου ἀφανὴς ἐγένετο. Ὡς δὲ ταῦτα ἤκουσεν Ἀρταῖος, ἕτερον ἔπεμψεν ἄγγαρον πολὺ μείζω τοῦ προτέρου καὶ δυνατώτερον· ἐπέστειλέ τε ἐν διφθέρᾳ, ῥίψαντα τὴν Βαβυλωνίαν ἀπάτην, ὀπίσω ἀποπέμπειν τὸν ἄνδρα παρ' ἑαυτὸν, ὃν ταῖς μουσουργοῖς τε καὶ εὐνούχοις παρέδωκεν, ἢ ὅτι τὴν κεφαλὴν αὐτὸς οὐχ ἕξει. Ταῦτα ἔγραψε, καὶ ἅμα ἐκέλευσε τῷ ἀνδρὶ, εἰ μὴ παραδῷ Νάναρον τὸν Παρσώνδην, λαβόμενον τῆς ζώνης ἄγειν αὐτὸν ἐπὶ θανάτῳ. Ἀφικομένου δὲ τοῦ δευτέρου ἀγγάρου εἰς Βαβυλῶνα, καὶ ταῦτα ἀπαγγείλαντος, ὁ Νάναρος, δείσας περὶ τῆς ψυχῆς, παραδώσειν τε ὑπέσχετο τὸν ἄνθρωπον, καὶ προσέτι, ἀπολογούμενος τῷ ἀγγάρῳ, πεί-

σειν ἔφη βασιλέα, ὡς δικαίως μετῆλθεν ἄνδρα ἄρξαντα μεγάλης ἀδικίας εἰς ἑαυτόν· πεπονθέναι γὰρ ἂν αὐτὸς ὑπ' ἐκείνου χαλεπώτερα, εἰ μὴ βασιλεὺς ὁ δεσπότης αὐτοῦ ὑπερέσχε τὴν δεξιάν. Ἐκ τούτου ἐπὶ πότον ἐτράπετο καὶ συνουσίαν, ἑστιῶν τὸν ἄγγαρον. Καὶ, τοῦ δείπνου παρακειμένου, εἰσεληλύθεσαν αἱ μουσουργοὶ, ἑκατὸν καὶ πεντήκοντα γυναῖκες, μεθ' ὧν ἦν καὶ Παρσώνδης. Καὶ αἱ μὲν ἐκιθάριζον, αἱ δ' ηὔλουν, αἱ δὲ ἔψαλλον, ἐν πάσαις δὲ διέπρεπε μάλιστα Παρσώνδης καὶ κάλλει καὶ τέχνῃ, γυνὴ καὶ αὐτὸς νομιζόμενος. Καὶ, ἐπειδὴ δείπνου ἅδην εἶχον, ἤρετο ὁ Νάναρος τὸν ἄγγαρον, ἥτις αὐτῷ δοκεῖ πασῶν προφέρειν εὐμορφίᾳ τε καὶ εὐμουσίᾳ. Ὁ δ', οὐδὲν μελλήσας, ἔφη ἐκείνην, Παρσώνδην δεικνύς. Καὶ ὁ Νάναρος, κροτήσας τὼ χεῖρε, ἐγέλα ἐπὶ πολὺν χρόνον, καὶ εἶπε, Ταύτην ἆρα καὶ βούλει ἔχων εἰς νύκτα ἀναπαύεσθαι; Ὁ δὲ, Πάνυ μὲν οὖν, ἔφη. Ἀλλ' οὐ δώσω, εἶπεν ὁ Νάναρος. Τί οὖν, ἔφη ὁ ἄγγαρος, ἐμοῦ πυνθάνῃ; Μικρὸν δὲ διαλιπὼν, Οὗτός ἐστιν, ἔφη, Παρσώνδης, ἐφ' ὃν ἥκεις. Ἀπιστοῦντος δ' ἐκείνου, ὤμοσε. Καὶ ὁ ἄγγαρος, Θαῦμά μ' ἔχει, ἔφη, ὅπως ζῆν ὑπέμεινε γυναικιζόμενος ἀνὴρ ἄλκιμος, καὶ οὐ διεχρήσατο ἑαυτὸν, εἰ μὴ καὶ ἄλλους ἐδύνατο· πῶς δὲ ταῦτ' ἀνέξεται ὁ δεσπότης ἀκούσας; Ὁ δὲ Νάναρος εἶπεν, Ἐγὼ ῥαδίως αὐτὸν ἀναδιδάξω, ὡς οὐδὲν ἀδικῶ. Τότε μὲν δὴ τοιαῦτα διελέγοντο, καὶ ἐκοιμήθησαν. Τῇ δὲ ὑστεραίᾳ ἐνθεὶς ὁ Βαβυλώνιος εἰς ἁρμάμαξαν Παρσώνδην ἀποπέμπεται σὺν τῷ ἀγγάρῳ. Ἐπεὶ δ' ἧκον εἰς Σοῦσα, ἔνθα ἦν ὁ βασιλεὺς, δείκνυσιν αὐτῷ ὁ ἄγγαρος τὸν ἄνδρα. Καὶ ἐπὶ πολὺν χρόνον ὁ Ἀρταῖος ἐν ἀγνοίᾳ γενόμενος, ἐπειδὴ ἑώρα ἀντ' ἀνδρὸς γυναῖκα γενονότα, Ὦ ταλαίπωρε, ἔφη, πῶς ὑπέμεινας ὧδε λωβηθῆναι, καὶ οὐ πρότερον ἀπέθανες; Ὁ δὲ ἀπεκρίνατο, Ἤ τοι ἀνάγκη, ὦ δέσποτα, καὶ θεῶν λέγεται κρείττων ὑπάρχειν. Ἐγὼ δὲ ἔτλην καὶ ἐκ τοιῶνδε παθημάτων ζῶν, ἵνα ἅμα μέν σε ἐγγένοιτό μοι θεωρῆσαι, ἔπειτα δὲ Νάναρον τιμωρήσασθαι διὰ σοῦ, ἅπερ ἐμοὶ οὐχ

ἂν ὑπῆρξε τετελευτηκότι· ἀλλὰ μή με, ἔφη, δέσποτα, ψεύσῃ τῆς ἑτέρας ἐλπίδος, ἀλλά μοι τὴν δίκην ἀπόδος παρὰ ἀνδρὸς κακοῦ. Καὶ ὁ Ἀρταῖος ὑπέσχετο, ἐπειδὰν εἰς Βαβυλῶνα ἀφίκηται. Οὐ πολλοῦ δὲ χρόνου ὅ, τε Παρσώνδης ἀπέλαβε τὴν ἀνδρείαν φύσιν, καὶ ὁ βασιλεὺς ἀφίκετο εἰς Βαβυλῶνα· κατεβοᾶτό τε ὁσημέραι ὑπ' αὐτοῦ, ὅπως τιμωρήσεται τὸν Νάναρον. Καὶ ὃς ἧκε παρὰ βασιλέα, καὶ ἔφη δίκαια ποιῆσαι. Πρότερος γὰρ ἐκεῖνος, οὐθὲν κακὸν παθὼν, ἐμὲ διέβαλεν, ἔφη, παρά σοι, ὥς με κτείνειάς τε καὶ τὴν τῆς Βαβυλῶνος ἀρχὴν αὐτῷ δοίης. Ἀρταῖος δὲ ἔφη δικαιότερα Παρσώνδην αἰτεῖσθαι· χρῆναι γὰρ μὴ σαυτῷ δικάζειν, μηδὲ τοιαύτας ἐξευρίσκειν δίκας, ἀλλὰ ἐμοὶ ἐπιτρέπειν τὴν κρίσιν· τέλος δέ σοι εἰς δεκάτην ἐξοίσω ἡμέραν τό σοι πρέπον. Ὁ δὲ Νάναρος, ταῦτα ἀκούσας, ἐν δεινῷ φόβῳ ἦν καὶ ἐπὶ Μιτραφέρνην καταφεύγει, ὃς ἦν τῶν εὐνούχων δυνατώτατος, καὶ ὑπισχνεῖτο αὐτῷ χρυσίου τάλαντα δέκα, καὶ φιάλας χρυσᾶς δέκα, καὶ ἀργυρᾶς διακοσίας, καὶ ἀργυροῦ νομίσματος τάλαντα ἑκατὸν, καὶ ἄλλας ἐσθῆτας πολυτελεῖς, βασιλεῖ δὲ χρυσοῦ μὲν τάλαντα ἑκατὸν, καὶ φιάλας χρυσᾶς ἑκατὸν, ἀργυρᾶς δὲ τριακοσίας, ἀργυροῦ δὲ νομίσματος τάλαντα χίλια, ἐσθῆτάς τε παμπληθεῖς, καὶ ἄλλα πολλὰ καλὰ δῶρα, εἰ τὴν ψυχὴν αὐτῷ ἐξαιτήσειε καὶ τὴν Βαβυλῶνος βασιλείαν παρὰ Ἀρταίου. Καὶ ὁ εὐνοῦχος ᾤχετο παρὰ βασιλέα, καὶ πολλὰ δεηθεὶς, ἅτε ὢν τιμῆς τῆς πρώτης, εἶπεν, ὅτι οὐκ εἴη θανάτου ἄξιος ὁ ἀνήρ· οὐ γὰρ κτείνειε Παρσώνδην, ἀλλὰ ὑβρισθεὶς καὶ δεινὰ παθὼν ἀνθυβρίσειεν. Εἰ δὲ καὶ θανάτου εἴη ἄξιος, ἐμοὶ, ὦ δέσποτα, δὸς, ἔφη, τὴν χάριν ταύτην καὶ τὴν παραίτησιν ὑπὲρ αὐτοῦ. Δώσει δὲ ὁ ἀνὴρ σοὶ μὲν τῷ δεσπότῃ πολὺν χρυσόν τε καὶ ἄργυρον, Παρσώνδῃ δὲ, ποινὴν ὧν ἔδρασεν, ἑκατὸν τάλαντα ἀργυρίου. Πείθεται τούτοις ὁ βασιλεὺς, καὶ τοῦτο τὸ τέλος ἐκπέμπει Ναναρῳ. Καὶ ὁ μὲν προσεκύνησε· Παρσώνδης δὲ, κινῶν τὴν κεφαλὴν, Ὄλοιτο, ἔφη, ὁ πρῶτος χρυσὸν ἐξευρὼν εἰς

ἀνθρώπων γένος· διὰ τοῦτο γὰρ ἐγὼ νῦν γέλως γέγονα ἀνδρὶ Βαβυλωνίῳ. Καὶ ὁ εὐνοῦχος, αἰσθόμενος αὐτὸν βαρέως φέροντα, Ὦ 'γαθὲ, ἔφη, παῦσαι ὀργιζόμενος, καί μοι πείθου, φίλος τε γίνου Ναναρῳ· ταῦτα γὰρ δεσπότης βούλεται. Ὁ δὲ Παρσώνδης καιρὸν ἐτήρει ἀμύνασθαι, εἰ δύναιτο, τόν τε εὐνοῦχον καὶ Νάναρον, καὶ εὗρε καὶ ἠμύνατο.

---

Ὅτι ὁ Στρυαγγαῖος, μετὰ τὴν ἀναίρεσιν Μαρμάρεω τοῦ Σακῶν βασιλέως, εἴχετο ἔρωτι Ζαριναίας σιγῇ πάλαι· κἀκείνη δὲ αὐτοῦ. Καὶ ἐπεὶ πλησίον γίνεται ὁ ἀνὴρ Ῥωξανάκης τῆς πόλεως, ἔνθα Σάκαις τὸ βασίλειον ἦν, ὑπήντησεν αὐτῷ Ζαριναία, καὶ θεασαμένη σὺν πολλῇ χαρᾷ ἐδεξιοῦτό τε αὐτὸν, καὶ ἐφίλησε πάντων ὁρώντων, εἴς τε τὸ ἅρμα αὐτοῦ μετενέβη, καὶ διαλεγόμενοι ἧκον εἰς τὸ βασίλειον. Ὑποδέχεται δὲ ἡ Ζαριναία καὶ τὴν ἑπομένην αὐτῷ στρατειὰν λαμπρότατα. Ἐκ τούτου εἰς τὴν αὐτοῦ καταγωγὴν Στρυαγγαῖος ἀπελύετο, ὑποστενάζων διὰ τὸν Ζαριναίας ἔρωτα. Οὐ καρτερῶν δὲ κοινοῦται τῷ πιστοτάτῳ τῶν εὐνούχων, οἳ συνείποντο. Ὁ δὲ οἷα δὴ θαῤῥύνας αὐτὸν, παρῄνει τὴν πολλὴν ἀτολμίαν ῥίψαντα, αὐτῇ εἰπεῖν Ζαριναίᾳ. Καὶ ὃς, πεισθεὶς, ἀναπηδήσας ᾤχετο παρ' αὐτήν· ἀσμένως δὲ ἐκείνης παραδεξαμένης αὐτὸν, πολλὰ διαμελλήσας καὶ στενάξας, καὶ μεταβαλὼν τὸ χρῶμα, ἐτόλμησεν ὅμως, καὶ εἶπε πρὸς αὐτὴν, ὡς δι' ἔρωτος εἴη σφοδροῦ καιόμενος τῷ πόθῳ αὐτῆς. Ἡ δὲ, πρᾴως μάλα ἀναινομένη, καὶ ἑαυτῇ ἔφη τὸ πρᾶγμα ἐπαισχὲς εἶναι καὶ βλαβερὸν, κἀκείνῳ πολὺ αἴσχιον καὶ βλαβερώτερον, γυναῖκα ἔχοντι Ῥοιταίαν τὴν Ἀστιβάρα θυγατέρα, ἣν ἀκούειν πολὺ καλλίω καὶ αὐτῆς εἶναι, καὶ ἄλλων πολλῶν γυναικῶν. Δεῖν οὖν αὐτὸν μὴ πρὸς πολεμίους μόνον ἀνδρίζεσθαι, ἀλλὰ καὶ πρὸς τὰ τοιαῦτα, ἐπειδάν τι προσπέσῃ τῇ ψυχῇ· καὶ μὴ βραχείας τέρψεως χάριν, ἣν καὶ ἐκ παλλακίδων οἷόν τ' ἔχειν, τὸν πολὺν ἀνιᾶσθαι χρόνον, εἰ αἴσθοιτο Ῥοιταία. Τοῦτ' οὖν μεθέντι ἔφη ἄλλο τι αἰτεῖσθαι· οὐδενὸς

γὰρ ἀτυχήσειν παρ' αὐτῆς. Ὁ μὲν δὴ, τοιαῦτα εἰπούσης, ἐπὶ πολὺ ἥσυχος ἦν, αὖθις δ' ἀσπασάμενος αὐτὴν ἀπέρχεται, καὶ ἐν πλείονι ἀθυμίᾳ ἦν, πρός τε τὸν εὐνοῦχον ὠδύρετο. Τέλος δὲ γράψας εἰς διφθέραν, ἐξώκρωσε τὸν εὐνοῦχον, ἐπειδὰν αὐτὸν διαχρήσηται, μηδὲν προκατειπόντα, τὴν διφθέραν ἀποδοῦναι Ζαριναίᾳ. Ἐγέγραπτο δὲ, « Στρυαγγαῖος Ζαριναίᾳ λέγει « τάδε, Ἐγὼ μέν σε ἔσωσά τε, καὶ τῶν νῦν παρόντων ἀγαθῶν « αἴτιος γέγονα· σὺ δέ με ἀπέκτεινας, καὶ πάντων ἀνόνητον « πεποίηκας. Εἰ μὲν οὖν σοι ταῦτα πέπρακται δικαίως, σύ « τε πάντων τύχοις τῶν ἀγαθῶν, καὶ εἴης μακαρία· εἰ δὲ « ἀδίκως, σύ τε τοῦ αὐτοῦ πάθους ἐμοὶ πεῖραν λάβοις· σὺ « γάρ μοι παρῄνεσας τοιοῦτον γενέσθαι. » Ταῦτα γράψας ὑπὸ τῷ προσκεφαλαίῳ τίθησι, καὶ εἰς ᾅδου ἀπιὼν ἀνδρείως, τὸ ξίφος ᾔτει. Ὁ δὲ εὐνοῦχος. . . . . .

[Λείπουσι δύο σελίδες.]

. . . . . . εἴτε Βελλεροφόντης, εἴτε τὸ θηρίον ἀποθάνοι. Κτείνει δ' οὖν τὴν Χίμαιραν ὁ Βελλεροφόντης, καὶ τὴν Λυκίαν ἐλευθεροῖ τῶν φόβων. Ἀγασθεὶς δ' αὐτοῦ τὸ γενναῖον Ἀμφιάναξ, τήν τε θυγατέρα ἔδωκε καὶ τὴν βασιλείαν ἔχειν. Μετὰ δὲ ταῦτα, Σθενεβοίας ἀπαγξαμένης, ἀνάπυστος ὁ ἔρως ἐγένετο, καὶ ἡ Βελλεροφόντου δικαιοσύνη· καὶ ὁ Προῖτος αὐτῷ ὑπέχειν δίκας ἕτοιμος ἦν.

---

Ὅτι οἱ Ἀργοναῦται πλέοντες ἐπὶ Κόλχους, ἐπεὶ ἐγένοντο ἐν Λήμνῳ ὑπὸ γυναικῶν τότε οἰκουμένῃ, ἧς Ὑψιπύλη ἐβασίλευεν (οἱ δὲ ἄνδρες ἤδη κατέλιπον τὰς γυναῖκας ὑπὸ ζηλοτυπίας, ὅτι ταῖς Θρῄσσαις ἐμίγνυντο καταλιμπάνοντες ταύτας), ἔρχεται εἰς λόγους Ἰάσωνι Ὑψιπύλη. καὶ δῶρα δοῦσα ἔπεισεν αὐτῇ συγκοιμηθῆναι, καὶ τοὺς ἄλλους πεῖσαι ταῖς λοιπαῖς συνευνᾶσθαι, ὡς ἂν ἐγγεννήσειαν παῖδες ἐξ αὐτῶν. Ὁ δὲ ἐπείσθη, καὶ συγγίνονται Λημνίαις οἱ Ἀρ-

γοναῦται· καὶ ἡ Ὑψιπύλη παῖδα ἔσχεν Εὔνεον. Καὶ μείναντες ὀλίγον χρόνον, πάλιν ᾤχοντο.

---

Ὅτι μετὰ τοὺς γάμους Ἡρακλῆς, εἴτε χολῆς ζεσάσης, εἴτε ἄλλῳ τρόπῳ παραφρονήσας, καὶ μανεὶς, κτείνει μὲν δύω τῶν Ἰφικλέους παίδων· τὸν γὰρ πρεσβύτατον Ἰόλαον ὁ πατὴρ ἐξήρπασε· κτείνει δὲ τοὺς Μεγάρας υἱεῖς, ὧν τὸν νεώτατον, ἐπιμαστίδιον ὄντα, ἀποσπάσας βίᾳ τῆς μητρὸς, ὀλίγου ἐδέησε Μεγάραν ἀποκτεῖναι ἀντεχομένην τοῦ παιδὸς, εἰ μὴ καὶ ταύτην ἐῤῥύσατο ἐπελθὼν Ἰφικλῆς. Μετ' οὐ πολὺ δὲ ταῦτα δράσας, ἔννους ἐγένετο καὶ ἐσωφρόνισεν, ἐκλιπεῖν τε διενοεῖτο τὰς Θήβας, ἀχθόμενος ἐπὶ τῇ συμφορᾷ. Ἰφικλῆς δὲ καὶ Λικύμνιος παρεκάλουν αὐτὸν ἀπενιαυτήσαντα, ὡς νόμος ἐστὶν, ἔξω, καὶ καθηράμενον ἐπανελθεῖν εἰς Θήβας, καὶ οἰκεῖν. Ὡς δ' οὐκ ἔπειθον, καὶ αὐτοὶ συνεξώρμησαν. Μεγάρα δὲ καὶ αὐτὴ συνεξώρμα, τῆς μητρὸς κωλυούσης, τοῦ δὲ πατρὸς συνεπαινοῦντος Κρέοντος. Εὐρυσθεὺς δὲ ὁ Σθενέλου τοῦ Περσέως, αἰσθόμενος τὰ καταλαβόντα Ἡρακλέα, μετεπέμπετο αὐτὸν εἰς Τίρυνθα· ὁ δὲ, εἰς νοῦν βαλλόμενος τὸ Ἀμφιτρύωνι χρησθὲν, ὅτι χρεὼν εἴη πείθεσθαι Εὐρυσθεῖ, καὶ ἐσαῦθις μέγα ἕξειν κλέος, ἐναγόντων ἅμα Λικυμνίου καὶ Ἀλκμήνης κατὰ τὴν συγγένειαν, ὥρμησεν εἰς Τίρυνθα μετὰ πάντων. Καὶ ἐπεὶ ἀφίκοντο, Εὐρυσθεὺς Λικυμνίῳ μὲν καὶ Ἰφικλεῖ εὐθέως φίλος ἦν, Ἡρακλέα δὲ ὑφεωρᾶτο, καὶ οὐδαμῶς ᾠκειοῦτο, προσέταττέ τε αὐτῷ τοὺς πόνους ἐκτελεῖν, οὕστινας ἄθλους καλοῦμεν. Ὁ δὲ ἐπείθετο, τῷ μαντείῳ ἑπόμενος.

---

Ὅτι Σκάμανδρος ὁ βασιλεύσας πρῶτος τῶν Τρώων, Σάμωνι χρησάμενος συνεργῷ, τοὺς ἐν τῇ Τρωάδι ἐνίκησεν· ἀποθανόντος δὲ Σάμωνος κατὰ τὴν μάχην, τὴν γυναῖκα αὐτοῦ Δάδαν, μητέρα τῶν νεανίσκων, εἰς τὸ Πόλιον ἐξέπεμψε διὰ κήρυκος, ὡς ἂν ἐκεῖ συνοικήσειεν ὅτῳ βούληται. Ὁ δὲ κήρυξ κατὰ τὴν ὁδὸν βιασάμενος αὐτὴν ᾔσχυνεν. Ἡ δὲ, τὸ ξίφος ἔχουσα τὸ

τοῦ ἀνδρὸς, αὐτὴν διεχρήσατο. Αἰσθόμενοι δὲ οἱ Κρῆτες τὸν κήρυκα κατέλευσαν, ἔνθα ὁ χῶρος Ἀναιδείας ὠνομάσθη.

---

Ὅτι Μόξος ὁ Λυδὸς, πολλὰ καὶ καλὰ ἐργασάμενος, καὶ τὸν Μήλην τῆς τυραννίδος καθελὼν, τοῖς Λυδοῖς παρεκελεύσατο τὴν δεκάτην ἀποδοῦναι, καθὰ ηὔξατο, τοῖς θεοῖς. Οἱ δὲ ἐπείθοντο, καὶ ἀπαριθμοῦντες τὰ κτήματα ἐξῄρουν τὴν δεκάτην ἁπάντων, καὶ κατέθυον. Ἐκ τούτου μέγιστος αὐχμὸς καταλαμβάνει Λυδίαν, καὶ οἱ ἄνθρωποι ἐπὶ μαντείαν κατέφευγον. Πολλὰς δὲ στρατείας λέγεται πεποιῆσθαι οὗτος ὁ ἀνὴρ, καὶ ἦν αὐτοῦ κλέος μέγιστον ἐν Λυδοῖς ἐπί τε ἀνδρείᾳ καὶ δικαιοσύνῃ. Ταῦτα δὲ πράξας αὖθις ἐπὶ τὴν Κράβον ἐστάλη, καὶ πολὺν χρόνον αὐτὴν πολιορκήσας εἷλε καὶ ἐπόρθησε, τοὺς δὲ ἀνθρώπους εἰς τὴν πλησίον λίμνην ἀγαγὼν, οἷα ἀθέους, ἐπόντωσεν.

---

Ὅτι Σαλμωνέως θυγάτηρ ἐγένετο, ἥτις ἐρασθεῖσα τοῦ πατρὸς ὑπ' ἀμηχανίας αὐτὴν διεχρήσατο, πρὶν γάμου κυρῆσαι. Ὁ πατὴρ δὲ αὐτῇ τιμὴν ἔταξεν ἀνὰ πᾶν ἔτος πανήγυριν ἄγεσθαι.

---

Ὅτι Καμβλίτας βασιλεὺς Λυδίας. Τοῦτον λέγεται οὕτω γαστρίμαργον σφόδρα γενέσθαι, ὥστε καὶ τὴν αὐτοῦ γυναῖκα ἐπιθύσαντα καταφαγεῖν. Αὐτός γε μὴν, ἑαυτὸν δόξας ὑπὸ φαρμακῶν βεβλάφθαι, περιβοήτου τοῦ πράγματος γενομένου, ξίφος ἔχων, πληθυούσης ἀγορᾶς ἐν μέσῳ στὰς εἶπεν, Ὦ Ζεῦ, εἰ μὲν ἀπ' ἐμαυτοῦ δέδρακα ταῦτα, ἃ δέδρακα, τίσαιμι ἐν ἐμαυτῷ τὰς δίκας· εἰ δὲ ὑπὸ φαρμακῶν διαφθαρεὶς, οἱ ἐμὲ φαρμάξαντες πάθοιεν. Ταῦτα εἶπε, καὶ, ὁρώντων πάντων, ἑαυτὸν ἀπέσφαξε. Καὶ οἱ μὲν τοῦτον ἐκερτόμουν ὡς γαστρίμαργον, οἱ δὲ ᾤκτειρον ὡς φρενοβλαβῆ ὑπὸ φαρμακῶν. Ἐδόξαζον δὲ τὸν Ἰάρδανον ταῦτα πεποιηκέναι διὰ τὸ ἔχθος.

---

Ὅτι ἐδόκει φρονήσει τὸ τῶν Ἀμυθαονιδῶν γένος τὸ παλαιὸν

ἐν τοῖς Ἕλλησι πρωτεύειν· ὥσπερ καὶ Ἡσίοδός φησιν ἐν τούτοις,

Ἀλκὴν μὲν γὰρ ἔδωκεν Ὀλύμπιος Αἰακίδῃσι,
Νοῦν δ' Ἀμυθαονίδαις, πλοῦτον δέ περ Ἀτρείδῃσι.

---

Ὅτι τὸν Ἀμυκλαῖον νομὸν κατὰ τὰς ὁμολογίας τῷ προδότῃ Φιλονόμῳ ἐξελόντες οἱ Ἡρακλεῖδαι ἀνέμητον ἀφῆκαν. Ὁ δὲ, αἰσχυνόμενος ἐπὶ τῇ προδοσίᾳ, οὐδαμοῦ ἐφαίνετο. Οἱ δὲ Ἡρακλεῖδαι ἀναδασάμενοι καὶ τοῦτον ἐνέμοντο. Ὕστερόν γε μὴν ἀφικομένῳ ἐκ Λήμνου σὺν λαῷ, ὅντινα ἐπὶ τῇ ἴσῃ καὶ ὁμοίᾳ [συνεπήγετο], πάλιν ἀπέδοσαν. Καὶ ὃς τοῖς ἥκουσι διελὼν τὴν γῆν, ᾤκει ἅμα αὐτοῖς βασιλεύων Ἀμυκλῶν.

---

Ὅτι Λυκάων ὁ Πελασγοῦ υἱὸς, βασιλεὺς Ἀρκάδων, ἐφύλαττε τὰ τοῦ πατρὸς εἰσηγήματα ἐν δικαιοσύνῃ. Ἀποστῆσαι δὲ βουλόμενος καὶ αὐτὸς τῆς ἀδικίας τοὺς ἀρχομένους, ἔφη τὸν Δία ἑκάστοτε φοιτᾷν παρ' αὐτὸν ἀνδρὶ ξένῳ ὁμοιούμενον, εἰς ἔποψιν τῶν δικαίων τε καὶ ἀδίκων. Καί ποθ', ὡς αὐτὸς ἔφη, μέλλων ὑποδέχεσθαι τὸν θεὸν, θυσίαν ἐπιτελεῖ. Τῶν δὲ υἱῶν πεντήκοντα, ὥς φασιν, ὄντων ἐκ πολλῶν γυναικῶν, βουλόμενοι γνῶναι οἱ τῇ θυσίᾳ παρόντες, εἰ τῷ ὄντι θεὸν μέλλουσι ξενοδοχεῖν, θύσαντες τινὰ παῖδα, ἐγκατέμιξαν τοῖς τοῦ ἱερείου κρέασιν, ὡς οὐ λήσοντες, εἴπερ ὄντως θεὸς ἔπεισιν· Ὑπὸ δὲ τοῦ δαιμονίου χειμώνων μεγάλων καὶ κεραυνῶν ῥαγέντων, φασὶ τοὺς αὐτόχειρας ἅπαντας τοῦ παιδὸς ἀπολέσθαι.

---

Ὅτι ὁ Ἱππομένης, ὁ Ἀθηναίων ἄρχων, ἐξέπεσε τῆς ἀρχῆς δι' αἰτίαν τοιάνδε. Ἦν αὐτῷ θυγάτηρ, ἥντινα, τῶν ἀστῶν τινος αἰσχύναντος λάθρα, ὑπ' ὀργῆς καθεῖρξεν εἰς οἴκημα, δήσας σὺν ἵππῳ, καὶ τροφὴν οὐδετέρῳ εἰσέπεμπεν. Πιεσθεὶς οὖν λιμῷ ὁ ἵππος, ἐφορμήσας τῇ παιδὶ, ἀναλώσας τε αὐτὴν, καὶ αὐτὸς ὕστερον ἀπέθανε. Μετὰ ταῦτα ἐπισκαφείσης αὐτοῖς τῆς οἰκήσεως, ἀπ' ἐκείνου ὁ χῶρος ἐκαλεῖτο Ἵππου καὶ Κόρης.

---

Ὅτι ἡ Ἀκάστου γυνὴ Πηλέως ἐρασθεῖσα, λόγους ὑπὲρ μίξεως εἰσφέρει· ἀναινομένου δὲ, δείσασα μή μιν κατείπῃ πρὸς τὸν ἄνδρα, ὑποφθάσασα αὐτὸν προδιαβάλλει πρὸς τὸν ἄνδρα, ὡς συνευνηθῆναί οἱ θέλοντα. Ὁ δὲ λόχον ὑφείσας ἐπεβούλευσε Πηλεῖ. Καὶ ὃς αἰσθόμενος, εἰς πόλεμον κατέστη πρὸς αὐτὸν, ἐπικαλεσάμενος βοηθοὺς τούς τε Τυνδαρίδας, καὶ Ἰάσωνα, ἐχθρὸν ὄντα ἐκείνῳ, φίλος αὐτὸς ὢν, διὰ τὸ σύμπλους ἐν τῇ Ἀργοῖ γεγονέναι· καὶ τήν τε Ἰωλκὸν αἱρεῖ καὶ τὴν Ἀκάστου γυναῖκα σφάττει.

---

Ὅτι Λυκούργῳ τοιάδε ἡ τελευτὴ τοῦ βίου ἐγένετο. Βουλόμενος, ὥς φασι, τὸν θεὸν ἐρέσθαι περί τινων ὑπολοίπων νόμων, ὥρκωσε Λακεδαιμονίους, ἄχρις ἐπάνεισι, μηδένα λῦσαι τῶν κειμένων. Ὀμοσάντων δ', ἐπεὶ χρηστηριαζόμενος ἤκουσε παρὰ τοῦ θεοῦ, ὡς εὐδαίμων ἡ πόλις ἔσοιτο, εἰ τοῖς ἐκείνου νόμοις ἐμμένοι, ἔγνω μηκέτι ἐπανελθεῖν, τὸ βέβαιον τῆς φυλακῆς ἐκ τοῦ ὅρκου ποιησάμενος. Καταβὰς δὲ εἰς Κρίσαν αὐτὸν διεργάζεται. Λακεδαιμόνιοι δὲ αἰσθόμενοι, διά τε τὴν προτέραν ἀρετὴν καὶ τὴν τότε κριθεῖσαν περὶ τὸν θάνατον, ναόν τε αὐτῷ ἐτεμένισαν, καὶ βωμὸν ἱδρυσάμενοι θύουσιν ὡς ἥρωϊ ἀνὰ πᾶν ἔτος. Περιφανῶς γὰρ δὴ Σπαρτιάταις αἴτιος μόνος ἐγένετο τῆς εἰς ἅπαν ἀρετῆς τε καὶ ἡγεμονίας, οὐδὲν ἄμεινον τῶν ἄλλων πάλαι διακειμένοις· οὐ μόνον ὅτι αὐτοῖς νόμους ἔθετο ἀρίστους, ἀλλὰ καὶ ὅτι ἄκοντας προὐτρέψατο χρῆσθαι αὐτοῖς τρόπῳ τοιῷδε. Δύω σκύλακας λαβὼν ἀπὸ τῆς αὐτῆς μητρὸς ἔτρεφε, χωρὶς δὲ ἀλλήλων ἀνομοίοις ἤθεσι· τὸν μὲν κατ' οἶκον, ὄψα τε διδοὺς καὶ τὴν ἄλλην λιχνείαν, τὸν δὲ ἐν κυνηγεσίοις θηρᾶν ἀναγκάζων καὶ στιβεύειν ἐν ὄρεσιν. Ὡς δ' ἑκάτερος αὐτῶν ὅμοιος ἐγένετο τῇ τροφῇ, Σπαρτιάταις ἐκκλησιάζουσι πρὸς τοὺς περιοίκους πολέμου πέρι, καὶ ἀμηχανοῦσι, παραγαγὼν ἀμφοτέρους εἰς μέσον, καὶ σὺν αὐτοῖς δόρκους τε καὶ ζωμοὺς καὶ ὄψα ἐσκευασμένα, ἔλεξεν. Ἀλλ' ὅτι μὲν, ὦ Σπαρτιᾶται, τοῦ εὖ τε καὶ κακῶς πράττειν οὐκ

ἄλλο

ἄλλο ἐστὶν αἴτιον πλὴν τὸ ἔθεσι χρῆσθαι φαύλοις ἢ σώφροσι, πάρεστιν ὑμῖν ὁρᾷν. Οἵδε γέ τοι (τοὺς σκύλακας δείξας), τῆς αὐτῆς μητρὸς ὄντες, ἐναντίως δὲ ἀλλήλοις τεθραμμένοι, παρ' αὐτὸ τοῦτο ἀνόμοιοι ἐκβεβήκασιν. Ὁ μὲν γὰρ θηρᾷν μαθὼν, ὁ δὲ λιχνεύειν, οὐδὲν ἀντὶ τοῦδε, εἰ παρείκοι ποιήσειε. Καὶ ἅμα προσέταξε τῷ κυνουλκῷ μεθεῖναι ἀμφοτέρους ἐπὶ τὰ ἡτοιμασμένα. Τῶν δὲ ὁ μὲν κατοικίδιος ἐπὶ τοὖψον ὥρμησεν, ὁ δὲ θηράτωρ ἐπὶ τὸν δόρκον, καὶ καταλαβὼν ἐσπάραττε. Καὶ Λυκοῦργος πάλιν, Ταῦτα, ἔφη, νομίσατε, ὦ Σπαρτιάται, καὶ εἰς ὑμᾶς τείνειν καὶ τοὺς ἄλλους πάντας ἀνθρώπους· ὁποίοις γὰρ ἂν ἔθεσι καὶ νόμοις χρῆσθε, τοιούτους ἀποβαίνειν ἀνάγκη πρός τε πόνους καὶ τρυφήν· πάντα γὰρ ἀνθρώποις μαθητὰ οἱ θεοὶ ἔδοσαν. Ἔπειτα δὲ τῷ μὲν πονεῖν ἐθέλειν τὸ ἐλευθέρους εἶναι, καὶ τὸ εὖ πράττειν καὶ κρατεῖν πάντων· τῷ δὲ ἡδυπαθεῖν τό τε δουλεύειν καὶ κακουργεῖν, καὶ μηδενὸς ἀξίους εἶναι. Ὁ μὲν τοιαῦτα λέγων προὐτρέπετο τοὺς Σπαρτιάτας μεταβαλεῖν τε τὸν καθεστῶτα τρόπον τοῦ βίου, καὶ βελτίοσι νόμοις ἐθισθῆναι. Οἱ δὲ, πεισθέντες, οὐ τῶν περιοίκων μόνον, ἀλλὰ καὶ πάντων Ἑλλήνων διαφανῶς ἄριστοι ἐγένοντο, ἡγεμόνες τε συνεχῶς, ἐξ ὅτου παρεδέξαντο τοὺς νόμους, ἐπὶ ἔτη πεντακόσια, καὶ οὐ πολλοῦ χρόνου ἐπὶ μέγα ἐχώρησαν δυνάμεως.

---

Ὅτι Περίανδρος ὁ Κυψέλου υἱὸς, τοῦ βασιλέως Κορινθίων, τὴν βασιλείαν παρὰ τοῦ πατρὸς κατὰ πρεσβεῖον παραλαμβάνει, καὶ ὑπὸ ὠμότητος καὶ βίας ἐξέτρεψεν αὐτὴν εἰς τυραννίδα, καὶ δορυφόρους εἶχε τριακοσίους. Ἐκώλυέ τε τοὺς πολίτας δούλους κτᾶσθαι, καὶ σχολὴν ἄγειν, ἀεί τινα αὐτοῖς ἔργα ἐξευρίσκων. Εἰ δέ τις ἐπὶ τῆς ἀγορᾶς ἐκαθέζετο, ἐζημίου, δεδιὼς μή τι βουλεύοιντο κατ' αὐτοῦ. Λέγεται καὶ ἄλλο αὐτὸν ἔργον ἄνομον ἐργάζεσθαι, νεκρᾷ τῇ ἑαυτοῦ γυναικὶ μιγέντα ὑπ' ἔρωτος. Ἐστρατεύετο δὲ συνεχῶς, καὶ ἦν πολεμικός· τριήρεις τε ναυπηγησάμενος ἀμφοτέραις ἐχρῆτο ταῖς θα-

λάσδαις. Φασὶ δέ τινες αὐτὸν καὶ τῶν ἑπτὰ σοφῶν γεγονέναι· τὸ δὲ οὐκ ἦν.

---

Ὅτι Μάγνης ἦν ἀνὴρ Σμυρναῖος, καλὸς τὴν ἰδέαν, εἴ τις καὶ ἄλλος, ποιήσει τε καὶ μουσικῇ δόκιμος. Ἤσκητο δὲ καὶ τὸ σῶμα διαπρεπεῖ κόσμῳ, ἁλουργῆ ἀμπεχόμενος, καὶ κόμην τρέφων χρυσῷ στροφίῳ κεκορυμβωμένην· περιῄει τε τὰς πόλεις ἐπιδεικνύμενος τὴν ποίησιν. Τούτου δὲ πολλοὶ μὲν καὶ ἄλλοι ἤρων, Γύγης δὲ μᾶλλόν τι ἐφλέγετο, καὶ αὐτὸν εἶχε παιδικά. Γυναῖκάς γε μὴν πάσας ἐξέμηνεν, ἔνθα ἐγένετο ὁ Μάγνης, μάλιστα δὲ τὰς Μαγνήτων, καὶ συνῆν αὐταῖς. Οἱ δὲ τούτων συγγενεῖς, ἀχθόμενοι ἐπὶ τῇ αἰσχύνῃ, πρόφασιν ποιησάμενοι, ὅτι ἐν τοῖς ἔπεσιν ᾖσεν ὁ Μάγνης Λυδῶν ἀριστείαν ἐν ἱππομαχίᾳ πρὸς Ἀμαζόνας, αὐτῶν δὲ οὐδὲν ἐμνήσθη, ἐπαΐξαντες περικατέῤῥηξάν τε τὴν ἐσθῆτα, καὶ τὰς κόμας ἐξέκειραν, καὶ πᾶσαν λώβην προσέθεσαν. Ἐφ' οἷς ἤλγησε μάλιστα Γύγης, καὶ πολλάκις εἰς τὴν Μαγνήτων γῆν ἐνέβαλε. Τέλος δὲ χειροῦται τὴν πόλιν· ἐπανελθὼν δὲ εἰς Σάρδεις, πανηγύρεις ἐποιήσατο μεγαλοπρεπεῖς.

---

Ὅτι Σαδυάττης ὁ Λυδῶν βασιλεὺς, Ἀλυάττεω παῖς, ἦν μὲν τὰ πολέμια γενναῖος, ἄλλως δὲ ἀκόλαστος. Καὶ γάρ ποτε τὴν ἑαυτοῦ ἀδελφὴν, γυναῖκα Μιλήτου, ἀνδρὸς δοκίμου, καλέσας ἐφ' ἱερὸν, βίᾳ ᾔσχυνε, καὶ τὸ λοιπὸν αὐτὴν ἴσχει γυναῖκα. Ὁ δὲ Μίλητος ἦν Μέλανος τοῦ Γύγου γαμβροῦ ἀπόγονος. Δυσανασχετῶν δὲ ἐπὶ τούτοις, φεύγων ᾤχετο εἰς Δασκύλιον. Σαδυάττης δὲ κἀκεῖθεν αὐτὸν ἐξέωσεν. Ὁ δὲ ἀπεχώρησεν εἰς Προκόννησον· Σαδυάττης δὲ ὀλίγον ὕστερον ἔγημεν ἑτέρας δύω γυναῖκας ἀλλήλαις ἀδελφὰς, καὶ ἴσχει παῖδας, ἐκ μὲν τῆς Ἀττάλην, ἐκ δὲ τῆς Ἄδραμυν νόθους· ἐκ δὲ τῆς αὐτοῦ ἀδελφῆς γνήσιον Ἀλυάττην.

Ὅτι Ἀλυάττης ὁ Σαδυάττεω υἱὸς, βασιλεὺς Λυδῶν, ἕως μὲν νέος ἦν, ὑβριστὴς ἦν καὶ ἀκόλαστος, ἐκβὰς δὲ εἰς ἄνδρας,

σωφρονέστατος καὶ δικαιότατος. Ἐπολέμησε δὲ Σμυρναίοις, καὶ εἷλεν αὐτῶν τὸ ἄστυ.

Ὅτι Ἀλυάττης ὁ Κροίσου πατὴρ, τοῦ Λυδῶν βασιλέως, ἐπὶ Καρίαν στρατεύων, παρήγγειλε τοῖς ἑαυτοῦ στρατὸν ἄγειν εἰς Σάρδεις ἐν ἡμέρᾳ τακτῇ, ἐν οἷς καὶ Κρείσῳ, ὅστις ἦν αὐτοῦ πρεσβύτατος τῶν παίδων, ἄρχειν ἀποδεδειγμένος Ἀδραμυττίου καὶ Θήβης πεδίου. Ὁ δὲ, ὥς φασιν, ὑπὸ ἀκολασίας οὐχ οἷός τε ἦν, καί πως διεβέβλητο πρὸς τὸν πατέρα. Βουλόμενος δὲ ἐν τῷδε τῷ ἔργῳ ἀπολύσασθαι τὰς αἰτίας, καὶ ἀπορῶν ὁπόθεν μισθώσαιτο ἐπικούρους (μισθωτοῖς γὰρ ἐχρῶντο), ἦλθεν ἐπὶ Σαδυάττην τὸν ἔμπορον, πλουσιώτατον Λυδῶν ὄντα, δανείζεσθαι βουλόμενος. Ὁ δὲ αὐτὸν πρῶτον ἀναμένειν ἐκέλευσε πρὸ τῶν θυρῶν, ἄχρι λούσηται· μετὰ δὲ, ἐντυγχάνοντι ἀποκρίνεται, ὅτι πολλοὶ παῖδες εἶεν Ἀλυάττῃ, οἷς πᾶσιν εἰ δεήσοι αὐτὸν ἀργύριον διδόναι, οὐκ ἐξαρκέσει· οὐκοῦν δοῦναι δεομένῳ. Κροῖσον δὲ, ἀποτυχόντα τἀνθρώπου, εἰς Ἔφεσον ἀφικέσθαι κατὰ ζήτησιν ἀργυρίου. Καὶ τότε μὲν εὔξασθαι τῇ Ἀρτέμιδι, εἰ βασιλεύσειε, τὸν οἶκον ἅπαντα καθιερώσειν τοῦ ἐμπόρου. Ἦν δέ τις Κροίσῳ φίλος, ἀνὴρ Ἴων, ὄνομα Παμφάης, υἱὸς Θεοχαρίδου εὖ μάλα εὐπόρου. Οὗτος ὁρῶν τὴν Κροίσου σπουδὴν, ἐδεήθη τοῦ πατρὸς χιλίους στατῆρας δοῦναί οἱ πάσῃ μηχανῇ· τυχὼν δὲ παρ' αὐτοῦ, δίδωσι Κροίσῳ. Ἀνθ' ὧν μέγαν τε αὐτὸν Κροῖσος ὕστερον ἐποίησε, βασιλεὺς γενόμενος, καὶ εἰς τὴν ἀκρόπολιν εἰσαγαγὼν ἅμαξαν αὐτῷ ἔδωκε μεστὴν χρυσίου· τὸν δὲ τοῦ ἐμπόρου οἶκον Ἀρτέμιδι καθιέρωσε, καὶ αὐτὰ τὰ θεμέλια ἀποδόμενος διὰ τὴν εὐχὴν, ὡς μηδὲν λείποιτο. Ὁ δὲ Κροῖσος τοὺς χιλίους λαβὼν χρυσοῦς, στράτευμά τε ἤγειρε, καὶ πρῶτος εἰς τὴν κυρίαν ἡμέραν ἄγων ἔδειξε τῷ πατρὶ, καὶ συνεισέβαλεν εἰς τὴν Καρίαν. Κρείττων δὲ ἐξ ἐκείνου τοῦ ἔργου τῶν αὐτὸν διαβαλλόντων γίνεται.

---

Ὅτι Κῦρος ὁ Περσῶν βασιλεὺς ἦν φιλοσοφίας, εἰ καί τις

ἄλλος, ἔμπειρος, ἥντινα παρὰ τοῖς μάγοις ἐπαιδεύθη. Δικαιοσύνην τε καὶ ἀλήθειαν ἐδιδάχθη κατὰ δή τινας πατρίους νόμους καθεστῶτας Περσῶν τοῖς ἀρίστοις· ὃς καὶ μετεπέμψατο Σίβυλλαν ἐξ Ἐφέσου τὴν Ἡροφίλαν καλουμένην χρησμῳδόν.

Ὅτι ὁ Κῦρος ᾤκτειρε Κροῖσον τὸν Λυδῶν βασιλέα διὰ τὴν ἀρετήν. Καὶ οἱ Πέρσαι μεγάλην ἔνησαν πυρὰν Κροίσῳ ὑπό τινα ὑψηλὸν τόπον, ἀφ' οὗ ἔμελλον θεάσασθαι τὰ γινόμενα. Καὶ μετὰ ταῦτα Κῦρος ἐξήλαυνεν ἐκ τῶν βασιλείων, καὶ ἡ δύναμις παρῆν ἅπασα, πολύς τε ὅμιλος καὶ ἀστῶν καὶ ξένων. Ὀλίγον δ' ὕστερον θεράποντες ἦγον Κροῖσον δεσμώτην, καὶ Λυδῶν δὶς ἑπτά. Ὡς δὲ ἐθεάσαντο Λυδοί, πάντες οἰμωγῇ καὶ στόνῳ ἀνέκλαυσαν, καὶ ἔπληξαν τὰς κεφαλάς. Τοσοῦτος δ' ἐκ τοῦ ὁμίλου κωκυτὸς ἀνδρῶν ὁμοῦ καὶ γυναικῶν μετὰ δακρύων καὶ βοῆς ἐξεῤῥάγη, ὁπόσος οὐδὲ ἁλισκομένης τῆς πόλεως. Τότε δή τις ἂν καὶ τὴν τύχην ᾤκτειρε, καὶ Κροῖσον ἐθαύμασε τῆς πρὸς τοὺς ἀρχομένους φιλίας. Ὥσπερ γὰρ πατέρα ἑωρακότες, οἱ μὲν τὰς ἐσθῆτας κατεῤῥήγνυντο, οἱ δὲ τὰς κόμας ἔτιλλον· γυναικῶν δὲ ἡγεῖτο πληθὺς μυρία μετὰ κομμοῦ καὶ ὀλολυγῆς. Αὐτὸς δὲ ἄδακρυς προσῄει καὶ σκυθρωπός. Ὁ δὲ Κῦρος, ταῦθ' ὁρῶν γινόμενα, οὐκ ἐκώλυε, βουλόμενος καὶ τοὺς Πέρσας οἶκτόν τινα λαβεῖν αὐτοῦ. Ὡς δὲ προϊὼν κατ' αὐτὸν γίνεται ὁ Κροῖσος, ἐφθέγξατο μεγάλῃ τῇ φωνῇ, δεόμενος τὸν υἱὸν ἀχθῆναί οἱ, ὃς οὐκέτι ἐπεπήρωτο τὴν φωνήν, ἐξ ὅτου τὸ πρῶτον ἐφθέγξατο· ἦν δὲ καὶ τἄλλα ἔμφρων. Καὶ ὁ Κῦρος ἄγειν ἐκέλευσε τὸν νεανίσκον. Καὶ μετ' οὐ πολὺ ἤγετο ἑπομένων αὐτῷ πολλῶν ἡλίκων. Θεασάμενος δὲ αὐτὸν ὁ Κροῖσος οὐκέθ' ὁ αὐτὸς ἦν, ἀλλὰ τότε πρῶτον ἐδάκρυσεν. Ὁ δὲ μετὰ κλαθμοῦ καὶ βοῆς προσπεσὼν πρὸς τὸν Κροῖσον, Οἴμοι, πάτερ, ἔφη, ἡ σὴ εὐσέβεια. Πότε δ' ἡμῖν οἱ θεοὶ βοηθήσουσιν; Ἀποβλέψας δὲ εἰς τοὺς Πέρσας, Ἄγεθ', ἱκετεύω, κἀμὲ, ἔφη, καὶ συνεμπρήσατε· κἀγὼ γὰρ ὑμῶν πολέμιος εἰμὶ οὐχ ἧττον ἢ ὁ πατήρ. Καὶ ὁ Κροῖσος,

Οὐκ ὀρθῶς λέγεις, ἔφη, μόνος γὰρ ἐγὼ τὸν πόλεμον ἐξήνεγκα, ὑμῶν δὲ καὶ τῶν ἄλλων Λυδῶν οὐδείς· ἐμὲ χρὴ καὶ τὴν τιμωρίαν ὑποσχεῖν. Ἐμφυεὶς δὲ τῷ πατρὶ ὁ νεανίσκος οὐκέτ' ἀφίστατο· ἀλλ' ὀδυρόμενος οἴκτου πάντα ἀνέπλησεν, ἀφιεὶς καὶ ἑαυτὸν ἄγειν ἐπὶ τὴν πυράν. Οὐ γάρ, ἔφη, λελείψομαι τῆς σῆς μοίρας, ὦ πάτερ. Εἰ δὲ νῦν με οὐκ ἐάσουσιν, ἀλλὰ προσδέχου με ταχύ. Τίς ἔτι μοι τοῦ βίου ἐλπίς; ὃς ἐξ ὅτου περ ἔφυν, ἀεὶ μὲν σοὶ λυπηρὸς ἦν, ἀεὶ δ' ἐμαυτῷ· εὐτυχοῦντα μὲν ἐκτρεπόμενος ὑπ' αἰδοῦς διὰ τὴν τότε μοι προσοῦσαν ἀφωνίαν τε καὶ λώβην· ἐπεὶ δ' ἠρξάμεθα δυστυχεῖν, τότε πρῶτον φωνὴν ἀφῆκα, καί μ' εἰς τοῦτο μόνον ἤρθρωσαν οἱ θεοί, ὅπως ἂν ὀδύρωμαι τὰς ἡμετέρας τύχας. Ὁ δὲ πατὴρ ἔφη, Μὴ παντάπασιν, ὦ παῖ, σεαυτὸν ἀπογνῷς, νέος ὤν, καὶ πολλοῦ σοι ἔτι ὄντος τοῦ λοιποῦ βίου, ὅπου γε κἀμοὶ λείπεταί τις ἐλπὶς ὅμως, καὶ οὔπω τἀκ θεοῦ ἀπέγνων. Ἅμα δὲ ταῦτα λέγοντι προσῄεσαν πολλαί δή τινες θεράπαιναι, κομίζουσαι ἐσθῆτας πολυτελεῖς καὶ ἄλλον παμπληθῆ κόσμον, ὃν ἔπεμψαν συγκατακαησόμενον αἱ τῶν Λυδῶν γυναῖκες. Ὁ δέ, τὸν υἱὸν ἀσπασάμενος καὶ τοὺς ἐν κύκλῳ Λυδούς, ἐπὶ τὴν πυρὰν ᾔει. Καὶ ὁ παῖς, εἰς τὸν οὐρανὸν τὰς χεῖρας ἀνασχών, Ὦναξ Ἄπολλον καὶ θεοὶ πάντες, εἶπεν, οὕστινας ὁ πατὴρ ἐτίμησεν, ἔλθετε νῦν γε βοηθοί, καὶ μὴ συναπόλοιτο Κροίσῳ πᾶσα ἀνθρώπων εὐσέβεια. Ταῦτα εἰπόντα μόλις ἀπῆγον οἱ φίλοι, βιαζόμενον εἰς τὴν πυρὰν αὐτὸν συνεμβάλλειν. Κροίσου δὲ ἐπιβαίνοντος αὐτῇ, ἡ Σίβυλλα ὤφθη ἀπό τινος ὑψηλοῦ χωρίου καταβαίνουσα, ἵνα καὶ αὐτὴ ἴδῃ τὰ γινόμενα. Ταχὺ δὲ θροῦς ἦλθε διὰ τοῦ ὁμίλου, ὅτι ἡ χρησμῳδὸς ἥκει, καὶ ἐν προσδοκίᾳ πάντες ἐγένοντο, εἴ τι πρὸς τὰ παρόντα θεσπίσειε. Καὶ μετ' οὐ πολὺ ἔντονόν τι φθεγξαμένη βοᾷ.

Ὦ μέλεοι, τί σπεύδεθ' ἃ μὴ θέμις· οὐ γὰρ ἐάσει  
Ζεὺς ὕπατος, Φοῖβός τε, καὶ ὁ κλυτὸς Ἀμφιάραος.  
Ἀλλά γ' ἐμῶν ἐπέων πείθεσθ' ἀψευδέσι χρησμοῖς,  
Μὴ κακὸν οἶτον ὄλοισθε παρὲκ θεοῦ ἀφραίνοντες.

Κῦρος δ' ἀκούσας ἐκέλευσε τὸν χρησμὸν διενεγκεῖν τοῖς Πέρσαις, ὡς ἐξευλαβηθεῖεν ἁμαρτάνειν. Οἱ δὲ δι' ὑποψίας γίνονται, ὡς κατεσκευασμένης, ἵνα σώζοιτο Κροῖσος. Ὁ δ' ἤδη ἐπὶ τῆς πυρᾶς καθῆστο, καὶ σὺν αὐτῷ δὶς ἑπτὰ Λυδῶν· ἐν κύκλῳ δὲ Πέρσαι δᾷδας ἔχοντες ἧπτον. Σιωπῆς δὲ γενομένης, στενάξας μέγα, εἰς τρεῖς ἀνακαλεῖται πάλιν Σόλωνα. Καὶ ὁ Κῦρος ἀκούσας ἐδάκρυσεν, ἐννοηθεὶς ὅτι νεμεσητὰ δρᾷ, βιασθεὶς ὑπὸ Περσῶν, βασιλέα οὐδὲν ἐλάττονα αὐτοῦ τὴν τύχην ἐμπιπράς. Συνεκέχυντο δὲ ἤδη καὶ Πέρσαι τὰ μὲν ἐπὶ Κροίσῳ, τὰ δὲ ἐπὶ τῷ σφετέρῳ βασιλεῖ ὁρῶντες ἀχθόμενον ἐπὶ τούτοις, καὶ ἐκέλευον σώζειν Κροῖσον. Ταχὺ δὲ Κῦρος πέμψας τοὺς ἀμφ' αὐτὸν, ἐκέλευσε τὴν πυρὰν σβεννύναι. Ἡ δὲ ἤθετο, καὶ οὐκέθ' οἷόν τ' ἦν ἐξημμένην ἐν κύκλῳ προσιέναι τινά. Φασὶ δὴ Κροῖσον, ἐμβλέψαντα εἰς τὸν οὐρανὸν, εὔξασθαι τῷ Ἀπόλλωνι ἀρῆξαί οἱ, ὁπότε καὶ οἱ ἐχθροὶ σώζειν αὐτὸν ἐθέλοντες οὐ δύναιντο. Χειμὼν δ' ἔτυχε τὴν ἡμέραν ἐκείνην ἐξ ἠοῦς, οὐ μὴν ὑετός γε. Κροίσου δ' εὐξαμένου ζοφερὸς ἐξαίφνης ἀὴρ συνέδραμε νεφούμενος πάντοθεν, βρονταί τε γίνονται καὶ ἀστραπαὶ συνεχεῖς· τοσοῦτος δὲ κατεῤῥάγη ὑετὸς, ὥστε μὴ μόνον τὴν πυρὰν σβεσθῆναι, ἀλλὰ καὶ τοὺς ἀνθρώπους μόλις ἀντέχειν. Κροίσῳ μὲν οὖν ταχὺ στέγασμα πορφυροῦν ὑπερέτεινον· τοῖς δὲ ἀνθρώποις τὰ μὲν ὑπὸ ζόφου καὶ λαίλαπος ταραττομένοις, τὰ δὲ ὑπὸ τῶν ἀστραπῶν, [καὶ] καταπατουμένοις ὑπὸ τῶν ἵππων, ταραχυνομένων πρὸς τὸν ψόφον τῶν βροντῶν, δείματα δαιμόνια ἐνέπιπτε, καὶ οἵ τε τῆς Σιβύλλης χρησμοὶ καὶ τὰ Ζωροάστρου λόγια εἰσῄει. Κροῖσον μὲν οὖν ἐβόων ἔτι μᾶλλον ἢ πάλαι σώζειν· αὐτοὶ δὲ καταπίπτοντες εἰς γῆν προσεκύνουν, εὐμένειαν παρὰ τοῦ θεοῦ αἰτούμενοι. Φασὶ δέ τινες Θαλῆν, προειδόμενον ἔκ τινων σημείων ὄμβρον γενησόμενον, καὶ ἀναμένειν τὴν ὥραν ἐκείνην. Τόν γε μὴν Ζωροάστρην, Πέρσαι ἀπ' ἐκείνου διεῖπαν, μήτε νεκροὺς καίειν, μήτ' ἄλλως μιαίνειν πῦρ, καὶ πάλαι τοῦτο καθεστὼς τὸ νόμιμον τότε βεβαιωσάμενοι. Κῦρος δ' εἰς τὰ βασίλεια Κροῖσον ἄγων παρ-

εκάλει τε καὶ ἐφιλοφρονεῖτο, πειθόμενος εἶναι θεοσεβέστατον· ἐκέλευέ τε εἴ τι βούλεταί οἱ γενέσθαι, μὴ ὀκνεῖν, ἀλλ' αἰτεῖσθαι. Ὁ δὲ εἶπεν, ὦ δέσποτα, ἐπεί μέ σοι θεοὶ ἔδοσαν, σύ τε χρηστὰ ἐπαγγέλλεις, αἰτοῦμαί σε δοῦναί μοι πέμψαι Πυθῶδε τὰς πέδας τάσδε, καὶ τὸν θεὸν ἐρέσθαι, τί παθὼν ἐξηπάτα με τοῖς χρησμοῖς ἐπάρας στρατεύειν ἐπὶ σὲ ὡς περιεσόμενον; ἐξ ὅτου αὐτῷ τάδε ἀκροθίνια πέμπω (δείξας τὰς πέδας)· καὶ τί δήποτε ἀμνημονοῦσι χάριτος οἱ τῶν Ἑλλήνων θεοί; Κῦρος δὲ γελάσας καὶ τάδε ἔφη δώσειν, καὶ ἄλλων οὐκ ἀτυχήσειν αὐτὸν μειζόνων. Κῦρος δὲ ὀλίγου χρόνου φίλον ἐπεποίητο Κροῖσον, ἐξιών τε ἐκ Σάρδεων ἀπέδωκε παῖδας καὶ γυναῖκας, καὶ σὺν αὐτῷ ἐπήγετο. Φασὶ δέ τινες καὶ ἐπιτρέψαι ἂν αὐτῷ τὴν πόλιν, εἰ μὴ ᾤετο νεωτεριεῖν.

---

Ἐν ᾧ δὲ οὗτοι περὶ ταῦτα ἦσαν, ὁ Φαυστύλος ἀπάγεται πρὸς Ἀμόλιον. Δεδοικὼς γὰρ μὴ οὐ πιςὰ δόξῃ τῷ Νομέτορι λέγειν ὁ Φαυστύλος, ἄνευ σημείων ἐμφανῶν μεγάλου πράγματος μηνυτὴς γενόμενος, τὸ γνώρισμα τῆς ἐκθέσεως τῶν βρεφῶν, τὴν σκάφην ἀναλαβὼν, ὀλίγον ὕστερον ἐδίωκεν εἰς τὴν πόλιν. Διερχόμενον δ' αὐτὸν τὰς πύλας ταραχωδῶς πάνυ, καὶ περὶ πολλοῦ ποιούμενον μηδενὶ ποιῆσαι καταφανὲς τὸ φερόμενον, τῶν φυλάκων τις καταμαθὼν (ἦν δὲ πολεμίων ἐφόδου δέος, καὶ τὰς πύλας οἱ μάλιστα πεπιστευμένοι παρὰ τοῦ βασιλέως ἐφρούρουν,) συλλαμβάνει δὴ, καὶ τὸ κρυπτὸν ὅ τι δήποτ' ἦν καταμαθεῖν ἀξιῶν ἀποκαλύπτει βίᾳ τὴν περιβολήν. Ὡς δὲ τὴν σκάφην ἐθεάσατο, καὶ τὸν ἄνθρωπον ἔμαθεν ἀπορούμενον, ἠξίου λέγειν, τίς ἡ ταραχὴ, καὶ τί τὸ βούλημα τοῦ μὴ φανερῶς εἰσφέρειν σκεῦος, οὐδὲν δεόμενον ἀποῤῥήτου φορᾶς. Ἐν δὲ τούτῳ πλείους τῶν φυλάκων συνέῤῥεον· καί τις αὐτῶν γνωρίζει τὴν σκάφην, αὐτὸς ἐν ἐκείνῃ τὰ παιδία κομίσας ἐπὶ τὸν ποταμὸν καὶ φράζει πρὸς τοὺς παρόντας. Οἱ δὲ συλλαβόντες τὸν Φαυστύλον ἄγουσιν ἐπ' αὐτὸν τὸν βασιλέα καὶ διηγοῦνται τὰ γενόμενα. Ἀμόλιος δὲ, ἀπειλῇ βασάνων

καταπληξάμενος τὸν ἄνθρωπον, εἰ μὴ λέξει τὰς ἀληθείας ἑκὼν, πρῶτον μὲν, εἰ ζῶσιν οἱ παῖδες, ἤρετο· ὡς δὲ ταῦτ' ἔμαθε, τῆς σωτηρίας αὐτοῖς ὅστις ὁ τρόπος ἐγένετο. Διηγησαμένου δὲ αὐτοῦ πάντα ὡς ἐπράχθη, Ἄγε δὴ, φησὶν ὁ βασιλεὺς, ἐπειδὴ ταῦτα ἀληθεύσας ἔχεις, φράσον, ὅπου νῦν ἂν εὑρεθεῖεν· οὐ γὰρ ἔτι δίκαιοί εἰσιν ἐν βουκόλοις καὶ ἀδόξῳ βίῳ ζῆν, ἐμοίγε ὄντες συγγενεῖς ἄλλως τε καὶ θεῶν προνοίᾳ σωζόμενοι. Φαυστύλος δὲ τῆς ἀλόγου πρᾳότητος ὑποψίᾳ κινηθεὶς, μὴ φρονεῖν αὐτὸν ὅμοια τοῖς λόγοις, ἀποκρίνεται ὧδε· Οἱ μὲν παῖδες εἰσὶν ἐν τοῖς ὄρεσι βουκολοῦντες, ὅσπερ ἐκείνων βίος, ἐγὼ δ' ἐπέμφθην παρ' αὐτῶν τῇ μητρὶ δηλώσων, ἐν αἷς εἰσὶ τύχαις. Ταύτην δὲ παρὰ σοὶ φυλάττεσθαι ἀκούων, δεήσεσθαι τῆς σῆς θυγατρὸς ἔμελλον, ἵνα με πρὸς αὐτὴν ἀγάγοι. Τὴν δὲ σκάφην ἔφερον, ἵν' ἔχω δεικνύναι τεκμήριον ἐμφανὲς ἅμα τοῖς λόγοις. Νῦν οὖν ἐπεὶ δέδοκται τοὺς νεανίσκους δεῦρο κομίσαι, χαίρω τε, καὶ πέμψον οὕςινας βούλει σὺν ἐμοί. Δείξω μὲν οὖν τοῖς ἐλθοῦσι τοὺς παῖδας, φράσουσι δ' αὐτοῖς ἐκεῖνοι τὰ παρὰ σοῦ. Ὁ μὲν δὴ ταῦτ' ἔλεγεν, ἀναβολὴν εὑρέσθαι βουλόμενος τοῖς παισὶ τοῦ θανάτου, καὶ ἅμα αὐτὸς ἀποδράσεσθαι τοὺς ἄγοντας, ἐπειδὰν ἐν τοῖς ὄρεσι γένηται, ἐλπίσας. Ἀμόλιος δὲ τοῖς πιστοτάτοις τῶν φίλων ἐπιςείλας κρύφα, οὓς ἂν ὁ συοφορβὸς αὐτοῖς δείξῃ, συλλαβόντας ὡς αὐτὸν ἄγειν, ἀποςέλλει διὰ ταχέων. Ταῦτα διαπραξάμενος αὐτίκα γνώμην ἐποιεῖτο, καλέσας τὸν ἀδελφὸν ἐν φυλακῇ ἀδέσμῳ ἔχειν, ἕως ἂν εὖ θῆται τὰ παρόντα, καὶ αὐτὸν ὡς ἐπ' ἄλλῳ δή τινι ἐκάλει. Ὁ δὲ ἀποςαλεὶς ἄγγελος, εὐνοίᾳ τε τοῦ κινδυνεύοντος, καὶ ἐλέῳ τῆς τύχης, ἐπιστρέψας κατήγορος γίνεται Νομέτορι τῆς Ἀμολίου γνώμης. Ὁ δὲ, τοῖς παισὶ δηλώσας τὸν κατειληφότα κίνδυνον αὐτοὺς, καὶ παρακελευσάμενος ἄνδρας ἀγαθοὺς γενέσθαι, παρῆν ἄγων ὡπλισμένους ἐπὶ τὰ βασίλεια, τῶν τε ἄλλων πελατῶν καὶ ἑταίρων, καὶ θεραπείας πιστῆς χεῖρα οὐκ ὀλίγην. Ἧκον δὲ καὶ οἱ ἐκ τῶν ἀγρῶν συνελθόντες εἰς τὴν πόλιν, ἐκλιπόντες τὴν ἀγορὰν, ἔχοντες ὑπὸ ταῖς περι-

ϐολαῖς ξίφη κεκρυμμένα, στίφος καρτερόν. Βιασάμενοι δὲ τὴν εἴσοδον ἀθρόᾳ ὁρμῇ πάντες, οὐ πολλοῖς ὁπλίταις φρουρουμένην, ἀποσφάττουσιν εὐπετῶς Ἀμόλιον, καὶ μετὰ τοῦτο τὴν ἄκραν καταλαμϐάνουσι. Ταῦτα εἴρηται τοῖς περὶ Φάϐιον· ἕτεροι δὲ οὐδὲν τῶν μυθωδεστέρων ἀξιοῦντες ἱστορικῇ γραφῇ προσήκειν, τήν γε ἀπόθεσιν τὴν τῶν βρεφῶν οὐχ, ὡς ἐκελεύσθη τοῖς ὑπηρέταις, γενομένην, ἀπίθανον εἶναί φασι· καὶ τῆς λυκαίνης τὸ τιθασσὸν, ἣ τοὺς μαστοὺς ἐπεῖχε τοῖς πεδίοις, ὡς δραματικῆς μεστὸν ἀτοπίας διασύρουσιν. Ἀντιδιαλλαττόμενοι δὲ πρὸς ταῦτα λέγουσιν, ὡς ὁ Νομέτωρ, ἐπειδὴ τὴν Ἰλουΐαν ἔγνω κύουσαν, ἕτερα παρασκευασάμενος παιδία νεογνὰ, διηλλάξατο τεκούσης αὐτῆς τὰ βρέφη, καὶ τὰ μὲν ὀθνεῖα δέδωκε τοῖς φυλάττουσι τὰς ὠδῖνας ἀποφέρειν, εἴτε χρημάτων τὸ πιστὸν τῆς χρείας αὐτῶν πριάμενος, εἴτε διὰ γυναικῶν τὴν ὑπαλλαγὴν ποιησάμενος· καὶ αὐτὰ λαϐὼν ὁ Ἀμόλιος ὅτῳ δὴ τρόπῳ ἀναιρεῖ, τὰ δὲ ἐκ τῆς Ἰλουΐας γενόμενα, περὶ παντὸς ποιούμενος ὁ μητροπάτωρ διασώζεσθαι, δίδωσι τῷ Φαυστύλῳ.

Ὅτι τοῦ Ῥωμύλου, πληθυσμοῦ ἕνεκεν ἀνδρῶν, ἁρπαγὴν ποιησαμένου τῶν παρθένων, ὡς διεϐοήθη τὰ περὶ τὴν ἁρπαγὴν τῶν παρθένων καὶ τὰ περὶ τοὺς γάμους εἰς τὰς πλησιοχώρους πόλεις, αἱ μὲν αὐτὸ τὸ πραχθὲν πρὸς ὀργὴν ἐλάμϐανον, αἱ δὲ ἀφ' ἧς ἐπράχθη διαθέσεως, καὶ εἰς ὃ τέλος ἐχώρησεν, ἀναλογιζόμεναι, μετρίως αὐτὸ ἔφερον. Κατέσκηψε δ' οὖν ἀνὰ χρόνον εἰς πολέμους, τοὺς μὲν ἄλλους εὐπετεῖς, ἕνα δὲ τὸν πρὸς Σαϐίνους μέγαν καὶ χαλεπόν. Οἷς ἅπασι τέλος ἐπηκολούθησεν εὐτυχὲς, ὥσπερ αὐτῷ τὰ μαντεύματα προεθέσπισε, πρὶν ἐπιχειρῆσαι τῷ ἔργῳ, πόνους μὲν καὶ κινδύνους μεγάλους προσημαίνοντα, τὰς δὲ τελευτὰς αὐτῷ ἔσεσθαι καλάς. Ἦσαν δὲ αἱ πρῶται πόλεις ἄρξασαι τοῦ πολέμου Καινίνη καὶ ἄλλαι, πρόφασιν μὲν ποιούμεναι τὴν ἁρπαγὴν τῶν παρθένων, καὶ τὸ μὴ λαϐεῖν ὑπὲρ αὐτῶν δίκας· ὡς δὲ τἀληθὲς εἶχεν, ἀχθόμεναι τῇ κτίσει τε καὶ αὐξήσει τῆς Ῥώμης, δι' ὀλίγου

πολλῇ γενομένῃ, καὶ οὐκ ἀξιοῦσαι περιιδεῖν κοινὸν ἐπὶ τοῖς περιοίκοις ἅπασι κακὸν φυόμενον. Τέως μὲν οὖν πρὸς τὸ Σαβίνων ἔθνος ἀποστέλλουσαι πρέσβεις, ἐκείνους ἠξίουν τὴν ἡγεμονίαν τοῦ πολέμου παραλαβεῖν, ἰσχύν τε μεγίστην ἔχοντας καὶ χρήμασι πλείοσι δυναμένους, ἄρχειν τε ἀξιοῦντας τῶν πλησιοχώρων, καὶ οὐκ ἐλάχιστα περιυβρισμένους τῶν ἄλλων· τῶν γὰρ ἡρπασμένων αἱ πλείους ἦσαν ἐκείνων. Ἐπεὶ δ᾽ οὐδὲν ἐπέραινον, ἀντικαθισταμένων αὐταῖς τῶν παρὰ τοῦ Ῥωμύλου πρεσβειῶν καὶ θεραπευουσῶν λόγοις τε καὶ ἔργοις τὸ ἔθνος, ἀχθόμεναι τῇ τριβῇ τοῦ χρόνου, μελλόντων ἀεὶ τῶν Σαβίνων καὶ ἀναβαλλομένων εἰς χρόνους μακροὺς τὴν περὶ τοῦ πολέμου βουλὴν, αὐταὶ καθ᾽ ἑαυτὰς ἔγνωσαν τοῖς Ῥωμαίοις πολεμεῖν, ἀποχρῆν οἰόμεναι τὴν δύναμιν τὴν οἰκείαν, εἰ καθ᾽ ἓν αἱ τρεῖς γένοιντο, μίαν αἱρῆσαι πόλιν οὐ μεγάλην. Ἐβουλεύσαντο μὲν ταῦτα, συνελθεῖν δ᾽ οὐκ ἔφθασαν εἰς ἓν ἅπασαι στρατόπεδον, προεξαναστάντων προχειρότερον τῶν ἐκ τῆς Καινίνης, οἵπερ καὶ μάλιστα ἐδόκουν τὸν πόλεμον ἐνάγειν. Ἐξεστρατευμένων δὲ τούτων καὶ δῃούντων τὴν ὅμορον, ἐξαγαγὼν τὴν δύναμιν ὁ Ῥωμύλος, ἀφυλάκτοις οὖσιν ἔτι τοῖς πολεμίοις ἀπροσδοκήτως ἐπιτίθεται· καὶ τοῦ τε χάρακος αὐτῶν ἀρτίως ἱδρυμένου γίνεται κύριος, τοῖς τε φεύγουσιν εἰς τὴν πόλιν ἐκ ποδὸς ἑπόμενος, οὐδέπω τῶν ἔνδον πεπυσμένων τὴν περὶ τοὺς σφετέρους συμφορὰν, τεῖχός τε ἀφύλακτον εὑρὼν καὶ πύλας ἀκλείστους, αἱρεῖ τὴν πόλιν ἐξ ἐφόδου, καὶ τὸν βασιλέα τῶν Καινινιτῶν, ὑπαντήσαντα σὺν καρτερᾷ χειρὶ, μαχόμενος αὐτοχειρίᾳ κτείνει, καὶ τὰ ὅπλα ἀφαιρεῖται. Τοῦτον δὲ τὸν τρόπον ἁλούσης τῆς πόλεως, τὰ ὅπλα παραδοῦναι τοὺς ἁλόντας κελεύσας, καὶ παῖδας εἰς ὁμηρείαν οὓς ἐβούλετο λαβὼν, ἐπὶ τοὺς λοιποὺς ἐχώρει. Γενόμενος δὲ καὶ τῆς ἐκείνων δυνάμεως, ἐσκεδασμένης ἔτι κατὰ τὰς προνομὰς, τῇ παρ᾽ ἐλπίδας ἐφόδῳ, καθάπερ καὶ τῆς προτέρας, ἐγκρατὴς, καὶ τὰ αὐτὰ τοὺς ἁλόντας διαθεὶς, ἀπῆγεν ἐπ᾽ οἴκου τὴν δύναμιν, ἄγων σκῦλά τε ἀπὸ τῶν περιοίκων κατὰ τὴν μάχην, καὶ ἀκροθίνια λαφύρων θεοῖς.

## ΤΟΥ ΑΥΤΟΥ

### ΠΕΡΙ

# ΤΗΣ ΚΑΙΣΑΡΟΣ ΑΓΩΓΗΣ.

Ὅτι εἰς τιμῆς ἀξίωσιν τοῦτον οὕτω προσεῖπον οἱ ἄνθρωποι, ναοῖς τε καὶ θυσίαις γεραίρουσιν, ἀνά τε νήσους καὶ ἠπείρους διῃρημένοι, καὶ κατὰ πόλεις καὶ ἔθνη, τό τε μέγεθος αὐτοῦ τῆς ἀρετῆς καὶ τὴν εἰς σφᾶς εὐεργεσίαν ἀμειβόμενοι. Δυνάμεως γὰρ καὶ φρονήσεως εἰς τὰ πρῶτα ἀνελθὼν οὗτος ὁ ἀνὴρ, πλείστων μὲν ἦρξεν ἀνθρώπων τῶν διὰ μνήμης, μακροτάτους τε ὅρους ἐποιήσατο τῆς Ῥωμαίων δυναστείας, εἴς τε τὸ βεβαιότατον οὐ τὰ φῦλα μόνον τῶν Ἑλλήνων καὶ βαρβάρων, ἀλλὰ καὶ αὐτὰς τὰς διανοίας κατεστήσατο, τὸ μὲν πρῶτον σὺν ὅπλοις, μετὰ δὲ ταῦτα καὶ ἄνευ ὅπλων, ἐθελουσίους τε προσαγόμενος· διὰ [δὲ] τὸ μᾶλλον ἔτι ἔνδηλος γίνεσθαι τῇ φιλανθρωπίᾳ, ἔπεισεν ἑαυτοῦ ἀκροᾶσθαι, ὧν δὴ πρότερον οὐδὲ ὀνόματα ἠπίσταντο οἱ ἄνθρωποι, οὐδέ τινος ὑπήκοοι ἐγένοντο διὰ μνήμης, ἡμερωσάμενος, ὁπόσοι ἐντὸς Ῥήνου ποταμοῦ κατοικοῦσιν ὑπέρ τε τὸν Ἰόνιον πόντον καὶ τὰ Ἰλλυριῶν γένη· Παννονίους αὐτοὺς καὶ Δάκας καλοῦσι.

Περὶ δὴ τούτου τοῦ ἀνδρὸς φρονήσεώς τε καὶ ἀρετῆς ἰσχὺν δεῖξαι ὁπόσον δύναται, τὰ μὲν ἐκ τῆς πολιτείας ἥντινα ἐν τῇ πατρίδι ἐπολιτεύσατο, τὰ δὲ κατὰ στρατηγίας μεγάλων πολέμων ἐγχωρίων τε καὶ ἀλλοεθνῶν, ἀγώνισμα μὲν ἀνθρώποις πρόκειται λέγειν καὶ γράφειν, ὡς ἂν εὐδοκιμεῖν ἐν καλοῖς ἔργοις. Καὐτὸς δ' ἀφηγήσομαι τὰ πεπραγμένα, ἐξ ὧν οἷόν τε γνῶναι σύμπασι τὴν ἀλήθειαν. Πρότερον δ' αὐτοῦ τό τε γένος διέξειμι καὶ τὴν φύσιν, τούς τε γεννη-

τάς, ἀφ' ὧν ἦν, τήν τ' ἐκ νηπίου τροφήν τε καὶ παίδευσιν, ᾗ χρησάμενος τοσόσδε ἐγένετο. Πατὴρ μὲν οὖν ἦν αὐτῷ Γάϊος Ὀκταούϊος, ἀνὴρ τῶν ἐκ τῆς συγκλήτου. Οἱ δ' αὐτοῦ πρόγονοι, κατά τε πλοῦτον καὶ ἐπιείκειαν ὀνομαστότατοι γενόμενοι, ὀρφανῷ ὄντι ἐκείνῳ τὰ χρήματα ἐλείποντο. [Οἱ] καταστάντες δ' ἐπίτροποι ταῦτα διεφόρησαν· ὁ δὲ τῶν πρὸς αὐτοὺς δικαίων ἀποστὰς, τοῖς περιλειφθεῖσιν ἠρκεῖτο.

Ὅτι Καῖσαρ περὶ ἐννέα ἔτη μάλιστα γεγονὼς, θαῦμά τε οὐ μικρὸν παρέσχε Ῥωμαίοις, φύσεως ἀκρότητα δηλώσας ἐν τοιᾶδε ἡλικίᾳ, καὶ τοῖς ἀνδράσι πολὺς ἐγγίνεται θόρυβος ἐν πολλῷ ὁμίλῳ δημηγοροῦντι. Ἀποθανούσης δ' αὐτῷ τῆς τηθῆς, παρὰ τῇ μητρὶ ἐτρέφετο Ἀντίᾳ, καὶ τῷ ταύτης ἀνδρὶ Φιλίππῳ Λευκίῳ, ὃς ἦν ἀπόγονος τῶν τὸν Μακεδόνα Φίλιππον κεχειρωμένων. Παρὰ δὴ τῷ Φιλίππῳ ὁ Καῖσαρ, ὡς παρὰ πατρὶ, τρεφόμενος πολλὴν ὑπέφαινεν ἐλπίδα, ἤδη τε ἀξιότιμος καὶ τοῖς ἥλιξιν ἐφαίνετο τοῖς εὐγενεστάτοις παισί· καὶ συνήεσαν πρὸς αὐτὸν παμπληθεῖς, οὐκ ὀλίγοι δὲ καὶ τῶν νεανίσκων, οἷς τὸ πράττειν δι' ἐλπίδος ἦν. Προὔπεμπον δὲ αὐτὸν πάμπολλοι ὁσημέραι καὶ μειρακίσκοι καὶ ἄνδρες καὶ ἥλικες παῖδες, εἴτε ἐφ' ἱππασίαν ἔξω τοῦ ἄστεος προήει, εἴτε παρὰ συγγενεῖς ἢ ἄλλους τινάς. Ἤσκει γὰρ καὶ τὴν ψυχὴν τοῖς καλλίστοις ἐπιτηδεύμασι, καὶ τὸ σῶμα ταῖς γενναίαις καὶ πολεμικαῖς μελέταις, καὶ τῶν διδασκόντων θᾶττον αὐτὸς τὴν μάθησιν ἐπὶ τῶν ἔργων ἀπεδείκνυτο, ὥστε ἀπὸ τοῦδε καὶ ἐν τῇ πατρίδι πολὺν ζῆλον ἐνέγκασθαι. Ἐφεστήκει δὲ αὐτῷ καὶ ἡ μήτηρ, καὶ ὁ ταύτης ἀνὴρ Φίλιππος, ἀνὰ πᾶσαν ἡμέραν πυνθανόμενοι παρὰ τῶν διδασκάλων τε καὶ ἐπιμελητῶν, οὓς παρακατέστησαν τῷ παιδὶ, ὅ τι πράξειε, καὶ ὅποι πορευθείη, ἢ ὅπως διημερεύσειε, τάς τε διατριβὰς μεθ' ὧν ποιήσαιτο.

Ἐν δὲ τῷ κατασχόντι ταράχῳ τὴν πόλιν ὑπεκπέμπει ἥ τε μήτηρ Ἀντία καὶ Φίλιππος τὸν Καίσαρα εἴς τι τῶν πατρῴων χωρίων. Κατέβαινε δὲ εἰς τὴν ἀγορὰν περὶ ἔτη μά-

λιστα γεγονὼς τεσσαρεσκαίδεκα, ὥστε ἀποθέσθαι μὲν αὐτὸν ἤδη τὴν περιπόρφυρον ἐσθῆτα, ἀναλαβεῖν δὲ τὴν καθαρὰν, σύμβολον οὖσαν τῆς εἰς ἄνδρα ἐγγραφῆς. Περιβλεπόμενος δ' ὑπὸ παντὸς τοῦ δήμου διά τε εὐπρέπειαν καὶ λαμπρότητα εὐγενείας, ἔθυε τοῖς θεοῖς, καὶ ἐνεγράφη εἰς τὸν Λευκίου Δομιτίου τόπον τετελευτηκότος. Καὶ ὁ δῆμος μάλα προθύμως ἐχειροτόνησε. Καὶ ὁ μὲν ἅμα τῇ μεταλλαγῇ τῆς ἐσθῆτος καὶ τῇ καλλίστῃ τιμῇ κοσμηθεὶς ἔθυε. Καίπερ δὲ κατὰ νόμον εἰς ἄνδρας ἐγγεγραμμένον, διεκώλυεν ἡ μήτηρ ἔξω τῆς αὐλείου θύρας χωρεῖν, πλὴν ὅπη καὶ πρότερον, ὅτε παῖς ἦν, ἐφοίτα, δίαιτάν τε τὴν αὐτὴν ἔχειν ἐπηνάγκαζε, κοιτάζεσθαί τε ἔνθα καὶ πρότερον ἐν τῷ αὐτῷ δωματίῳ. Νόμῳ τε μόνον ἀνὴρ ἦν, τὰ δ' ἄλλα παιδικῶς ἐπεστατεῖτο. Τῆς δὲ ἐσθῆτος οὐδοτιοῦν ἐξήλλαξεν, ἀλλ' ἀεὶ τὴν πάτριον ἀμπείχετο.

Ἐφοίτα δὲ καὶ εἰς τὰ ἱερὰ ἐν ταῖς νομίμοις ἡμέραις νύκτωρ διὰ τὴν προσοῦσαν αὐτῷ ὥραν, ἅτε δὴ πολλὰς γυναῖκας ἐκμήνας εὐπρεπείᾳ καὶ λαμπρότητι γένους. Ἐπιβουλευόμενός τε παρ' αὐτῶν, οὐδαμῆ ἐφαίνετο ἁλωτὸς ὤν· ἀλλὰ τὰ μὲν ἡ μήτηρ ἀπήρυκεν αὐτοῦ φυλάττουσα καὶ οὐδαμόσε μεθιεῖσα, τὰ δὲ καὶ αὐτὸς ἤδη ἔννους ὤν, ἅτε εἰς τοὔμπροσθεν τῆς ἡλικίας προϊών. Ἐνστάσης δέ τινος ἑορτῆς Λατίνης, ὁπότε καὶ τοὺς ὑπάτους εἰς Ἀλβανὸν τὸ ὄρος ἀναβαίνειν ἔδει, πατρίου θυσίας ἕνεκα, τοὺς δ' ἱερεῖς διαδόχους αὐτῶν τῆς δικαιοδοσίας εἶναι, καθίζει ἐπὶ τὸ βῆμα Καῖσαρ ἐν μέσῃ ἀγορᾷ. Προσῄεσαν δ' ἄπλετοι ἄνθρωποι δικαιοδοσίας χάριν, πολλοὶ δὲ καὶ μηδενὸς πράγματος χάριν, θεωρίας ἕνεκα τοῦ παιδός· ἀξιοθέατος γὰρ πᾶσιν ἦν, καὶ μάλιστα ἐν τῷ τότε σεμνότητα καὶ ἀξίωμα προσειληφώς.

Καίσαρος δὲ ἤδη κεχειρωμένου μὲν τοὺς ἐν τῇ Εὐρώπῃ πολέμους, νενικηκότος δὲ καὶ περὶ Μακεδονίαν Πομπήϊον, ᾑρηκότος δ' Αἴγυπτον, ἐπαναπερῶντος δ' ἔκ τε Συρίας καὶ τοῦ Εὐξείνου πόντου, μέλλοντος δ' ἐπὶ Λιβύης χωρεῖν, ὡς τὰ λειπόμενα τοῦ ἐκεῖ καταστάντος πολέμου καθέλοι, βουλό-

μενος συστρατεύειν αὐτῷ ὁ νέος Καῖσαρ, ὡς καὶ πολεμικῶν ἔργων ἔμπειρος εἴη, ἐπεὶ ᾔσθετο ἐναντιουμένην Ἀτίαν τὴν μητέρα, οὐδὲν ἀντειπὼν ἠρέμα εἶχε. Δῆλος δ᾽ ἦν καὶ ὁ πρεσβύτατος Καῖσαρ ὑπ᾽ εὐνοίας οὐδέπω βουλόμενος αὐτὸν στρατεύεσθαι, ὡς μὴ, τήν τε δίαιταν ἐν ἀσθενεῖ σώματι μεταβαλὼν καὶ ὅλην ἕξιν, φαύλως διατεθείη. Διὰ μὲν δὴ ταῦτα τῆς στρατείας παρελύετο.

Ἐπεὶ δὲ κἀκεῖνον τὸν πόλεμον κατεργασάμενος Καῖσαρ ἐπανῆλθεν εἰς Ῥώμην, σφόδρα ὀλίγοις τῶν ὑποπεσόντων αἰχμαλώτων συγγνοὺς, διὰ τὸ τοῖς προτέροις αὐτοὺς μὴ σεσωφρονῆσθαι πολέμοις, συνηνέχθη τοιόνδε. Ἦν εἰς τὰ μάλιστα Καίσαρι τῷ νέῳ συνήθης καὶ φίλος Ἀγρίππας, ἐν ταὐτῷ τε παιδευθεὶς, καί τινα ἔχων ὑπερβολὴν ἑταιρείας. Τούτου ἀδελφὸς Κάτωνι συνῆν, κατά τε φιλίαν σπουδαζόμενος, καὶ τοῦ Λιβυκοῦ πολέμου κεκοινωνηκὼς, τότε δ᾽ αἰχμάλωτος ᾑρημένος. Τοῦτον, οὐδέν πω πρότερον αἰτήσας Καίσαρα, ἐβούλετο μὲν ἐξαιτεῖσθαι, ὑπὸ δὲ αἰδοῦς ὤκνει, καὶ ἅμα ὁρῶν αὐτὸν, ὡς διέκειτο πρὸς τοὺς ἐν ἐκείνῳ τῷ πολέμῳ ἑαλωκότας. Θαῤῥήσας δ᾽ οὖν ποτε, ᾔτησε καὶ ἔτυχεν. Ἐφ᾽ οἷς περιχαρὴς ἦν τῷ αὑτοῦ φίλῳ τὸν ἀδελφὸν ἀνασεσωκώς· ἐπῃνεῖτο δὲ καὶ ὑπὸ τῶν ἄλλων, εἰς οὐδὲν πρότερον καταθέμενος τὴν αὑτοῦ σπουδὴν καὶ ἔντευξιν, ἢ εἰς φίλου σωτηρίαν.

Ἐκ τούτου τὰς θριαμβικὰς ἦγε πομπὰς Καῖσαρ τοῦ κατὰ Λιβύην πολέμου, τῶν τε ἄλλων, οὓς ἐπολέμησε. Καὶ τὸν νέον Καίσαρα, υἱὸν ἤδη πεποιημένος, ὄντα δὲ τρόπον τινὰ καὶ φύσει διὰ τὸ ἀγχοτάτω τοῦ γένους εἶναι, ἐκέλευσε τῷ ἑαυτοῦ ἅρματι ἕπεσθαι, κόσμοις αὐτὸν στρατηγικοῖς ἀσκήσας, ὡς ἂν αὐτοῦ σύσκηνον ἐν πολέμῳ γεγονότα. Ὁμοίως δὲ καὶ ἐν ταῖς θυσίαις, καὶ ἐν ταῖς πρὸς τοὺς θεοὺς προσόδοις ἐγγύτατα ἵστη, τούς τε ἄλλους εἴκειν προσέταττεν αὐτῷ. Καὶ ὁ μὲν ἤδη τὰς αὐτοκρατορικὰς ἐφέρετο τιμὰς, αἳ δὴ μέγισται κατὰ τὸν Ῥωμαίων νόμον ἦσαν, καὶ ζηλωτὸς ἐν τῇ πατρίδι ἦν. Συνὼν δὲ ὁ παῖς αὐτῷ καὶ ἐν τοῖς θεάτροις, καὶ

ἐν πότοις, ὁρῶν τε φιλανθρώπως ἑαυτῷ διαλεγόμενον οἷα τέκνῳ, καὶ μικρὸν ὅσον ἤδη τεθαῤῥηκὼς, πολλῶν αὐτοῦ δεομένων καὶ φίλων καὶ πολιτῶν αἰτεῖσθαι σφίσι παρὰ Καίσαρος, ὧν ἕκαστοι ἐν χρείᾳ ἦσαν, ἐπιτηρῶν εὐκαιρίας μετὰ πάσης αἰδοῦς ᾐτεῖτό τε καὶ κατώρθου, πλείστου τε ἄξιος πολλοῖς τῶν ἀναγκαίων ἐγένετο, φυλαττόμενος τὸ μήτε ἀκαίρως παρακαλεῖν, μήτ' ἐκείνῳ προσάντως. Καὶ ὁ μὲν οὐκ ὀλίγα ζώπυρα καὶ φιλανθρωπίας ἅμα καὶ φρονήσεως φυσικῆς ἀπεδείκνυτο.

Βουλόμενος δ' αὐτὸν ὁ Καῖσαρ καὶ ἔμπειρον τοῦ ἀγωνοθετεῖν ἐν ταῖς τοιαύταις χορηγίαις εἶναι, δυοῖν ὄντοιν θεάτροιν, τοῦ μὲν Ῥωμαϊκοῦ, ἐν ᾧ αὐτὸς παρὼν τὴν φροντίδα εἶχε, θατέρου δὲ Ἑλληνικοῦ, τούτου ἐπέτρεψεν ἐκείνῳ τὴν ἀγωνοθεσίαν. Καὶ ὁ μὲν σπουδάζων ἐπιμέλειάν τε καὶ φιλανθρωπίαν ἀποδείξασθαι ἐν καυματώδεσι καὶ μακροτάταις ἡμέραις, οὐδαμοῦ τε ἀπιὼν, ἄχρι λύσειε τὴν θέαν, εἰς νόσον πίπτει, οἷα νέος καὶ πόνων ἀπείρατος. Χαλεπῶς δὲ διακειμένου, πάντες μὲν ἐν φόβῳ ἦσαν, ἀγωνιῶντες εἴ τι πείσεται τοιαύτη φύσις, μάλιστα δὲ πάντων ὁ Καῖσαρ. Διὸ πᾶσαν ἡμέραν ἢ αὐτὸς παρὼν αὐτῷ εὐθυμίαν παρεῖχεν, ἢ φίλους πέμπων, ἰατροὺς δὲ ἀποστατεῖν οὐκ ἐῶν. Καί ποτε δειπνοῦντι ἤγγειλέ τις, ὡς ἔκλυτος εἴη καὶ χαλεπῶς ἔχοι· ὁ δὲ ἐκπηδήσας ἀνυπόδητος ἧκεν, ἔνθα ἐνοσηλεύετο, καὶ τῶν ἰατρῶν ἐδεῖτο ἐμπαθέστατα μεστὸς ὢν ἀγωνίας, καὶ αὐτὸς παρεκάθητο· ἀνακτησάμενος δ' αὐτὸν εὔθυμος ἐγένετο.

Ἐπεὶ δ' ἀνέσφηλεν ἐκ τῆς νόσου, διαπεφευγὼς μὲν τὸν κίνδυνον, ἀσθενῶς δ' ἔτι διακείμενος τὸ σῶμα, στρατεύειν μὲν ἔδει Καίσαρα, ἔνθα διενοεῖτο τὸ πρότερον ἐπάγεσθαι καὶ τὸν παῖδα· τότε δ' οὐχ οἷός τ' ἦν διὰ τὴν προσπεσοῦσαν νόσον. Καταλιπὼν δ' οὖν αὐτοῦ πολλοὺς ἐπιμελητὰς, ὡς δι' ἀκριβοῦς διαίτης φυλάττοιτο, καὶ ἐντολὰς δοὺς, εἰ ῥωσθείη, ἕπεσθαί οἱ, ᾤχετο ἐπὶ τὸν πόλεμον. Ὁ γὰρ Μάγνου Πομπηΐου πρεσβύτατος παῖς, μέγα στράτευμα ἀθροίσας ἐν ὀλίγῳ

χρόνῳ παρὰ τὴν πάντων ἐλπίδα, διενοεῖτο ἐπαμῦναι τῷ πατρὶ, καὶ τὴν ἐκείνου ἧτταν ἀναμαχέσασθαι, εἰ δύναιτο. Ὑπολειφθεὶς δ' ἐν τῇ Ῥώμῃ Καῖσαρ, πρῶτον τοῦ σώματος ἐγκρατέστατα ἐπεμελήθη, καὶ ταχὺ ἀνεῤῥώσθη· ἔπειτα δὲ τὴν ἔξοδον ἐκ τῆς πατρίδος ἐποιεῖτο ἐπὶ τὴν στρατιὰν, κατὰ τὰς τοῦ θείου ἐντολάς· οὕτω γὰρ αὐτὸν ἐκάλει. Πολλῶν δ' αὐτῷ συνεκδημεῖν σπουδαζόντων, διὰ τὸ μέγεθος τῆς ἐν αὐτῷ ἐλπίδος, πάντας παρωσάμενος καὶ τὴν μητέρα αὐτὴν, τοὺς ὠκυτάτους τῶν οἰκετῶν καὶ ἐῤῥωμενεστάτους ἐκλεξάμενος, συνέτεινε τὴν πορείαν, καὶ ἀπίστῳ τάχει χρησάμενος διέδραμε τὴν μακρὰν ὁδὸν, σύνεγγύς τε ἦν Καίσαρι, διαπεπολεμηκότι ἤδη τὸν σύμπαντα πόλεμον ἐν μησὶν ἑπτά.

Ἀφικόμενος δ' εἰς Ταῤῥακῶνα ἀπιστίαν παρέσχεν, ὅπως ἀφίκοιτο ἐν τοσῷδε πολέμου ταράχῳ. Οὐχ' εὑρὼν δὲ ἐνταῦθα Καίσαρα, πλείω πόνον καὶ κίνδυνον εἶχεν· ἀφίκετο δὲ εἰς Ἰβηρίαν πρὸς Καίσαρα περὶ πόλιν Καλπίαν. Καὶ ὁ μὲν οἷα τέκνον περιβαλὼν, διά τε τὸ νοσοῦντα καταλελοιπέναι, καὶ ἐκ πολλῶν πολεμίων καὶ λῃστηρίων περισεσωσμένον ὁρᾶν ἀδοκήτως, ἠσπάζετο, καὶ οὐδαμῆ μεθίει, ὁμοδίαιτόν τε εἶχεν· ἐπῄνει δ' αὐτοῦ καὶ τὴν ἐπιμέλειαν ἅμα καὶ σύντασιν, ὡς πρῶτος τῶν ἐκ τῆς Ῥώμης ἐξεληλυθότων ἥκεν. Ἐπιμελὲς δ' ἐποιεῖτο πρὸς αὐτὸν διαλεγόμενος ὑπὲρ πολλῶν ἀνακρίνειν, ἀποπειρώμενος αὐτοῦ τῆς διανοίας. Ὁρῶν δὲ εὔστοχον καὶ εὐσύνετον καὶ βραχυλόγον, αὐτά τε ἀποκρινόμενον τὰ καιριώτατα, ἔστεργε καὶ ὑπερησπάζετο. Ἐκ τούτου πλεῖν ἔδει ἐπὶ Καρχηδόνος· προσταχθὲν δ' αὐτῷ ἐμβαίνειν εἰς τὴν αὐτὴν Καίσαρι ναῦν σὺν πέντε δούλοις, αὐτὸς ὑπὸ φιλοστοργίας καὶ τρεῖς ἑταίρους πρὸς τοῖς δούλοις ἐνεβίβασε· καὶ ἐδεδίει, μὴ τοῦτο γνοὺς Καῖσαρ ἐπιμέμψαιτο. Τοὐναντίον δ' ἐγένετο· ἥσθη γὰρ ἐκεῖνος ἐπὶ τῷ εἶναι φιλέταιρον, καὶ ἐπῄνεσεν, ὅτι ἀεὶ βούλεται παρεῖναι αὐτῷ τοὺς πάντων ἐπόπτας ἐσομένους ἄνδρας καὶ ἀρετῆς ἐπιμελουμένους, πρόνοιάν τε οὐ μικρὰν χρηστῆς δόξης ἐν τῇ πατρίδι ἤδη ποιεῖτο.

Ἧκε

Ἧκε δ᾽ οὖν εἰς τὴν Καρχηδόνα Καῖσαρ, ὡς τοῖς χρήζουσιν ἐντευξόμενος. Πολλοὶ δὲ συνεληλύθεσαν, οἱ μὲν δικαιοδοσίας χάριν περὶ ὧν εἶχον ἀμφιβόλων πρός τινας, οἱ δὲ οἰκονομίας πολιτικῆς, οἱ δ᾽ ὅπως ἂν τὰ ἆθλα τῶν ἠνδραγαθημένων λάβοιεν· περὶ ὧν ἐνέτυχεν. Ἄλλοι τε ἡγεμόνες πλεῖστοι συνεληλύθεσαν. Προσφεύγουσι τῷ Καίσαρι καὶ Ζακύνθιοι μεγάλα ἐγκλήματα ἔχοντες, καὶ δεόμενοι βοηθείας. Ὁ δὲ τούτων προὔστη τε, καὶ διαλεχθεὶς ἄριστα πρὸς Καίσαρα ἐν φανερῷ, τῶν τε αἰτιῶν αὐτοὺς ἀπήλλαξε, καὶ προὔπεμψεν ἐπ᾽ οἴκου ἡδομένους τε καὶ πρὸς πάντας αὐτὸν ὑμνοῦντας, σωτῆρά τε ὀνομάζοντας. Ἐντεῦθεν πολλοὶ συνέῤῥεον προστασίας δεόμενοι, οἷς πλείστου ἄξιος γενόμενος, τῶν μὲν διέλυε τὰ ἐγκλήματα, οἷς δ᾽ ἠτεῖτο δωρεάς, οὓς δ᾽ εἰς ἀρχὰς προῆγε. Πάντες τε ἀνὰ στόμα εἶχον τήν τε ἡμερότητα καὶ φιλανθρωπίαν, καὶ τὴν ἐν ταῖς ἐντεύξεσι φρόνησιν. Αὐτὸς μὴν Καῖσαρ εὐλα.......

( Λείπουσι σελίδες δύο. )

.....γυροῦ κατὰ τὰ πάτρια, οὔτε μεθυσκομένοις νεανίσκοις παρεῖναι, οὔτε πλείω χρόνον συμποσίῳ παραγενέσθαι ἄχρις ἑσπέρας, οὐδὲ μέντοι δειπνεῖν πρὸ δεκάτης ὥρας, ἔξω Καίσαρος, ἢ Φιλίππου, ἢ τοῦ γήμαντος αὐτοῦ τὴν ἀδελφὴν Μαρκέλλου, ἀνδρὸς σωφρονεστάτου καὶ κατ᾽ εὐγένειαν ἀρίστου Ῥωμαίων. Αἰδῶ δ᾽, ἣν πρέπειν ἄν τις τῇ τοιᾷδε ἡλικίᾳ ὑπολάβοι, διὰ τὸ ταῖς ἄλλαις ἀρεταῖς ἐν τῇ μετὰ ταύτην τὴν χώραν ὑπὸ τῆς φύσεως ἀποδεδόσθαι, διαφανέστατα καὶ ἐν ἔργοις ἐδήλου ἐν τῷ βίῳ παντί. Διὰ τοῦτο καὶ μάλιστα Καῖσαρ αὐτὸν περὶ πολλοῦ ἐποιήσατο, καὶ οὐχ, ὥσπερ οἴονταί τινες, διὰ τὸ γένος μόνον. Ἔγνω μὲν οὖν καὶ πρότερον παῖδα ἀποδεῖξαι, δεδιὼς δὲ, μὴ ἐλπίδι τοσαύτης τύχης ἐπαρθεὶς, ὃ φιλεῖ τοῖς εὐδαιμόνως τρεφομένοις ἕπεσθαι, ἐκλάθοιτο ἀρετῆς καὶ ἐκδιαιτηθείη, συνέκρυψε τὴν γνώμην, ἐν δὲ ταῖς διαθήκαις αὐτὸν υἱοῦται, ἄπαις ὢν ἀῤῥένων παίδων, καὶ

κληρονόμον ἀποδείκνυσι τῆς τύχης πάσης· τετάρτην δὲ μοῖραν τῶν χρημάτων τοῖς ἄλλοις διένειμε φίλοις τε καὶ ἀστοῖς, ὅπερ ὕστερον ἐγένετο δῆλον.

Ἐδεήθη δὲ συγχωρῆσαι αὐτῷ παρὰ τὴν μητέρα ἐλθεῖν εἰς τὴν πατρίδα, καὶ δόντος, ᾤχετο. Ὡς δ' ἧκεν οὐχ ἑκὰς Ῥώμης εἰς Ἰάνουκλον, ὑπήντησεν αὐτῷ σὺν πολλῷ πλήθει ἀνθρώπων ὁ λεγόμενος Γαΐου Μαρίου παῖς, σπουδάζων εἰς τὸ γένος ἐγγραφῆναι, καί τινας γυναῖκας προσειληφὼς τῶν Καίσαρος, αἳ ἐμαρτύρουν αὐτῷ τὴν εὐγένειαν. Οὔτε μὴν Ἀντίαν ἔπεισεν, οὔτε τὴν ταύτης ἀδελφὴν καταψεύσασθαι τοῦ σφετέρου οἴκου· προσήπτετο γὰρ τὸ γένος τὸ Καίσαρός τε καὶ τὸ Μαρίου, τῷ γε μὴν νεανίσκῳ ἐκείνῳ οὐδὲν προσῆκον ἦν. Ὃς τότε σὺν πολλῷ πλήθει ὑπαντιάσας ἐσπούδαζε προσλαβεῖν καὶ τὴν τοῦ νέου Καίσαρος γνώμην, εἰς τὴν τοῦ γένους ἐγγραφήν. Πολλὴ δ' ἐγένετο σπουδὴ καὶ τῶν συνόντων αὐτῷ πολιτῶν, πειθομένων εἶναι παῖδα Μαρίου. Καῖσαρ δ' ἐν ἀπορίᾳ δεινῇ γενόμενος ἐσκόπει, τί χρὴ ποιεῖν· τό τε γὰρ ἀσπάζεσθαι ὡς συγγενῆ, ὃν οὐκ ᾔδει, ὁπόθεν εἴη, οὐδ' ἡ μήτηρ αὐτῷ συνεμαρτύρει, χαλεπὸν ἦν, τό τε διωθεῖσθαι τὸν νεανίσκον καὶ τὸ σὺν αὐτῷ πλῆθος τῶν πολιτῶν, ἄλλως τε καὶ αἰδοῦς ὄντι μεστῷ, πολλὴν δυσχέρειαν εἶχεν. Ἀποκρίνεται γοῦν, ἠρέμα διωσάμενος τὸν ἄνθρωπον, ὅτι Καῖσαρ εἴη τοῦ γένους αὐτοῖς ἡγεμὼν, καὶ τῆς πατρίδος προστάτης, συμπάσης τε τῆς Ῥωμαίων ἀρχῆς· δεῖν οὖν ὡς ἐκεῖνον βαδίζειν, καὶ διδάσκειν περὶ τῆς συγγενείας, καὶ εἰ μὲν πείσειεν, ὑπάρχειν εὐθὺς αὐτῷ καὶ σφᾶς τούς τε ἄλλους οἰκείους πεπεισμένους· εἰ δὲ μὴ, οὐδὲν αὐτοῖς εἶναι κοινώνημα πρὸς αὐτόν· ἐν δὲ τῷ μεταξὺ, πρὶν ἢ Καίσαρα τοῦτο γνῶναι, μήτε προσιέναι πρὸς αὐτὸν, μήτε ὡς παρὰ συγγενοῦς τι ἐπιζητεῖν τῶν δικαίων. Ταῦτα ἐμφρόνως ἀποκρινόμενον καὶ οἱ συμπαρόντες ἐπῄνουν, οὐδὲν δὲ ἧττον ὁ νεανίσκος συμπροὔπεμψεν αὐτὸν ἄχρι τῆς οἰκίας.

Ὡς δ' ἧκεν εἰς Ῥώμην, κατάγει πλησίον τῆς Φιλίππου

οἰκίας καὶ τῆς μητρὸς, καὶ τὴν δίαιταν εἶχε σὺν ἐκείνοις, καὶ οὐκ ἄνευ τούτων διῆγε, πλὴν εἰ μή ποτε καὶ αὐτὸς τῶν ἡλικιωτῶν τινας βούλοιτο ἑστιᾷν· τοῦτο δὲ σπάνιον ἦν. Διατρίβων δ' ἐν τῇ πόλει, ὑπὸ τῆς βουλῆς ἀποδείκνυται εἶναι τῶν πατρικίων.

Ὅτι ἔνηφε καὶ ἐγκρατῶς διῆγεν ὁ νέος Καῖσαρ. Θαυμαστὸν δέ τι κἄλλο συνῄδεσαν αὐτῷ οἱ φίλοι· ἐπ' ἐνιαυτὸν γὰρ ὅλον ἐν τοιᾷδε ἡλικίᾳ, ἐν ᾗ μάλιστα σφριγῶσιν οἱ νέοι, καὶ τούτων δ' ἔτι μᾶλλον οἱ εὐτυχεῖς, ἀφροδισίων ἀπείχετο, φωνῆς ἅμα καὶ ἰσχύος προνοῶν.

# ΝΙΚΟΛΑΟΥ ΔΑΜΑΣΚΗΝΟΥ

ΕΞ ΩΝΟΜΑΣΜΕΝΩΝ ΒΙΒΛΙΩΝ

## ΚΑΘΟΛΙΚΗΣ ΙΣΤΟΡΙΑΣ

ΤΑ ΠΑΡ' ΑΛΛΟΙΣ ΛΕΙΨΑΝΑ.

---

### ΕΚ ΤΟΥ Δ' ΒΙΒΛΙΟΥ.

ΝΙΚΟΛΑΟΣ δὲ ὁ Δαμασκηνὸς ἐν τῇ τετάρτῃ τῶν ἱϛοριῶν λέγει οὕτως· Ἀβράμης ἐβασίλευσε Δαμασκοῦ, ἔπηλυς σὺν στρατῷ ἀφιγμένος ἐκ τῆς γῆς τῆς ὑπὲρ Βαβυλῶνος Χαλδαίων λεγομένης. Μετ' οὐ πολὺν δὲ χρόνον μεταναστὰς καὶ ἀπὸ ταύτης τῆς χώρας σὺν τῷ σφετέρῳ λαῷ, εἰς τὴν τότε μὲν Χαναναίαν λεγομένην, νῦν δὲ Ἰουδαίαν, μετῴκησε καὶ οἱ ἀπ' ἐκείνου πληθύναντες, περὶ ὧν ἐν ἑτέρῳ λόγῳ διέξειμι τὰ ἱστορούμενα. Τοῦ δὲ Ἀβράμου ἔτι καὶ νῦν ἐν τῇ Δαμασκηνῶν τὸ ὄνομα δοξάζεται, καὶ κώμη ἀπ' αὐτοῦ δείκνυται, Ἀβράμου οἴκησις λεγομένη. [Ἐκ τοῦ Ἰωσήπου, Ἰουδ. Ἀρχαιολογ. Βιβλ. Α. κεφ. ζ'.]

Μέμνηται δὲ τούτου τοῦ βασιλέως καὶ Νικόλαος ἐν τῇ τετάρτῃ τῶν ἱστοριῶν, λέγων οὕτως· Μετὰ δὲ ταῦτα πολλῷ χρόνῳ ὕστερον τῶν ἐγχωρίων τις, Ἄδαδος ὄνομα, πλεῖον ἰσχύσας, Δαμασκοῦ τε καὶ τῆς ἄλλης Συρίας, ἔξω Φοινίκης, ἐβασίλευσε, πόλεμόν τε ἐξενέγκας πρὸς Δαβίδην βασιλέα τῆς Ἰουδαίας καὶ πολλαῖς μάχαις κριθεὶς, ὑστάτῃ δὲ παρὰ τὸν Εὐφράτην, ἐν ᾗ ἥττητο, ἄριστος ἔδοξεν εἶναι βασιλέων ῥώμῃ καὶ ἀνδρείᾳ. Πρὸς τούτοις δὲ καὶ περὶ τῶν ἀπογόνων αὐτοῦ φησὶν, ὡς μετὰ τὴν ἐκείνου τελευτὴν ἐξεδέχοντο παρ' ἀλλήλων καὶ τὴν βασιλείαν καὶ τὸ ὄνομα, λέγων οὕτως· Τελευτήσαντος δ' ἐκείνου οἱ ἀπόγονοι ἐπὶ δέκα γενεὰς ἐβασίλευον, ἑκά-

στου παρὰ τοῦ πατρὸς, ἅμα τῇ ἀρχῇ, καὶ τοὔνομα τοῦτο ἐκδεχομένου, ὥσπερ οἱ Πτολεμαῖοι ἐν Αἰγύπτῳ. Μέγιςον δὲ πάντων δυνηθεὶς ὁ τρίτος, ἀναμαχέσασθαι βουλόμενος τὴν τοῦ προπάτορος ἧτταν, στρατεύσας ἐπὶ Ἰουδαίους ἐπόρθησε τὴν νῦν Σαμαρεῖτιν καλουμένην. [Ἐκ τοῦ αὐτοῦ Βιβλ. Ζ', κεφ. ς.]

Ἀσκάλων· πόλις Συρίας πρὸς τῇ Ἰουδαίᾳ. Ξάνθος ἐν τετάρτῃ Λυδιακῶν φησὶν, ὅτι Τάνταλος καὶ Ἄσκαλος παῖδες Ὑμεναίου· τὸν δὲ Ἄσκαλον ὑπὸ Ἀκιαμοῦ τοῦ Λυδῶν βασιλέως αἱρεθέντα ςρατηγὸν εἰς Συρίαν στρατεῦσαι, κἀκεῖ παρθένου ἐρασθέντα πόλιν κτίσαι, ἣν ἀφ' ἑαυτοῦ οὕτως ὠνόμασε. Τὰ αὐτὰ καὶ Νικόλαος ἐν τετάρτῃ ἱστορίᾳ. [Ἐκ τοῦ Στεφάνου τοῦ Βυζαντίου]

Τόῤῥηβος· πόλις Λυδίας, ἀπὸ Τοῤῥήβου τοῦ Ἄτυος. . . . Ἐν δὲ τῇ Τοῤῥηβίδι ἐστὶν ὄρος Κάριος καλούμενον, καὶ ἱερὸν τοῦ Καρίου ἐκεῖ. Κάριος δὲ Διὸς παῖς καὶ Τοῤῥηβίας, ὡς Νικόλαος τετάρτῳ· ὃς πλαζόμενος περί τινα λίμνην, ἥτις ἀπ' αὐτοῦ Τοῤῥηβία ἐκλήθη, φθογγῆς Νυμφῶν ἤκουσεν, ἃς καὶ Μούσας Λυδοὶ καλοῦσι, καὶ μουσικὴν ἐδιδάχθη, καὶ αὐτοὺς Λυδοὺς ἐδίδαξε τὰ μέλη. [Ἐκ τοῦ αὐτοῦ.]

Νήραβος· πόλις Συρίας. Νικόλαος τετάρτῳ. Τὸ ἐθνικὸν Νηράβιος, ὡς τοῦ Τόῤῥηβος Τοῤῥήβιος. [Ἐκ τοῦ αὐτοῦ.]

Ἀσκανία· πόλις Τρωϊκή. Νικόλαος τετάρτῃ ἱστορίᾳ. Σκαμάνδριος Ἕκτορος καὶ Ἀνδρομάχης ἐκ τῆς Ἴδης καὶ τοῦ Δασκυλείου, καὶ τῆς Ἀσκανίας καλουμένης, ἣν ἔκτισεν ὁ Αἰνείου παῖς Ἀσκάνιος. [Ἐκ τοῦ αὐτοῦ.]

Ἡ δὲ Πελοπόννησος τρεῖς ἔχει ἐπωνυμίας, ὡς ὁ Νικόλαος ὁ Δαμασκηνὸς γράφει ἐν τετάρτῃ ἱστορίᾳ. Μέγιστον οὖν τῶν τότε ἴσχυον οἱ Πελοπίδαι, καὶ ἡ Πελοπόννησος εἰς αὐτοὺς ἀφεώρα, καὶ αὐτὸ τοὔνομα ἔχουσα ἀπ' ἐκείνων, τρεῖς ἤδη πρότερον ἀλλάξασα τὰς ἐπωνυμίας. Ἐπὶ μὲν γὰρ Ἄπεως τοῦ ωνέως ἐκαλεῖτο Ἀπίη, ἐπὶ δὲ Πελασγοῦ τοῦ αὐτόχθονος

Πελασγία, ἐπὶ δὲ Ἄργου καὶ αὐτὴ ὁμωνύμως ἐκαλεῖτο Ἄργος, ἐπὶ δὲ Πέλοπος τοῦ τὸν Οἰνόμαον νικήσαντος ἔσχε τοῦτο τὸ κύριον ὄνομα. [Ἐκ Κωνστ. τοῦ Πορφυρογεννήτου, περὶ θεμάτων, Βιβλ. Β', κεφ. ϛ'.]

Θόρναξ· ὄρος τῆς Λακωνικῆς. Νικόλαος τετάρτῃ. [Ἐκ τοῦ Στεφάνου τοῦ Βυζαντίου.]

Μεσόλα· πόλις Μεσσηνίας, μία τῶν πέντε Νικόλαος τετάρτῳ. [Ἐκ τοῦ αὐτοῦ.]

Νηρίς· πόλις Μεσσήνης. Νικόλαος τετάρτῳ. [Ἐκ τοῦ αὐτοῦ.]

Καρνία. πόλις Ἰωνίας. Νικόλαος τετάρτῳ. [Ἐκ τοῦ αὐτοῦ.]

ΕΚ ΤΟΥ Ε' ΒΙΒΛΙΟΥ.

Ἀρκαδία· ἐκαλεῖτο δὲ Πελασγίη, ὡς Νικόλαος πέμπτῃ. [Ἐκ τοῦ Στεφάνου τοῦ Βυζαντίου.]

Βωταχίδαι· τόπος Ἀρκαδίας ἀπὸ Βωτάχου. Νικόλαος πέμπτῃ. Ἰοκρίτου δὲ τοῦ Λυκούργου Βώταχος, ἀφ' οὗ ὁ τόπος Βωταχίδαι ἐν τῇ Τεγέᾳ ἐκλήθη. [Ἐκ τοῦ αὐτοῦ.]

Μεσημβρία· πόλις Ποντική. Νικόλαος πέμπτῳ. Ἐκλήθη ἀπὸ Μέλσου. Βρίαν γὰρ τὴν πόλιν φασὶ Θρᾷκες. Ὡς οὖν Σηλυμβρία ἡ τοῦ Σήλυος πόλις, Πολτυμβρία ἡ Πόλτυος, οὕτω Μελσημβρία ἡ Μέλσου πόλις· καὶ διὰ τὸ εὐφωνότερον λέγεται Μεσημβρία. [Ἐκ τοῦ αὐτοῦ.]

Σίφνος· περὶ τὴν Κρήτην νῆσος ἀπὸ Σίφνου τοῦ Σουνίου, ὡς Νικόλαος πέμπτῳ. Ἐκαλεῖτο δὲ πρότερον Μερόπη. [Ἐκ τοῦ αὐτοῦ.]

Σκύρος νῆσος, περὶ ἧς Νικόλαος ἐν πέμπτῳ. Σκύρον δὲ τὸ μὲν παλαιὸν ᾤκουν Πελασγοί τε καὶ Κᾶρες. [Ἐκ τοῦ αὐτοῦ.]

ΕΚ ΤΟΥ Θ' ΒΙΒΛΙΟΥ.

Ἀγαμήδη· τόπος περὶ Πύῤῥαν τῆς Λέσβου ἀπὸ Ἀγαμήδης τῆς Μακαρίας, τῆς καὶ Πύῤῥας ἐπικληθείσης. Ἔστι καὶ κρήνη Ἀγαμήδη, ὡς Νικόλαος ἐννάτῳ. [Ἐκ τοῦ Στεφ. τοῦ Βυζαντίου.]

ΕΚ ΤΟΥ ΙΗ΄ ΒΙΒΛΙΟΥ.

Θρακήσιοι δὲ ἐπεκλήθησαν ἀπὸ τῆς τοιαύτης αἰτίας. Ἐπὶ Ἀλυάττου τοῦ τῶν Λυδῶν βασιλέως ἀνήρ τις μετὰ γυναικὸς καὶ τῶν ἑαυτοῦ τέκνων, ἐκ Μυσίας τῆς τῶν Θρακῶν χώρας ὁρμώμενος, ἧς καὶ Ὅμηρος μνημονεύει λέγων οὕτως,

Μυσῶν τ' ἀγχεμάχων καὶ ἀγαυῶν ἱππημολγῶν,

διεπέρασεν εἰς τὰ μέρη τῆς Ἀσίας, εἰς χώραν τὴν λεγομένην Λυδίαν, καὶ κατῴκησε πλησίον τῆς πόλεως Σάρδεων. Τοῦ οὖν βασιλέως πρὸς τὸ τῆς πόλεως τεῖχος καθεζομένου, διήρχετο ἡ γυνὴ τοῦ Θρακὸς, ἐπὶ μὲν τῆς κεφαλῆς βαστάζουσα στάμνον, ἐπὶ δὲ τῶν χειρῶν ἠλακάτην καὶ ἄτρακτον, ὄπισθεν δὲ πρὸς τὴν ζώνην ἵππός τις προσεδέδετο. Καὶ ἐπὶ μὲν τῆς κορυφῆς ὁ ςάμνος ἦν μεστὸς ὕδατος· ἐν δὲ ταῖς χερσὶν εἰργάζετο νήθουσα ἐκ τῆς ἠλακάτης τὸν ἄτρακτον· ὄπισθεν δὲ πρὸς τὴν ζώνην ἠκολούθει ὁ ἵππος ἀπὸ τῆς πηγῆς πεποτισμένος. Ταύτην ἰδὼν ὁ βασιλεὺς μεγάλως ἐθαύμασε, καὶ ἠρώτησε, πόθεν καὶ τίς καὶ ποίας ἐςὶ πόλεως. Ἡ δὲ ἀπεκρίνατο, Μυσὴ μὲν εἶναι τὸ γένος· Θρᾴκης δ' ἔστιν αὐτὸ πολίχνιον. Λαβὼν οὖν ὁ βασιλεὺς ἀπὸ τῆς γυναικὸς ἀφορμὴν, πρεσβείαν πρὸς τὸν τῆς Θρᾴκης βασιλέα ποιησάμενος, Κότυν ὀνομαζόμενον, ἐκεῖθεν ἔλαβεν ἄνδρας μετοίκους μετὰ γυναικῶν καὶ τέκνων, ὄχλον ἱκανόν. Ταύτην δὲ τὴν ἱστορίαν Νικόλαος ὁ Δαμασκηνὸς γράφει ἐν τῷ ὀκτωκαιδεκάτῳ αὐτοῦ βιβλίῳ, ὁ γεγονὼς ὑπογραφεὺς Ἡρώδου τοῦ βασιλέως. [Ἐκ Κωνς. τοῦ Πορφυρογ. περὶ θεμάτων, Βιβλ. Ά, κεφ. γ'.]

ΕΚ ΤΟΥ ΚΖ' ΒΙΒΛΙΟΥ

Νικόλαος δ' ἐν τῇ ἑβδόμῃ καὶ εἰκοστῇ τῶν ἱστοριῶν Σύλλαν φησὶ, τὸν Ῥωμαίων στρατηγὸν οὕτω χαίρειν μίμοις καὶ γελωτοποιοῖς, φιλόγελων γενόμενον, ὡς καὶ πολλὰ γῆς μέτρα αὐτοῖς χαρίζεσθαι τῆς δημοσίας. Ἐμφανίζουσι δ' αὐτοῦ τὸ περὶ ταῦτα ἱλαρὸν αἱ ὑπ' αὐτοῦ γραφεῖσαι σατυρικαὶ κωμῳδίαι τῇ πατρίῳ φωνῇ. (Ἐκ τοῦ Ἀθηναίου, Βιβλ. ςτ' σελ. 261.)

### ΕΚ ΤΟΥ ϥϛ' ΒΙΒΛΙΟΥ.

Καὶ Νικόλαος δὲ ὁ Δαμασκηνὸς ἐν τῇ ἐννενηκοςῇ καὶ ἕκτῃ βίβλῳ ἱςορεῖ περὶ αὐτῶν λέγων οὕτως· Ἔστιν ὑπὲρ τὴν Μινυάδα μέγα ὄρος κατὰ τὴν Ἀρμενίαν, Βάρις λεγόμενον, εἰς ὃ πολλοὺς συμφυγόντας ἐπὶ τοῦ κατακλυσμοῦ λόγος ἔχει περισωθῆναι· καί τινα ἐπὶ λάρνακος ὀχούμενον ἐπὶ τὴν ἀκρώρειαν ὀκεῖλαι, καὶ τὰ λείψανα τῶν ξύλων ἐπὶ πολὺ σωθῆναι. Γένοιτο δ' ἂν οὗτος, ὅν τινα καὶ Μωϋσῆς ἀνέγραψεν, ὁ τῶν Ἰουδαίων νομοθέτης. (Ἐκ τοῦ Ἰωσήπου Ἰουδ. Ἀρχαιολογ. Βιβλ. Ά, κεφ. γ'.)

### ΕΚ ΤΟΥ ΡΔ' ΒΙΒΛΙΟΥ.

Νικόλαος δ' ὁ Δαμασκηνὸς ἐν τῇ τετάρτῃ πρὸς ταῖς ἑκατὸν τῶν ἱστοριῶν, περὶ Ἀπάμειαν, φησὶ, τὴν Φρυγιακὴν κατὰ τὰ Μιθριδατικὰ σεισμῶν γενομένων, ἀνεφάνησαν περὶ τὴν χώραν αὐτῶν λίμναι τε αἱ πρότερον οὐκ οὖσαι καὶ ποταμοὶ καὶ ἄλλαι πηγαὶ ὑπὸ τῆς κινήσεως ἀνοιχθεῖσαι· πολλαὶ δὲ καὶ ἠφανίσθησαν. Τοσοῦτόν τε ἄλλο ἀνέβλυσεν αὐτῶν ἐν τῇ γῇ πικρόν τε καὶ γλαυκὸν ὕδωρ, πλεῖστον ὅσον ἀπεχούσης τῶν τόπων τῆς θαλάττης, ὥςε ὀςρέων πλησθῆναι τὸν πλησίον τόπον ἅπαντα καὶ ἰχθύων, τῶν τε ἄλλων ὅσα τρέφει ἡ θάλασσα. (Ἐκ τοῦ Ἀθηναίου, Βιβλ. Ή, σελ. 332).

### ΕΚ ΤΟΥ ΡΗ' ΒΙΒΛΙΟΥ.

Νικόλαος δ' ὁ Δαμασκηνὸς, ἐν τῇ ὀγδόῃ τῶν ἱστοριῶν πρὸς ταῖς ἑκατὸν περὶ τὰς Ἄλπεις λίμνην τινά φησιν εἶναι πολλῶν σταδίων οὖσαν, ἧς περὶ τὸν κύκλον πεφυκέναι δι' ἔτους ἄνθη ἥδιςα καὶ εὐχρούςατα ὅμοια ταῖς καλουμέναις κάλχαις. (Ἐκ τοῦ αὐτοῦ, Βιβλ. ΙΈ, σελ. 682).

### ΕΚ ΤΟΥ ΡΙ' ΒΙΒΛΙΟΥ.

Νικόλαος δ' ὁ Δαμασκηνὸς εἷς τῶν ἀπὸ τοῦ περιπάτου φιλοσόφων ἐν τῇ δεκάτῃ πρὸς ταῖς ἑκατὸν τῶν ἱστοριῶν, Ῥωμαίους ἱστορεῖ παρὰ τὸ δεῖπνον συμβάλλειν μονομαχίας, γράφων οὕτως· Τὰς τῶν μονομάχων θέας οὐ μόνον ἐν πανηγύρεσι καὶ θεάτροις ἐποιοῦντο Ῥωμαῖοι, παρὰ Τυῤῥηνῶν παραλα-

ϐόντες τὸ ἔθος, ἀλλὰ κἀν ταῖς ἑςιάσεσιν. Ἐκάλουν γοῦν τινες πολλάκις ἐπὶ δεῖπνον τοὺς φίλους ἐπί τε ἄλλοις, καὶ ὅπως ἂν δύο ἢ τρία ζεύγη ἴδοιεν μονομάχων, ὅτε καὶ κορεσθέντες δείπνου καὶ μέθης εἰσεκάλουν τοὺς μονομάχους, καὶ ὁ μὲν ἅμα ἐσφάττετο, αὐτοὶ δ' ἐκρότουν ἐπὶ τούτῳ ἡδόμενοι. Ἤδη δέ τις κἀν ταῖς διαθήκαις γέγραφε γυναῖκας εὐπρεπεστάτας μονομαχῆσαι, ἃς ἐκέκτητο· ἕτερος δὲ παῖδας ἀνήϐους ἐρωμένους ἑαυτοῦ. Ἀλλὰ γὰρ οὐκ ἠνέσχετο ὁ δῆμος τὴν παρανομίαν ταύτην, ἀλλ' ἄκυρον τὴν διαθήκην ἐποίησεν. (Ἐκ τοῦ αὐτοῦ, Βιϐλ. Δ', σελ. 153).

Νικόλαος ὁ περιπατητικὸς ἐν τῇ δεκάτῃ καὶ ἑκατοστῇ τῶν ἱςοριῶν, Λεύκολλόν φησιν, ἀφικόμενον εἰς Ῥώμην καὶ θριαμϐεύσαντα, λόγον τε ἀποδόντα τοῦ πρὸς Μιθριδάτην πολέμου, ἐξοκεῖλαι εἰς πολυτελῆ δίαιταν ἐκ τῆς παλαιᾶς σωφροσύνης, τρυφῆς τε πρῶτον εἰσάπαξ Ῥωμαίοις ἡγεμόνα γενέσθαι, καρπωσάμενον δυοῖν βασιλέοιν πλοῦτον Μιθριδάτου καὶ Τιγράνου. (Ἐκ τοῦ αὐτοῦ, Βιϐλ, ς' καὶ ΙΒ', σελ, 274 καὶ 543.)

ΕΚ ΤΟΥ ΡΙΔ' ΒΙΒΛΙΟΥ.

Λικινίου δὲ Κράσσου τοῦ ἐπὶ Πάρθους στρατεύσαντος κόλακά φησι γενέσθαι Νικόλαος ἐν τῇ τεσσαρεσκεδεκάτῃ πρὸς ταῖς ἑκατὸν Ἀνδρόμαχον τὸν Καῤῥηνὸν, ᾧ τὸν Κράσσον πάντα ἀνακοινούμενον προδοθῆναι Πάρθοις ὑπ' αὐτοῦ, καὶ ἀπολέσθαι. Οὐκ ἀτιμώρητος δ' ὑπὸ τοῦ δαιμονίου παρείθη ὁ Ἀνδρόμαχος· μισθὸν γὰρ λαϐὼν τῆς πράξεως τὸ τυραννεῖν Καῤῥῶν τῆς πατρίδος, διὰ τὴν ὠμότητα καὶ βίαν ὑπὸ τῶν Καῤῥηνῶν πανοικίᾳ ἐνεπρήσθη. (Ἐκ τοῦ αὐτοῦ, βιϐλ. ς' σελ. 252.)

ΕΚ ΤΟΥ ΡΙς' ΒΙΒΛΙΟΥ.

Νικόλαος δ' ὁ Δαμασκηνὸς (εἷς δ' ἦν τῶν ἐκ τοῦ Περιπάτου) ἐν τῇ πολυϐίϐλῳ ἱστορίᾳ (ἑκατὸν γὰρ καὶ τεσσαράκοντά εἰσι πρὸς ταῖς τέσσαρσι), τῇ ἑκκαιδεκάτῃ καὶ ἑκατοςῇ φησιν, Ἀδιάτομον, τὸν τῶν Σωτιανῶν βασιλέα (ἔθνος δὲ

τοῦτο Κελτικὸν) ἑξακοσίους ἔχειν λογάδας περὶ αὐτὸν, οὓς καλεῖσθαι ὑπὸ Γαλατῶν τῇ πατρίῳ γλώττῃ Σιλοδούρους· τοῦτο δ' ἐςὶν Ἑλληνιστὶ εὐχωλιμαῖοι. Τούτους δ' οἱ βασιλεῖς ἔχουσι συζῶντας καὶ συναποθνήσκοντας, ταύτην ἐκείνων εὐχὴν ποιουμένων, ἀνθ' ἧς συνδυναστεύουσί τε αὐτῷ τὴν αὐτὴν ἐσθῆτα καὶ δίαιταν ἔχοντες, καὶ συναποθνήσκουσι κατὰ πᾶσαν ἀνάγκην, εἴτ' ἐν νόσῳ τελευτήσει βασιλεὺς, εἴτε πολέμῳ, εἴτε ἄλλως πως. Καὶ οὐδεὶς εἰπεῖν ἔχει τινὰ ἀποδειλιάσαντα τούτων τὸν θάνατον, ὅταν ἥκῃ βασιλεῖ, ἢ διεκδύντα. (Ἐκ τοῦ αὐτοῦ, Βιβλ. ςτ'. σελ. 249).

ΕΚ ΤΟΥ ΡΚΓ' ΚΑΙ ΡΚΔ' ΒΙΒΛΙΟΥ.

Ὅμοιον δέ τι τούτων καὶ Μάρκον Ἀγρίππαν φρονήσαντα περὶ τῶν Ἰουδαίων οἴδαμεν. Τῶν γὰρ Ἰώνων κινηθέντων ἐπ' αὐτοὺς καὶ δεομένων τοῦ Ἀγρίππα, ἵνα τῆς πολιτείας, ἣν αὐτοῖς ἔδωκεν Ἀντίοχος ὁ Σελεύκου υἱωνὸς, ὁ παρὰ τοῖς Ἕλλησι θεὸς λεγόμενος, μόνοι μετέχωσιν, ἀξιούντων δ', εἰ συγγενεῖς εἰσὶν αὐτοῖς Ἰουδαῖοι, σέβεσθαι τοὺς ἰδίους αὐτῶν θεοὺς, καὶ δίκης περὶ τούτων συςάσης, ἐνίκησαν οἱ Ἰουδαῖοι τοῖς αὐτῶν ἔθεσι χρῆσθαι, συνηγορήσαντος αὐτοῖς Νικολάου τοῦ Δαμασκηνοῦ. Ὁ γὰρ Ἀγρίππας ἀπεφήνατο μηδὲν αὐτῷ καινίζειν ἐξεῖναι. Τὸ δ' ἀκριβὲς εἴ τις βούλεται καταμαθεῖν, ἀναγνώτω τῶν Νικολάου ἱστοριῶν τὴν ἑκατοστὴν καὶ εἰκοστὴν τρίτην καὶ τετάρτην. (Ἐκ τοῦ Ἰωσήπου, Ἰουδ. Ἀρχαιολογ. Βιβλ. ΙΒ', κεφ. γ'.)

# ΝΙΚΟΛΑΟΥ ΤΟΥ ΔΑΜΑΣΚΗΝΟΥ

ΕΞ ΑΔΗΛΩΝ ΒΙΒΛΙΩΝ

## ΚΑΘΟΛΙΚΗΣ ΙΣΤΟΡΙΑΣ

ΤΑ ΠΑΡ' ΑΛΛΟΙΣ ΛΕΙΨΑΝΑ.

---

Ἀμοργός· νῆσος μία τῶν Κυκλάδων, ἔχουσα πόλεις τρεῖς, Ἀρκεσίνην, Μινώαν, Αἰγιάλην. Ἐκαλεῖτο δὲ καὶ Παγκάλη καὶ Ψυχία..... Νικόλαος δ' Ἀμόργην αὐτὴν καλεῖ, ἥντινα Καρκήσιος, ἀνὴρ Νάξιος, ᾤκισε, καὶ Καρκησίαν ὠνόμασε.

Λυκοσθένη· πόλις Λυδίας· Ξάνθος πρώτη Λυδιακῶν· ἣν καὶ Λυκοσθένειαν Νικόλαός φησιν.

Παρώρεια· πόλις Ἀρκαδίας. Λέγεται δὲ καὶ Παρωραία, Οἱ πολῖται Παρωρεῖς· Νικόλαος Παρωρεάτας φησίν.

Ὑπερδέξιον· χωρίον Λέσβου, ἐν ᾧ Ζεὺς Ὑπερδέξιος, καὶ Ὑπερδεξία Ἀθηνᾶ. Ἐθνικὸν Ὑπερδέξιος..... Νικόλαος δὲ πληθυντικῶς Ὑπερδεξίους φησίν. (Ἐκ τοῦ Στεφάνου τοῦ Βυζαντίου.)

Ἡσίοδός τε, καὶ Ἑκαταῖος, καὶ Ἑλλάνικος, καὶ Ἀκουσίλαος, καὶ πρὸς τούτοις Ἔφορος, καὶ Νικόλαος, ἱςοροῦσι τοὺς ἀρχαίους ζήσαντας ἔτη χίλια. [Ἐκ τοῦ Ἰωσήπου, Ἰουδ. Ἀρχαιολογ. Βιβλ. Α. Κεφ. γ'.]

Μάρτυς δὲ τούτων ἡμῖν ἐστι καὶ Νικόλαος ὁ Δαμασκηνὸς, οὕτως ἱστορῶν· Τρόπαιον δὲ στήσας Ἀντίοχος ἐπὶ τῷ Λύκῳ ποταμῷ, νικήσας Ἰνδάτην τὸν Πάρθων στρατηγὸν, αὐτόθι ἔμεινεν ἡμέρας δύο, δεηθέντος Ὑρκανοῦ τοῦ Ἰουδαίου διά τινα ἑορτὴν πάτριον, ἐν ᾗ τοῖς Ἰουδαίοις οὐκ ἦν νόμιμον ἐξοδεύειν.

[Ἐκ τοῦ αὐτοῦ, Βιβλ. ΙΓ', Κεφ. ή.]

Πτολεμαῖος δὲ μετὰ τὴν νίκην προσκαταδραμὼν τὴν χώραν, ὀψίας ἐπιγενομένης, ἔν τισι κώμαις τῆς Ἰουδαίας κατ-

ἔμεινεν· ἃς γυναικῶν εὑρὼν μεστὰς καὶ νηπίων, ἐκέλευσε τοὺς στρατιώτας ἀποσφάττοντας αὐτοὺς καὶ κρεουργοῦντας, ἔπειτα εἰς λέβητας ζέοντας ἐνιέντας τὰ μέλη ἀπάρχεσθαι. Τοῦτο δὲ προσέταξεν, ἵν᾽ οἱ διαφυγόντες ἐκ τῆς μάχης καὶ πρὸς αὐτοὺς ἐλθόντες, σαρκοφάγους ὑπολάβωσιν εἶναι τοὺς πολεμίους, καὶ διὰ τοῦτο ἔτι μᾶλλον αὐτοὺς καταπλαγῶσι ταῦτ᾽ ἰδόντες. Λέγει δὲ καὶ Στράβων καὶ Νικόλαος, ὅτι τοῦτον αὐτοῖς ἐχρήσαντο τὸν τρόπον, καθὼς κἀγὼ προείρηκα. [Ἐκ τοῦ αὐτοῦ, Βιβλ. ΙΓ'. Κεφ. ιβ'.]

Νικόλαος μέντοι φησὶν ὁ Δαμασκηνὸς, τοῦτον (τὸν Ἀντίπατρον) εἶναι γένος ἐκ τῶν πρώτων Ἰουδαίων, τῶν ἐκ Βαβυλῶνος εἰς τὴν Ἰουδαίαν ἀφικομένων. Ταῦτα δὲ λέγει χαριζόμενος Ἡρώδῃ τῷ παιδὶ αὐτοῦ. [Ἐκ τοῦ αὐτοῦ, Βιβλ. ΙΔ'. Κεφ. α'.]

Ὅτι δ᾽ οὐ λόγος ταῦτα μόνον ἐγκώμιον ψευδοῦς εὐσεβείας ἐμφανίζων, ἀλλὰ ἀλήθεια, μαρτυροῦσι πάντες οἱ τὰς κατὰ Πομπήϊον πράξεις ἀναγράψαντες, ἐν οἷς καὶ Στράβων, καὶ Νικόλαος. [Ἐκ τοῦ αὐτοῦ, Βιβλ. ΙΔ'. Κεφ. δ'.]

Περὶ δὲ τῆς Πομπηΐου καὶ Γαβινίου στρατείας ἐπὶ Ἰουδαίους γράφει Νικόλαος ὁ Δαμασκηνὸς, καὶ Στράβων ὁ Καππάδοξ, οὐδὲν ἕτερος ἑτέρου καινότερον λέγων. [Ἐκ τοῦ αὐτοῦ, Βιβλ. ΙΔ'. Κεφ. στ'.]

Ὁ γὰρ Ἡρώδης, πολλοῖς τοῖς ἀναλώμασιν εἴς τε τὰς ἔξω καὶ τὰς ἐν τῇ βασιλείᾳ χρώμενος [χορηγίας], ἀκηκοὼς ἔτι τάχιον, ὡς Ὑρκανὸς ὁ πρὸ αὐτοῦ βασιλεὺς, ἀνοίξας τὸν Δαυΐδου τάφον, ἀργυρίου λάβοι τρισχίλια τάλαντα, κειμένων πολὺ πλειόνων ἔτι, καὶ δυναμένων εἰς ἅπαν ἐπαρκέσαι ταῖς χορηγίαις, ἐκ πλείονος μὲν δι ἐννοίας εἶχε τὴν ἐπιχείρησιν· ἐν δὲ τῷ τότε, νυκτὸς ἀνοίξας τὸν τάφον εἰσέρχεται, πραγματευσάμενος ἥκιστα μὲν ἐν τῇ πόλει φανερὸς εἶναι, παρειληφὼς δὲ τοὺς πιστοτάτους τῶν φίλων. Ἀποθέσιμα μὲν οὖν χρήματα, καθάπερ Ὑρκανὸς, οὐχ εὗρε, κόσμον δὲ χρυσοῦ καὶ κειμηλίων πολὺν, ὃν ἀνείλετο πάντα. Σπουδὴν δ᾽ εἶχεν, ἐπιμελεστέραν

ποιούμενος τὴν ἔρευναν, ἐνδοτέρω τε χωρεῖν, καὶ κατὰ τὰς θήκας, ἐν αἷς ἦν τοῦ Δαυΐδου καὶ τοῦ Σολομῶνος τὰ σώματα. Καὶ δύο μὲν αὐτῷ τῶν δορυφόρων διεφθάρησαν, φλογὸς ἔνδοθεν εἰσιοῦσιν ἀπαντώσης, ὡς ἐλέγετο· περίφοβος δ' αὐτὸς ἐξῄει, καὶ τοῦ δέους ἱλαστήριον μνῆμα λευκῆς πέτρας ἐπὶ τῷ στομίῳ κατεσκευάσατο, πολυτελὲς τῇ δαπάνῃ. Τούτου καὶ Νικόλαος, ὁ κατ' αὐτὸν ἱστοριογράφος, μέμνηται τοῦ κατασκευάσματος, οὐ μὴν ὅτι καὶ κατῆλθεν, οὐκ εὐπρεπῆ τὴν πρᾶξιν ἐπιστάμενος. Διατελεῖ δὲ καὶ τὰ ἄλλα τοῦτον τὸν τρόπον χρώμενος τῇ γραφῇ. Ζῶν τε γὰρ ἐν τῇ βασιλείᾳ καὶ συνὼν αὐτῷ, κεχαρισμένως ἐκείνῳ καὶ καθ' ὑπηρεσίαν ἀνέγραφε, μόνων ἁπτόμενος τῶν εὔκλειαν αὐτῷ φερόντων· πολλὰ δὲ καὶ τῶν ἐμφανῶς ἀδίκων ἀντικατασκευάζων, καὶ μετὰ πάσης σπουδῆς ἐπικρυπτόμενος, ὅς γε καὶ τὸν Μαριάμμης θάνατον, καὶ τῶν παίδων αὐτῆς, οὕτως ὠμῶς τῷ βασιλεῖ πεπραγμένον, εἰς εὐπρέπειαν ἀνάγειν βουλόμενος, ἐκείνης τε ἀσέλγειαν καὶ τῶν νεανίσκων ἐπιβουλὰς καταψεύδεται, καὶ διατετέλεκε τῇ γραφῇ, τὰ μὲν πεπραγμένα δικαίως τῷ βασιλεῖ περιττότερον ἐγκωμιάζων, ὑπὲρ δὲ τῶν παρανομηθέντων ἐσπουδασμένως ἀπολογούμενος. [Ἐκ τοῦ αὐτοῦ, Βιβλ. Ις'. Κεφ. ζ.]

Μιθριδάτου δ' ἀναγράφει κόλακα Σωσίπατρον, ἄνθρωπον γόητα, Νικόλαος ὁ Περιπατητικός. [Ἐκ τοῦ Ἀθηναίου Βιβλ. ς'. σελ. 252.]

Νικόλαος δ' ὁ Περιπατητικὸς, καὶ Ποσειδώνιος ὁ Στωϊκὸς, ἐν ταῖς ἱστορίαις, ἑκάτερος τοὺς Χίους φησὶν, ἐξανδραποδισθέντας ὑπὸ Μιθριδάτου τοῦ Καππάδοκος, παραδοθῆναι τοῖς ἰδίοις δούλοις δεδεμένους, ἵν' εἰς τὴν Κόλχων γῆν κατοικισθῶσιν. [Ἐκ τοῦ αὐτοῦ, σελ. 266.]

Μυρίνην δὲ τὴν Σαμίαν ἑταίραν Δημήτριος εἶχεν ὁ βασιλεὺς, ὁ τῆς διαδοχῆς τελευταῖος· καὶ, ἔξω τοῦ διαδήματος,

κοινωνὸν εἶχε τῆς βασιλείας, ὥς φησι Νικόλαος ὁ Δαμασκηνός.
[Ἐκ τοῦ αὐτοῦ, Βιβλ. ΙΓ, σελ. 593.]

Προσθείη δ' ἄν τις τούτοις καὶ τὰ παρὰ τοῦ Δαμασκηνοῦ Νικολάου. Φησὶ γὰρ οὗτος ἐν Ἀντιοχείᾳ τῇ ἐπὶ Δάφνῃ παρατυχεῖν τοῖς Ἰνδῶν πρέσβεσιν, ἀφιγμένοις παρὰ Καίσαρα τὸν Σεβαστόν· οὓς ἐκ μὲν τῆς ἐπιστολῆς πλείους δηλοῦσθαι, σωθῆναι δὲ τρεῖς μόνους, οὓς ἰδεῖν φησί· τοὺς δ' ἄλλους ὑπὸ μήκους τῶν ὁδῶν διαφθαρῆναι τὸ πλέον. Τὴν δ' ἐπιστολὴν ἑλληνίζειν ἐν διφθέρᾳ γεγραμμένην, δηλοῦσαν, ὅτι Πῶρος εἴη ὁ γράψας· ἑξακοσίων δὲ ἄρχων βασιλέων, ὅμως περὶ πολλοῦ ποιοῖτο φίλος εἶναι Καίσαρι καὶ ἕτοιμος εἴη δίοδόν τε παρέχειν ὅπῃ βούλεται, καὶ συμπράττειν ὅσα καλῶς ἔχει. Ταῦτα μὲν ἔφη λέγειν τὴν ἐπιστολήν, τὰ δὲ κομισθέντα δῶρα προσενέγκαι ὀκτὼ οἰκέτας γυμνοὺς ἐν περιζώμασι καταπεπασμένους ἀρώμασιν· εἶναι δὲ τὰ δῶρα τόν τε Ἑρμᾶν ἀπὸ τῶν ὤμων ἀφῃρημένον ἐκ νηπίου τοὺς βραχίονας, ὃν καὶ ἡμεῖς εἴδομεν, καὶ ἐχίδνας μεγάλας, καὶ ὄφιν πηχῶν δέκα, καὶ χελώνην ποταμίαν τρίπηχυν, πέρδικα δὲ μείζω γυπός. Συνῆν δὲ, ὥς φασι, καὶ ὁ Ἀθήνησι κατακαύσας ἑαυτόν· ποιεῖν δὲ τοῦτο τοὺς μὲν ἐπὶ κακοπραγίᾳ, ζητοῦντας ἀπαλλαγὴν τῶν παρόντων, τοὺς δ' ἐπ' εὐπραγίᾳ, καθάπερ τοῦτον· ἅπαντα γὰρ κατὰ γνώμην πράξαντα μέχρι νῦν, ἀπιέναι δεῖν, μή τι τῶν ἀβουλήτων χρονίζοντι συμπέσοι· καὶ δὴ καὶ γελῶντα ἅλασθαι γυμνὸν ἐπαληλειμμένον ἐν περιζώματι ἐπὶ τὴν πυράν. Ἐπιγεγράφθαι δὲ τῷ τάφῳ.

ΖΑΡΜΑΝΟΣ ΧΗΓΑΝ
ἸΝΔΟΣ ἈΠΟ ΒΑΡΓΟΣΗΣ
ΚΑΤᾺ ΤᾺ ΠΆΤΡΙΑ ἸΝΔΩ͂Ν ἜΘΗ
ἙΑΥΤῸΝ ἈΠΑΘΑΝΑΤΊΣΑΣ ΚΕΙ͂ΤΑΙ.

[Ἐκ τοῦ Στράβωνος, Γεωγρ. Βιβλ. ΙΕ, σελ. 719.]

# ΝΙΚΟΛΑΟΥ ΔΑΜΑΣΚΗΝΟΥ
# ΤΗΣ ΠΑΡΑΔΟΞΩΝ ΕΘΩΝ ΣΥΝΑΓΩΓΗΣ,

ΤΑ ΠΑΡΑ ΤΩ ΣΤΟΒΑΙΩ.

ΛΕΙΨΑΝΑ.

## ΘΥΝΟΙ.

ΘΥΝΟΙ τοὺς ναυαγοὺς φιλανθρώπως δεχόμενοι φίλους ποιοῦνται. Τῶν δὲ ξένων τοὺς μὲν ἑκουσίως ἐλθόντας σφόδρα τιμῶσι, τοὺς δὲ ἀκουσίως κολάζουσι.

## ΑΡΙΤΟΝΟΙ.

Ἀρίτονοι τῶν ἐμψύχων οὐδὲν ἀποκτείνουσι, τὰ δὲ κεράμεα τῶν χρηστηρίων ἐν χρυσοῖς ἐλύτροις φυλάττουσι.

## ΔΑΡΔΑΝΟΙ.

Δαρδανεῖς, Ἰλλυρικὸν ἔθνος, τρὶς ἐν τῷ βίῳ λούονται μόνον, ὅταν γεννῶνται, καὶ ἐπὶ γάμοις, καὶ τελευτῶντες.

## ΓΑΛΑΚΤΟΦΑΓΟΙ.

Γαλακτοφάγοι, Σκυθικὸν ἔθνος, ἄοικοί εἰσιν, ὥσπερ καὶ οἱ πλεῖστοι Σκυθῶν. Τροφὴν δ' ἔχουσι γάλα μόνον ἵππειον, ἐξ οὗ τυροποιοῦντες ἐσθίουσι καὶ πίνουσι. Καὶ εἰσὶ διὰ τοῦτο δυσμαχώτατοι, σὺν αὐτοῖς πάντῃ τὴν τροφὴν ἔχοντες. Οὗτοι καὶ Δαρεῖον ἐτρέψαντο.

Εἰσὶ δὲ καὶ δικαιότατοι, κοινὰ ἔχοντες τά τε κτήματα καὶ τὰς γυναῖκας, ὥστε τοὺς μὲν πρεσβυτέρους αὐτῶν πατέρας ὀνομάζειν, τοὺς δὲ νέους παῖδας, τοὺς δ' ἥλικας ἀδελφούς. Ὧν ἦν καὶ Ἀνάχαρσις, εἷς τῶν ἑπτὰ σοφῶν νομισθεὶς, ὃς ἦλθεν

εἰς τὴν Ἑλλάδα, ἵνα ἱϛορήσῃ τὰ τῶν Ἑλλήνων νόμιμα. Τούτων καὶ Ὅμηρος μέμνηται, ἐν οἷς φησί,

Μουσῶν τ' ἀγχεμάχων, καὶ ἀγαυῶν ἱππημολγῶν,
Γλακτοφάγων, Ἀβίων τε, δικαιοτάτων ἀνθρώπων.

Ἀβίους δὲ αὐτοὺς λέγει, ἢ διὰ τὸ γῆν μὴ γεωργεῖν, ἢ διὰ τὸ ἀοίκους εἶναι, ἢ διὰ τὸ χρῆσθαι τούτους μόνους τόξοις, βίον γὰρ λέγει τὸ τόξον.

Παρὰ τούτοις οὐδὲ εἷς, οὔτε φθονῶν, ὥς φασιν, οὔτε μισῶν, οὔτε φοβούμενος ἱστορήθη, διὰ τὴν τοῦ βίου κοινότητα καὶ δικαιοσύνην.

Μάχιμοι δ' οὐχ ἧττον αὐτῶν αἱ γυναῖκες, ἢ οἱ ἄνδρες, καὶ συμπολεμοῦσιν αὐτοῖς, ὅταν δέῃ. Καὶ διὰ τοῦτο Ἀμαζόνας γενναιοτάτας εἶναι, ὥστε ποτὲ ἐλάσαι μέχρι Ἀθηνῶν καὶ Κιλικίας.

Ὅτι τότε παρῴκουν ἐγγὺς τῆς Μαιώτιδος λίμνης.

## ΙΒΗΡΟΙ.

Ἰβήρων αἱ γυναῖκες κατ' ἔτος ὅ τι ἂν ἐξυφήνωσιν ἐν κοινῷ δεικνύουσιν. Ἄνδρες δὲ χειροτονητοὶ κρίναντες, τὴν πλεῖϛα ἐργασαμένην προτιμῶσιν.

Ἔχουσι δὲ καὶ μέτρον τι ζώνης ᾗ τὴν γαστέρα περιλαβεῖν ἂν μὴ δυνηθῶσιν, αἰσχρὸν ἡγοῦνται.

## ΟΜΒΡΙΚΟΙ.

Ὀμβρικοὶ ἐν ταῖς πρὸς τοὺς πολεμίους μάχαις αἴσχιϛον ἡγοῦνται ἡττημένοι ζῆν· ἀλλ' ἀναγκαῖον ἢ νικᾶν, ἢ ἀποθνήσκειν.

Ὀμβρικοὶ ὅταν πρὸς ἀλλήλους ἔχωσιν ἀμφισβήτησιν, καθοπλισθέντες, ὡς ἐν πολέμῳ, μάχονται, καὶ δοκοῦσι δικαιότερα λέγειν οἱ τοὺς ἐναντίους ἀποσφάξαντες.

## ΚΕΛΤΟΙ.

Κελτοὶ, οἱ τῷ ὠκεανῷ γειτνιῶντες, αἰσχρὸν ἡγοῦνται τοῖχον καταπίπτοντα ἢ οἰκίαν φεύγειν.

Πλημμυρίδος

Πλημμυρίδος δὲ ἐκ τῆς ἔξω θαλάττης ἐπερχομένης, μεθ' ὅπλων ἀπαντῶντες ὑπομένουσιν, ἕως κατακλύζωνται, ἵνα μὴ δοκῶσι φεύγοντες τὸν θάνατον φοβεῖσθαι.

Κελτοὶ σιδηροφοροῦντες τὰ κατὰ πόλιν πάντα πράττουσι.

Μείζω δ' ἐστὶν ἐπιτίμια κατὰ τοῦ ξένον ἀνελόντος, ἢ πολίτην· ὑπὲρ τοῦ μὲν γὰρ θάνατος ἡ ζημία, ὑπὲρ τοῦ δὲ πολίτου φυγή.

Τιμῶσι μάλιστα τοὺς χώραν τῷ κοινῷ προσκτωμένους.

Τὰς δὲ θύρας τῶν οἰκιῶν οὐδέποτε κλείουσι.

## ΠΑΙΔΑΛΙΟΙ.

Ἐν Παιδαλίοις, Ἰνδικῷ ἔθνει, οὐχ ὁ θύων, ἀλλ' ὁ συνετώτατος τῶν παρόντων κατάρχεται τῶν ἱερῶν· αἰτεῖται δ' ἀεὶ παρὰ τῶν θεῶν οὐδὲν ἄλλο πλὴν δικαιοσύνης.

## ΠΡΑΥΣΙΟΙ

Πραῦσιοι τοὺς ἀστυγείτονας, ἐὰν λιμῷ πιεσθῶσι, τρέφουσι.

## ΤΕΛΧΙΝΕΣ.

Τελχῖνες ἄνθρωποι ὀνομαζόμενοι, τὸ ἀνέκαθεν Κρῆτες, οἰκήσαντες καὶ ἐν Κύπρῳ, μεταναστάντες δ' εἰς Ῥόδον, καὶ πρῶτοι τὴν νῆσον κατασχόντες, βάσκανοί τε σφόδρα ἦσαν καὶ φθονεροί. Τεχνῖται δὲ ὄντες καὶ τὰ τῶν προτέρων ἔργα μιμησάμενοι, Ἀθηνᾶς Τελχινίας ἄγαλμα πρῶτοι ἱδρύσαντο, ὥσπερ εἴ τις λέγοι Ἀθηνᾶς βασκάνου.

## ΤΑΡΤΗΣΣΙΟΙ.

Παρὰ Ταρτησσίοις νεωτέρῳ πρεσβυτέρου καταμαρτυρεῖν οὐκ ἔξεστι.

## ΛΕΥΚΑΝΟΙ.

Λευκανοὶ δικάζονται ἀλλήλοις, ὥσπερ ἄλλου τινὸς ἀδικήματος, οὕτω καὶ ἀσωτίας καὶ ἀργίας.

Ἐὰν δέ τις ἀσώτῳ δανείσας χρέος ἐλεγχθῇ, στέρεται αὐτοῦ·

## ΣΑΥΝΙΤΑΙ.

Παρὰ Σαυνίταις κατ' ἔτος οὔτε ἤϊθεοι κρίνονται δημοσίᾳ καὶ αἱ παρθένοι. Ὁ δὲ κριθεὶς ἄριστος εἶναι, λαμβάνει ἣν βούλεται, εἶθ' ὁ μετ' ἐκεῖνον δεύτερος, καὶ οὕτως ἐφεξῆς.

## ΛΙΒΥΡΝΙΟΙ.

Λυβύρνιοι κοινὰς τὰς γυναῖκας ἔχουσι, καὶ τὰ τέκνα ἐν κοινῷ τρέφουσι μέχρι ἐτῶν πέντε· εἶτα τῷ ἕκτῳ συνενέγκαντες ἅπαντα τὰ παιδία, τὰς ὁμοιότητας πρὸς τοὺς ἄνδρας εἰκάζουσι, καὶ ἑκάστῳ τὸ ὅμοιον ἀποδιδόασι πατρί· ἀφ' ἧς δ' ἂν ἀπολάβῃ τὸ παιδίον, ἕκαστος υἱὸν ὑπολαμβάνει.

## ΣΑΥΡΟΜΑΤΑΙ.

Σαυρομάται διὰ τριῶν ἡμερῶν σιτοῦνται εἰς πλήρωσιν.

Ταῖς δὲ γυναιξὶ πάντα πείθονται ὡς δεσποίναις.

Παρθένον δὲ οὐ πρότερον συνοικίζουσι πρὸς γάμον, πρὶν ἂν πολέμιον ἄνδρα κτείνῃ.

## ΚΕΡΚΕΤΑΙ.

Κερκέται τοὺς ἀδικήσαντας ὁτιοῦν τῶν ἱερῶν ἀπείργουσιν.

Ἐὰν δέ τις κυβερνῶν σκάφος διαμάρτῃ, προσιόντες ἐφεξῆς ἕκαστοι ἐμπτύουσιν αὐτῷ.

## ΜΟΣΥΝΟΙ.

Μόσυνοι τὸν ἑαυτῶν βασιλέα τρέφουσιν ἐν πύργῳ κατάκλειστον. Ἐὰν δέ τις δόξῃ κακῶς ποτὲ βεβουλεῦσθαι, τῷ λιμῷ αὐτὸν ἀποκτείνουσι.

Τὸν δὲ τρεφόμενον σῖτον ἐξίσου διαιροῦσι, μέρος κοινῇ ἐξελόντες τοῖς ἀφικνουμένοις ξένοις.

## ΦΡΥΓΕΣ.

Φρύγες ὅρκοις οὐ χρῶνται, οὔτ' ὀμνύντες, οὔτε ἄλλους ἐξορκοῦντες.

Ἐὰν δέ τις παρ' αὐτοῖς γεωργικὸν βοῦν ἀποκτείνῃ, ἢ σκεῦος τῶν περὶ γεωργίαν κλέψῃ, θανάτῳ ζημιοῦσι.

Φρύγες οὐ κατορύττουσι τοὺς ἱερεῖς τελευτήσαντας, ἀλλ' ἐπὶ λίθους δεκαπήχεας τιθέασιν ὀρθούς.

## ΛΥΚΙΟΙ.

Λύκιοι τὰς γυναῖκας μᾶλλον ἢ τοὺς ἄνδρας τιμῶσι, καὶ καλοῦνται μητρόθεν. Τάς τε κληρονομίας ταῖς θυγατράσι λείπουσιν, οὐ τοῖς υἱοῖς.

Ὅς δ' ἂν ἐλεύθερος ἁλῷ κλέπτων, δοῦλος γίνεται.

Τὰς δὲ μαρτυρίας ἐν ταῖς δίκαις οὐκ εὐθὺ παρέχονται, ἀλλὰ κατὰ μῆνα.

## ΠΙΣΙΔΑΙ.

Πισίδαι δειπνοῦντες ἀπάρχονται τοῖς γονεῦσιν, ὡς ἡμεῖς τοῖς θεοῖς παρασπονδίοις.

Ἡ δὲ μεγίστη κρίσις ἐστὶ παρακαταθήκης· τὸν δὲ ἀποστερήσαντα θανατοῦσιν.

Ἐὰν δὲ μοιχὸς ἁλῷ, περιάγεται τὴν πόλιν ἐπ' ὄνου μετὰ τῆς γυναικὸς, ἐπὶ ἡμέρας τακτάς.

## ΑΙΘΙΟΠΕΣ.

Αἰθίοπες τὰς ἀδελφὰς μάλιστα τιμῶσι, καὶ τὰς διαδοχὰς μάλιστα καταλείπουσιν οἱ βασιλεῖς, οὐ τοῖς ἑαυτῶν, ἀλλὰ τοῖς τῶν ἀδελφῶν υἱοῖς. Ὅταν δ' ὁ διαδεξόμενος μὴ ᾖ, τὸν κάλλιστον ἐκ πάντων καὶ μαχιμώτατον αἱροῦνται βασιλέα.

Ἀσκοῦσι δὲ εὐσέβειαν καὶ δικαιοσύνην.

Ἄθυροι δ' αὐτῶν αἱ οἰκίαι, καὶ, ἐν ταῖς ὁδοῖς κειμένων πολλῶν, οὐδὲ εἷς κλέπτει.

## ΒΥΑΟΙ.

Ἐν Βυάοις Λίβυσιν ἀνὴρ μὲν ἀνδρῶν βασιλεύει, γυνὴ δὲ γυναικῶν.

## ΜΑΣΟΥΛΙΕΙΣ.

Μασουλιεῖς Λίβυες, ὅταν πολεμῶσι, τὰς μὲν νύκτας μάχονται, τὰς δ' ἡμέρας εἰρήνην ἄγουσι.

## ΔΑΨΟΛΙΒΥΕΣ.

Δαψολίβυες ὅταν συναχθῶσι, πάντες ἅμα γαμοῦσιν ἐν μιᾷ ἡμέρᾳ, μετὰ δύσιν Πλειάδος, καὶ μετὰ τὴν ἑστίασιν χωρὶς τῶν γυναικῶν κατακειμένων κατασβύσαντες τὸν λύχνον εἰσέρχονται, καὶ ὁ τυχὼν, ἣν ἂν τύχῃ, λαμβάνει.

## ΙΑΛΧΛΕΥΕΙΣ.

Ἰαλχλευεῖς Λίβυες, ὅταν πολλοὶ μνηστεύσωνται γυναῖκα, παρὰ τῷ κηδεστῇ δειπνοῦσι, παρούσης τῆς γυναικός. Πολλὰ δὲ σκωπτόντων, ἐφ' ᾧ ἂν ἡ γυνὴ γελάσῃ, τούτῳ συνοικεῖ.

## ΣΑΡΔΟΛΙΒΥΕΣ.

Σαρδολίβυες οὐδὲν κέκτηνται σκεῦος ἔξω κύλικος καὶ μαχαίρας.

## ΑΛΙΤΕΜΙΟΙ.

Ἀλιτέμιοι Λίβυες τοὺς ταχυτάτους αὐτῶν αἱροῦνται βασιλεῖς· τῶν δὲ ἄλλων τιμῶσι τὸν δικαιότατον.

## ΝΟΜΑΔΕΣ.

Οἱ Νομάδες τῶν Λιβύων οὐ ταῖς ἡμέραις, ἀλλὰ ταῖς νυξὶν αὐτῶν ἀριθμοῦσι τὸν χρόνον.

## ΑΤΑΡΑΝΤΕΣ.

Ἀτάραντες Λίβυες ὀνόματα οὐκ ἔχουσιν.

Ἡλίῳ δὲ ἀνίσχοντι λοιδοροῦνται, ὡς πολλὰ κακὰ φήναντι.

Τῶν δὲ θυγατέρων ἀρίστας κρίνουσι τὰς πλεῖστον χρόνον μεμενηκυίας παρθένους.

## ΒΟΙΩΤΟΙ.

Βοιωτῶν ἔνιοι τοὺς χρέος οὐκ ἀποδιδόντας εἰς ἀγορὰν

ἄγοντες καθίσαι κελεύουσιν, εἶτα κόφινον ἐπιβάλλουσιν αὐτῷ· ὃς δ' ἂν κοφινωθῇ, ἄτιμος γίνεται. Δοκεῖ δὲ τοῦτο πεπονθέναι καὶ ὁ Εὐριπίδου πατὴρ, Βοιωτὸς ὢν τὸ γένος.

## ΑΣΣΥΡΙΟΙ.

Ἀσσύριοι τὰς παρθένους ἐν ἀγορᾷ πωλοῦσι τοῖς θέλουσι συνοικεῖν· πρώτας μὲν τὰς εὐγενεστάτας καὶ καλλίςας, εἶτα τὰς λοιπὰς ἐφεξῆς. Ὅταν δὲ ἔλθωσιν ἐπὶ τὰς φαυλοτάτας, κηρύττουσι, πόσον τὶς θέλει προσλαβὼν ταύταις συνοικεῖν, καὶ τὸ συναχθὲν ἐκ τῆς τῶν εὐπρεπῶν τιμῆς ταύταις προστίθενται. Ἀσκοῦσι δὲ μάλιστα πραΰτητα καὶ ἀοργησίαν.

## ΠΕΡΣΑΙ.

Πέρσαις ὃ μὴ ποιεῖν ἔξεστιν, οὐδὲ λέγουσιν.

Ἐὰν δέ τις πατέρα κτείνῃ, ὑπόβλητον αὐτὸν οἴονται.

Ἐὰν δέ τινα προστάξῃ βασιλεὺς μαστιγῶσαι, εὐχαριςεῖ, ὡς ἀγαθοῦ τυχὼν, ὅτι αὐτοῦ ἐμνήσθη βασιλεύς.

Ἆθλα δὲ λαμβάνουσι παρὰ βασιλέως πολυτεκνίας.

Οἱ δὲ παῖδες παρ' αὐτοῖς, ὥσπερ μάθημά τι, τὸ ἀληθεύειν διδάσκονται.

## ΙΝΔΟΙ.

Παρ' Ἰνδοῖς ἐάν τις ἀποςερηθῇ δανείου, ἢ παρακαταθήκης, οὐκ ἔστι κρίσις, ἀλλ' αὐτὸν αἰτιᾶται ὁ πιστεύσας.

Ὁ δὲ τεχνίτου πηρώσας χεῖρα ἢ ὀφθαλμὸν, θανάτῳ ζημιοῦται.

Τὸν δὲ μέγιστα ἀδικήσαντα ὁ βασιλεὺς κελεύει κείρασθαι, ὡς ἐσχάτης οὔσης ταύτης ἀτιμίας.

Ἰνδοὶ συγκατακαίουσιν, ὅταν τελευτήσωσι, τῶν γυναικῶν τὴν προσφιλεστάτην· αὐτῶν δὲ ἐκείνων ἀγὼν μέγιςος γίνεται, σπουδαζόντων νικῆσαι ἑκάστην τῶν φίλων.

## ΛΑΚΕΔΑΙΜΟΝΙΟΙ.

Λακεδαιμονίοις τέχνας μανθάνειν ἄλλας, ἢ τὰς εἰς πόλεμον εὐθέτους, αἰσχρόν ἐστιν.

Ἑστιῶνται δὲ πάντες ἐν κοινῷ.

Τοὺς δὲ γέροντας αἰσχύνονται οὐδὲν ἧττον ἢ πατέρας.

Γυμνάσια δ' ὥσπερ ἀνδρῶν ἐστιν, οὕτω καὶ παρθένων.

Ξένοις δ' ἐμβιοῦν οὐκ ἔξεστιν ἐν Σπάρτῃ, οὔτε Σπαρτιάταις ξενιτεύειν.

Ταῖς δὲ αὐτῶν γυναιξὶ παρακελεύονται ἐκ τῶν εὐειδεστάτων κύεσθαι καὶ ἀστῶν καὶ ξένων.

Χρηματίζεσθαι δ' αἰσχρὸν Σπαρτιάτῃ.

Νομίσματι δὲ χρῶνται σκυτίνῳ· ἐὰν δὲ παρά τινι εὑρεθῇ χρυσὸς ἢ ἄργυρος, θανάτῳ ζημιοῦται.

Σεμνύνονται δὲ πάντες ἐπὶ τῷ ταπεινοὺς αὑτοὺς παρέχειν καὶ κατηκόους ταῖς ἀρχαῖς.

Μακαρίζονται δὲ μᾶλλον παρ' αὐτοῖς οἱ γενναίως ἀποθνήσκοντες, ἢ οἱ εὐτυχῶς ζῶντες.

Οἱ δὲ παῖδες νομίμως περί τινα βωμὸν περιιόντες μαστιγοῦνται, ἕως ἂν ὀλίγοι λειφθέντες στεφανωθῶσιν.

Αἰσχρὸν δέ ἐστι δειλῷ σύσκηνον, ἢ συγγυμναστὴν, ἢ φίλον γενέσθαι.

Κρίσις δὲ τῆς Γεροντίας ἐπὶ τῷ τέρματι τοῦ βίου προτίθεται τοῖς εὖ ἢ κακῶς ζήσασιν.

Ὅταν δὲ στρατεύωνται ἔξω χώρας, πῦρ ἀπὸ τοῦ βωμοῦ τοῦ Ἀγήτορος Διὸς ἐναυσάμενος ὁ πυρφόρος λεγόμενος σύνεστι τῷ βασιλεῖ ἄσβεστον αὐτὸ τηρῶν.

Συνεκπέμπονται δὲ τῷ βασιλεῖ μάντεις καὶ ἰατροὶ καὶ αὐληταὶ, οἷς ταῖς μάχαις ἀντὶ σαλπίγγων ἀεὶ χρῶνται· μάχονται δὲ ἐστεφανωμένοι.

Ὑπανίστανται δὲ βασιλεῖ πάντες, πλὴν Ἐφόρων.

Ὀμνύει τε πρὸ τῆς ἀρχῆς ὁ βασιλεὺς, κατὰ τοὺς τῆς πόλεως νόμους βασιλεύσειν.

## ΚΡΗΤΕΣ.

Κρῆτες πρῶτοι Ἑλλήνων νόμους ἔσχον, Μίνωος θεμένου, ὃς καὶ πρῶτος ἐθαλασσοκράτησε. Προσεποιεῖτο δὲ Μίνως

παρὰ τοῦ Διὸς αὐτοῦ μεμαθηκέναι, δι' ἐννέα ἐτῶν εἴς τι ὄρος φοιτῶν, ἐν ᾧ Διὸς ἄντρον ἐλέγετο, κἀκεῖθεν ἀεί τινας νόμους φέρων τοῖς Κρησί. Μέμνηται δὲ τούτου καὶ Ὅμηρος, ἐν οἷς λέγει·

Τοῖσι δ' ἐνὶ Κνωσσὸς μεγάλη πόλις, ἔνθα Μίνως γε
Ἐννέωρος βασίλευε, Διὸς μεγάλου ὀαριστής.

Οἱ δὲ Κρητῶν παῖδες ἀγελάζονται κοινῇ μετ' ἀλλήλων σκληραγωγούμενοι, καὶ θήρας καὶ δρόμους ἀνάντεις ἀνυπόδητοι κατανύοντες, καὶ τὴν ἐνόπλιον πυῤῥίχην ἐκπονοῦντες, ἥντινα πρῶτος εὗρε Πύῤῥιχος Κυδωνιάτης, Κρὴς τὸ γένος.

Συσσιτοῦσι δ' ἐν κοινῷ οἱ ἄνδρες, τὴν αὐτὴν δίαιταν ἔχοντες ἐξίσου πάντες.

Δώρων δὲ αὐτοῖς ἐστὶν ὅπλα τιμιώτατα.

## ΑΥΤΑΡΙΑΤΑΙ.

Αὐταριάται τοὺς ἀδυνάτους τῶν στρατιωτῶν ἐν ταῖς ὁδοιπορίαις οὐδέποτε ζῶντας ἀπολείπουσι.

## ΤΡΙΒΑΛΛΟΙ.

Τριβαλλοὶ τέτταρας φάλαγγας ἐν ταῖς μάχαις ποιοῦνται· τὴν πρώτην τῶν ἀσθενῶν, τὴν ἐχομένην τῶν κρατίστων, τὴν τρίτην τῶν ἱππέων, τελευταίαν τὴν τῶν γυναικῶν, αἳ αὐτοὺς εἰς φυγὴν τρεπομένους κωλύουσι βλασφημοῦσαι.

## ΚΑΥΣΙΑΝΟΙ.

Καυσιανοὶ τοὺς μὲν γεννωμένους θρηνοῦσι· τοὺς δὲ τελευτήσαντας μακαρίζουσι.

## ΚΙΟΙ.

Κίοι τοὺς ἀποθανόντας κατακαύσαντες, καὶ ὀστολογήσαντες, ἐν ὅλμῳ τὰ ὀστᾶ καταπτίσσουσιν, εἶτα ἐνθέντες εἰς πλοῖον, καὶ κόσκινον λαβόντες ἀναπλέουσιν εἰς πέλαγος, καὶ πρὸς τὸν ἄνεμον ἐξοδιάζουσιν ἄχρις ἂν πάντα ἐκφυσηθῇ καὶ ἀφανῆ γένηται.

## ΤΑΥΡΟΙ.

Ταῦροι, Σκυθικὸν ἔθνος, τοῖς βασιλεῦσι τοὺς εὐνουστάτους τῶν φίλων συγκαταθάπτουσιν.

Ὁ δὲ βασιλεὺς ἀποθανόντος φίλου, ἢ μέρος ἢ τὸ ὅλον ἀποτέμνει ὠτίον, πρὸς τὴν ἀξίαν τοῦ τελευτήσαντος.

## ΣΙΝΔΟΙ.

Σινδοὶ τοσούτους ἰχθῦς ἐπὶ τοὺς τάφους ἐπιβάλλουσιν, ὅσους πολεμίους ὁ θαπτόμενος ἀπεκτονὼς ᾖ.

## ΚΟΛΧΟΙ.

Κόλχοι τοὺς τελευτήσαντας οὐ θάπτουσιν, ἀλλὰ κρεμῶσιν ἀπὸ δένδρων.

## ΠΑΝΗΒΟΙ.

Πάνηβοι Λίβυες, ὅταν αὐτοῖς βασιλεὺς ἀποθάνῃ, τὸ μὲν σῶμα κατορύττουσι, τὴν δὲ κεφαλὴν ἀποκόψαντες καὶ χρυσώσαντες ἀνατιθέασιν ἐν ἱερῷ.

# ΠΕΡΙ ΠΑΡΑΣΙΤΩΝ.

Τὸ τῶν παρασίτων, ἄνδρες, ἐξεῦρεν γένος
Διὸς πεφυκὼς, ὡς λέγουσι, Τάνταλος.
Οὐ δυνάμενος δὲ τῇ τέχνῃ χρῆσθαι καλῶς,
Ἀκόλαστον ἔσχε γλῶσσαν, εἶτ᾽ ἀκουσίῳ
Δίφρῳ περιπεσὼν δυναμένῳ λιμὸν ποιεῖν,
Ἀπὸ τῆς τραπέζης ἐξαπίνης ἀπεστράφη.
Ἄφνω δὲ πληγεὶς εἰς μέσην τὴν γαστέρα,
Ἔδοξεν αὐτῷ γεγονέναι τἄνω κάτω·
Σίπυλόν τε τοῦτον ἀνατετράφθαι τὸν τρόπον.
Καὶ μάλα δικαίως· Φρὺξ γὰρ ὢν, οὐχ ἱκανὸς ἦν
Τὴν τοῦ τρέφοντος εὖ φέρειν παῤῥησίαν.
Διὸ δὴ τοιαύτης παντελῶς καχεξίας
Ἐν τοῖς βίοις παρὰ πᾶσιν ἐζηλωμένης,
Πικρὸς ἐπιπλῆξαι βούλομ᾽ (ἄν περ νὴ Δία
Παῤῥησίαν μοι δῶτε) τοῖς ἀσυμβόλοις,
Τἀλλότρια δειπνεῖν ἑλομένοις ἄνευ πόνου.
Τί γὰρ μαθὼν, ἄνθρωπε, πρὸς τῶν δαιμόνων,
Βούλει παρασιτεῖν; ἢ τί τῶν ἐν τῷ βίῳ
Ξυνῆκας; εἰπον· ἄξιον γὰρ εἰδέναι.
Τίνος μαθητὴς γέγονας; αἵρεσιν τίνα
Εἵλου; ἀπὸ τίνων δογμάτων ὁρμώμενος
Τολμᾷς παρασιτεῖν; εἰ μόλις ἡμεῖς, τὸν βίον
Ἅπαντα κατατρίψαντες, οὐδὲ νῦν ἔτι
Ἀνεῳγμένην δυνάμεθα τὴν θύραν ἰδεῖν,
Διὰ τοὺς ἀνώδυνα τἀλλότρια μασσωμένους.

Οὐ παντὸς ἀνδρὸς ἐπὶ τράπεζαν ἔσθ' ὁ πλοῦς.
Πλευρὰν ἔχειν πρώτιστον ἐν τούτοισι δεῖ,
Πρόσωπον ἰταμὸν, χρῶμα διαμένον, γνάθον
Ἀκάματον, εὐθὺς δυναμένην πληγὰς φέρειν.
Στοιχεῖα μὲν ταῦτ' ἐστὶ τῆς ὅλης τέχνης.
Ἔπειτα δεῖ σκωπτόμενον ἐφ' ἑαυτῷ γελᾷν.
Αἰσχρὸν γὰρ οἶμαι δοῦλον εἶναι σκώμματος.
Ἀπὸ τῶν ἐτῶν κλέπτει τὶς, ἢ καὶ βάπτεται,
Θέλων καλὸς εἶναι, καὶ παρ' ἡλικίαν νοσεῖ;
Ἔστω Γανυμήδης οὗτος ἀποθεούμενος·
Πρὸς χάριν ὁμίλει τοῦ τρέφοντος ἐπ' ὀλέθρῳ.
Παρατάττεταί τις, καὶ ποιεῖ πάντας νεκρούς;
Δειπνῶν σιωπῇ, τοῦτον ὑπομυκτηρίσας,
Εἰς τὴν τράπεζαν καὶ σὺ τὴν χολὴν ἄφες.
Οἶμαι δ' ἐμαυτὸν εὔθετον τῷ πράγματι,
Παῖδες γεγονέναι· πάντα γὰρ πρόσεστί μοι,
Ὅσα περ ἔχειν τἀλλότρια τὸν δειπνοῦντα δεῖ·
Λιμὸς, ἀπόνοια, τόλμα, γαστὴρ, ἀργία.
Καὶ νῦν μ' ὁ Λυδῶν τῶν πολυχρύσων ἄναξ
Σύνδειπνον αὐτῷ κέκρικ' εἶναι καὶ φίλον.

ΤΕΛΟΣ ΤΩΝ ΝΙΚΟΛΑΟΥ ΤΟΥ ΔΑΜΑΣΚΗΝΟΥ.

# ΣΗΜΕΙΩΣΕΙΣ ΕΙΣ ΤΗΝ

# ΑΙΛΙΑΝΟΥ

# ΠΟΙΚΙΛΗΝ ΙΣΤΟΡΙΑΝ.

## ΒΙΒΛΙΟΝ ΠΡΩΤΟΝ.

ΚΕΦ. ϐʹ, ΣΕΛΊΔΙ 1, στίχῳ 12, Ἐργάνης]. Ἐργάνη καὶ Ὀργάνη, ὥς φησιν Ἡσύχιος, ἐκαλεῖτο παρὰ Σαμίοις ἡ Ἀθηνᾶ, ἀπὸ τῶν ἔργων. παραπλησίως Ἔργανα καὶ Ὄργανα εὕρηται παρὰ τῷ αὐτῷ Ἡσυχίῳ, ἅπερ ἡ συνήθεια Ἐργαλεῖα καλεῖ, Ἔργανον ἢ Ἄργανον οὐδετέρως τε καὶ ἰδίως ὀνομάσασα τὸ παρὰ τοῖς Ἰταλοῖς Argano καὶ Arganello, ἐλέγετο δὲ καὶ Ἐργάτις ἡ αὐτὴ Ἀθηνᾶ· τὸ γὰρ ἐν τῷ οὔπω ἐκδοθέντι λεξικῷ Φωτίου οὑτωσὶ γραφόμενον, « Ἐργάνη· Ἀθηνᾶ, παρὰ τὸ τῶν ἔργων ἐπιστατεῖν, ταύτης εὑρα» μένης τὰς τέχνας. ἘΡΓΑΣΊΤΕΡΟΝ καλοῦσι ». διορθούμενοι ἀναγινώσκομεν..... «ἘΡΓΆΤΙΝ ἝΤΕΡΟΙ καλοῦσι ». Ἐτάττετο δὲ ἡ Ἐργάνη οὐσιαστικῶς καὶ ἐπὶ τοῦ δόλου· καὶ γὰρ τὸ παρ' Ἡσυχίῳ, « Ἐργάνη...... ἐργασία, ἐργατικὴ, ΔΌΡΥ, τέχνησις », μεταῤῥυθμιστέον εἶναι εἰς τὸ..... « ΔΌΛΟΣ, « τέχνησις » δηλοῖ μὲν καὶ αὐτὸς Ἡσύχιος, ἐξηγούμενος ἐν ἄλλοις τὸ Τέχνη διὰ τοῦ Δόλος, καὶ τὸ Ἀτεχνῶς, διὰ τοῦ Ἀδόλως, δηλοῖ δὲ καὶ ἡ συνήθεια, Ἔργος (ἀντὶ τοῦ Ἔργον), καὶ Ξεργασίαν (ἀντὶ τοῦ Ἐξεργασίαν) λέγουσα τὸν Δόλον, ἅπερ ἀμφότερα, καλῶς ποιῶν διέσωσεν ὁ Γραικιταλὸς Λεξικογράφος. καὶ τὸ Ξάργου δὲ (ἀντὶ τοῦ Ἐξ ἔργου), τὸ Ἐξεπίτηδες ἢ Ἐκ προνοίας σημαῖνον, τῆς αὐτῆς πως ἐννοίας ἔχεται. — Στ. 13, Αἱ φάλαγγες.] Οἱ ἄλλως λεγόμενοι Ἀράχναι, περὶ ὧν μέτιθι τὸ περὶ Ζώων Ἰδιότητος τοῦ αὐτοῦ τούτου Αἰλιανοῦ (Α, κά)· τὰ δὲ Φαλάγγια, οὐδετέρως καὶ ὑποκοριστικῶς, περὶ ὧν ἐρεῖ καὶ ἐν τοῖς ἑξῆς (Ά, ή, καὶ περὶ Ζώων ἰδιότ. Γ, λϛʹ), εἶδος ἀραχνῶν ἰοβόλων εἰσί. — Στ. 14, Τὸ δὲ ἀράχνιον πάγη.) Οὕτω διορθωσάμενος τὸ χωρίον, ἀντὶ τοῖς παρὰ πᾶσι φερομένης γραφῆς, Τὸ δὲ ἄρα πάγη, ἐνέτυχον ὕστερον τὴν αὐτὴν ἡμῖν εἰκάσαντι διόρθωσιν τινὶ τῶν κριτικῶν (Πρακτ. τῆς ἐν Ῥηνοπεραίᾳ Ἀκαδημ. ἐπιστ. καὶ τεχν. Τόμ. Γ, σελ, 120)· πλὴν ὅτι καὶ τὸν σύνδεσμον ἐκεῖνος φυλάξαι δεῖν ἔγνω, ἀναγινώσκων, Τὸ δὲ ἄρα ἀράχνιον· ἔστι δ' ἐνταῦθα τὸ ἀράχνιον αὐτὸ τῆς ἀράχνης τὸ ὕφασμα· παρ' ὃ δὴ καὶ τὴν ἀράχνην Ἀνυφάντρια καὶ ἀνυφαντοῦν ἡ συνήθεια ἐκάλεσε. σημείωσαι δὲ ὅτι οὐδὲ τὴν Πάγην ἡ αὐτὴ συνήθεια ἠγνόηκε, παγίδα κατονομάσασα, ὅθεν καὶ ῥῆμα ἐσχημάτισε τὸ Παγιδεύω, ἀπ' αὐτῶν ἤδη τῶν Ἑβδομήκοντα ἐν χρήσει

ὄν· ἐπεὶ δὲ ἡ Πάγη, ἢ Παγὶς, ἐξ ὀστῶν ἔσθ' ὅτε γίνεται τῶν καλουμένων Πλευρῶν, καταχρηστικῶς καὶ τὰς Πλευρὰς Παγίδας ὠνόμακε. — Στ. 15, Κύρτος.] Καὶ ἑξαγραμμάτως, Κύρτον, καὶ ἑπταγραμμάτως, Σκύρτον, ἔτι καὶ νῦν ὀνομάζει ἡ συνήθεια, κατὰ τὰ εἰρημένα μοι περὶ τῆς τοῦ σ προσθήκης ἐν ταῖς εἰς τὸν Ἡλιόδωρον σημειώσεσι (σελ. 184). — Στ. 17, Ἐνέπεσεν] Προειλόμην τὴν διόρθωσιν ταύτην τῶν κριτικῶν τῆς παρὰ πᾶσι φερομένης γραφῆς, Ἔπεσεν. — Στ. 19, Ἐκείνῃ δειπνεῖν ἀπόχρη.] Ἐξ ἀντιγράφων ἀντὶ τοῦ, Ἐκείνην κ. τ. λ

ΚΕΦ. γ, ΣΕΛ. 2, στ. 2, Ὕδρῳ] Ὄφει ἀμφιβίῳ, τῷ καὶ Χερσύδρῳ διὰ τοῦτο λεγομένῳ. ἄλλοι δ' ἕτερον εἶναι τοῦ Χερσύδρου τὸν Ὕδρον ἀποδεδώκασι. καλεῖται δὲ καὶ θηλυκῶς Ὕδρα, ἐξ ἧς καὶ ἡ μυθευομένη Ὕδρα, ἡ κατεργασθεῖσα τῷ Ἡρακλεῖ. — Στ. 3, Τρύφος.] Κλάσμα, παρὰ τὸ Θρύπτω, παρ' ὃ καὶ ἡ Τρυφὴ, κλάσις τις οὖσα καὶ αὐτὴ καὶ οἱονεὶ κάταξις τοῦ τρυφῶντος.

ΚΕΦ. δ, σελ. 2, στ. 9. Καὶ ἐκεῖνο δὲ .... σοφόν.] Διέγραψα τὸ κακῶς εἰσφρῆσαν παρὰ τοῖς ἄλλοις ἄρθρον (Τὸ σοφόν)· προσυπακούεται γὰρ τὸ ὑπαρκτικὸν, Ἐστί. — Στ. 13, Πάλιν καὶ πάλιν]. Ἀνεκάλεσα τὴν ἀρχαίαν γραφήν· ἕτεροι δὲ διαγράφουσι τὸ πρῶτον Πάλιν.

ΚΕΦ. έ, σελ. 2, στ. 16, Ἡ ἀλώπηξ ...... ἡ θαλαττία.] Ἰχθὺς οὗτος τοῦ τῶν Γαλεῶν καλουμένων γένους, ὧν ἐστι καὶ ὁ θαλάσσιος κύων, ὃν ἡ συνήθεια Σκυλόψαρον οὐδετέρως ὠνόμασε· τὴν δὲ θαλαττίαν ἀλώπεκα, οἱ νεώτεροι τῆς φυσικῆς ἱστορίας συγγραφεῖς, Γαλεὸν Ἀλωπεκίαν (Squalum Alopeciam) καλοῦσι. — Στ. 17, Δέλεαρ.] Τὸ ἐν τῇ συνηθείᾳ δόλωμα· παρ' ὃ καὶ τὸ Δελεάζω, Δολόνω λέγεται. — Στ. 21, Ὁρμιάν.] Σχοινίον λεπτὸν ἐκ τριχῶν ἱππείων πεπλεγμένον, ὅπερ ἡ συνήθεια κακῶς εἰς τὸ Ἀρμίδι (ἀντὶ τοῦ Ὁρμίδιον) παραπεποίηκεν, ὡς καὶ τὸν Ὁρμαθὸν εἰς τὴν Ἀρμαθιάν. — Πολλάκις δ' οὖν.] Περιττὸς ὁ Δὲ, καὶ πρὸς τῷ περιττῷ ὑποσόλοικος. γραπτέον οὖν ἢ, Πολλάκις οὖν, ὡς ἐν τοῖς πρόσθεν (Α, ά.), ἢ, Πολλάκις γοῦν, ὡς ἐν τοῖς ἑξῆς (Α, ιδ').

ΚΕΦ. ς', ΣΕΛ. 3, στ. 3, Εἰς ἤθη.] Μεταφορικῶς, ἀντὶ τοῦ, εἰς τὰς οἰκήσεις, ἤγουν εἰς τοὺς τόπους ἐν οἷς συνήθως οἰκοῦσι καὶ διατρίβουσι· τὴν αὐτὴν σχεδὸν μεταφορὰν ἐφύλαξε καὶ ἡ τῶν Γερμανῶν φωνὴ ἐν τῷ Gewohnt, ὅπερ καὶ τὸν Οἰκοῦντα καὶ τὸν Εἰωθότα πως σημαίνει. — Στ. 8, Καὶ ἕπεσθαι.] Παρείληφα τὸν σύνδεσμον ἐξ ἑτέρων διορθώσεως.

ΚΕΦ. ζ', σελ. 3, στ. 11, Ὑοσκυάμου.] Τῆς κοινῶς λεγομένης Δαιμοναρέας. ἔοικε δ' οὕτως ὠνομάσθαι διὰ τὸ ἐξιστάναι τῶν φρενῶν τοὺς γευσαμένους, καὶ οἱονεὶ δαιμονᾷν παρασκευάζειν. τὸ δὲ Ὑοσκύαμος παρὰ τὴν γενικὴν Ὑὸς καὶ τὸ Κύαμος, παρ' ὃ καὶ ῥῆμα ἐσχημάτισται τὸ Ὑοσκυαμᾷν, οὐδὲν ἕτερον δηλοῦν ἢ τὸ Μαίνεσθαι.

ΚΕΦ. ή. σελ. 3, στ. 17, Φαλάγγιον.] Εἶδος ἀράχνης, περὶ ἧς ἐν τοῖς πρόσθεν (Α, ϐ'). ἁπάντων δὲ τῶν φαλαγγίων δεινότατον τὸ Ταραντινὸν (Tarantola) οὕτω καλούμενον ἀπὸ τοῦ Τάραντος, Ἰταλικῆς πόλεως. ὀνομάζει δὲ ἡ συνήθεια τὸ φαλάγγιον καὶ προσθήκῃ τοῦ σ Σφαλάγγιον (ἴδ. τὰς εἰς τὸν Ἡλιόδωρ. σημ. σελ. 184)· ἔτι δὲ καὶ Ῥώγαν, καὶ Ῥωγαλίδαν, εἴτε διὰ τὸ ῥαγὶ σταφυλῆς προσεοικένα·, ὡς ἀλλαχοῦ (περὶ ζώων ἰδιότ. Γ,

λϛ') εἰκάζει αὐτὸς Αἰλιανὸς, εἴτε καὶ ἄλλως· τὴν γὰρ παρὰ τοῖς Ἀττικοῖς Ῥᾶγα (παρὰ τὴν Ῥὰξ εὐθεῖαν) οἱ μὴ Ἀττικίζοντες Ῥῶγα (παρὰ τὴν Ῥὼξ) ἔλεγον, ἐπί τε τῆς σταφυλῆς καὶ τοῦ φαλαγγίου χρώμενοι τῇ λέξει. —Στ. 13, Διὰ ταχέων.] Οὕτω γραπτέον, καὶ οὐχ ὑφ' ἕν, Διαταχέων, ὡς οἱ πρὸ ἡμῶν.

ΚΕΦ. θ', ΣΕΛ. 4, στ. 1, Φάρμακον δέ ἐστιν κ. τ. λ.] Πολλὰ τοιαῦτα μυθώδη ἐν τῇ Ποικίλῃ ἱστορίᾳ, καὶ μακρῷ τούτων πλείω τε καὶ μυθωδέστερα, ἐν τῷ περὶ ζώων ἰδιότητος, συνείλοχεν ὁ καλὸς Αἰλιανός.

ΚΕΦ. ί, σελ. 4, στ. 6, Ὅλα ἐκείναις τὰ βέλη.] Ἔτρεψα τὸ Ἐκείνας εἰς τὸ Ἐκείναις (ἤγουν Ταῖς αἰξὶν), ἐξ ἑτέρων διορθώσεως (Πρακτ. τῆς ἐν Ῥηνοπερ. Ακαδ. ἐπιστ. καὶ τεχν. Τομ. Γ, σελ. 121).

ΚΕΦ. ιά, σελ. 4, στ. 7, Μαντικώτατοι τῶν ζώων.] Ἐξ ἀντιγράφου, ἀντὶ τοῦ παρὰ τοῖς ἄλλοις, Μαντικωτάτων ζώων. — Στ. 9, Μυωπίας.] Μυῶν ὀπὰς, ἃς ἡ συνήθεια Ποντικοφωλέας ὀνομάζει. — Στ. 10, Ἀποδιδράσκουσι.] Μέτιθι ἅπερ ἐν ἄλλοις (Περὶ ζώων ἰδιότ. ΙΑ, ιθ') ἱστόρηκε περὶ τῶν τοιούτων δρασμῶν.

ΚΕΦ. ιβ', σελ. 4, στ. 14, Ἀποταμειώσασθαι.] Παρακμάζοντος Ἑλληνισμοῦ ἡ λέξις· πλὴν εἰ μή τις γραφικῶς ἡμαρτῆσθαι οἴοιτο ἀντὶ τοῦ Ἀποταμιεύσασθαι.

ΚΕΦ. ιγ', σελ. 4, στ. 16, Γέλων.] Ἤκμασεν οὗτος ἐπὶ τῶν Περσικῶν, πεντακοσίοις σχεδὸν ἔτεσι πρὸ Χριστοῦ.

ΚΕΦ. ιδ', ΣΕΛ. 5, στ. 10, Ἀμύνεσθαι.] Ἔτρεψα τὸ ἀόριστον Ἀμύνασθαι εἰς τὸ παρατεταμένον Ἀμύνεσθαι, καίπερ ἀορίστως ἐξενεγκόντος τοῦ Αἰλιανοῦ κἀν τῷ περὶ ζώων ἰδιότητος (ΙΖ, κδ)· ἐκεῖ μὲν γὰρ ὀρθῶς ἔχει ὁ ἀόριστος διὰ τὸ προηγησάμενον Ὥσε· ἐνταῦθα δ' οὐκ ἔρρωται. — Ἄρχειν ἀδίκων ] Ἐλλειπτικῶς τοῦ Ἔργων, ἢ Χειρῶν. — Στ. 12, Πεπίστευται δ' οὖν. ] Προσέθηκα τὸν, Δὲ, σύνδεσμον, ἵν' ᾖ ἐναντιωματικὸν τὸ Δ' οὖν πρὸς τοὺς μὴ ἀκούσαντας ᾄδοντος κύκνου· ὅπερ ἐξέφρασε διὰ τοῦ Tamen καὶ ὁ Λατῖνος μεταφραστής. — Στ. 13, Καὶ λέγουσί γε]. Τὸ ἑξῆς, Καὶ λέγουσί γε αὐτὸν εἶναι εὐφωνότατόν τε καὶ ᾠδικώτατον, ἐκεῖνον μάλιστα τὸν χρόνον, ὅταν κ.τ.λ. καὶ ὅτι μὲν οὐδὲν ἄλλ' ἢ μῦθός ἐστι τὰ τοῖς ἀρχαίοις παραδοθέντα καὶ πιστευθέντα περὶ τῆς εὐφωνίας τοῦ κύκνου, ἴσασιν οἱ τῇ φυσικῇ ἱστορίᾳ ἀκριβέστερον ἐπιστήσαντες· μῦθός γε μὴν, ἥ φησιν ὁ Γαλλιστὶ περὶ ζώων ἰδιότητος συγγράψας Βυφὼν, πολλὰς ἀληθείας ὑπερβάλλων ἡδύτητι.

ΚΕΦ. ιέ, Σελ. 5, στ. 19, Δι' ἄρα τοῦτο] Διά γε τοῦτο, τουτέστι διὰ τὸ τοῦ ἄρρενος ἔμπτυσμα· ἰσοδυναμεῖν γὰρ ἐνταῦθα τὸν Ἄρα τῷ Γὲ, δῆλον καὶ ἐκ τοῦ συνάπτεσθαι πολλάκις αὐτῷ, οὐ μόνον ἀπορηματικῶς, ὡς ἐν τῷ ἐρωτηματικῷ Ἄρά γε, ἀλλὰ καὶ συλλογιστικῶς, ὡς ἐν τῷ (Ἰλιάδ. Α, 93),

Οὔτ' ἈΡ' ὁ Γ' εὐχωλῆς ἐπιμέμφεται . . . . .

ΣΕΛ. 6, στ. 8, Καλλιμάχῳ.] Τὸν ποιητὴν Καλλίμαχον λέγει, τὸν ἐπὶ τοῦ Πτολεμαίου τοῦ Φιλαδέλφου ἀκμάσαντα, οὗ καὶ ἐν τῷ περὶ ζώων ἰδιότητος μέμνηται. ἔγραψε δὲ οὗτος παρὰ τὰ σωζόμενα ποιήματα, καὶ ἄλλα πάμ-

πολλα, ὥς φησι Σουΐδας, ἐμμέτρως τε καὶ καταλογάδην, ἐν οἷς καὶ Περὶ ὀρνέων. — Πυραλλίδα.] Εἶδος ἀγρίας περιστερᾶς. — Στ. 10, Μηλίνας.] Ἃς ἐνταῦθα Μηλίνας, ἐν τῷ περὶ ζώων ἰδιότητος (ΙΕ, ιδ) Ὠχρὰς περιστερὰς καλεῖ. — Χάρων.] Ἤκμασεν οὗτος ἐπὶ τῶν Περσικῶν, περὶ οὗ ἔπιθι τὰ βιογραφηθέντα τῷ Σουΐδᾳ. — Στ. 13, Ἔρυκι.] Πόλις Σικελίας ὁ Ἔρυξ, Τρώων ἄποικος, ἥ φησι Θουκυδίδης (ς, β′ καὶ μς′). ἔστι δὲ καὶ ὄρος ὁμώνυμον ἐν τῇ αὐτῇ νήσῳ. καὶ σημείωσαι, ὅτι ἐνταῦθα μὲν Ἔρυκα ὠνόμασεν ἀρσενικῶς τὴν πόλιν, ἐν δὲ τῷ περὶ ζώων ἰδιότητος (Ι, ν′.) Ἐρύκην αὐτὴν θηλυκῶς ἐξήνεγκεν, ὡς καὶ ὁ Ῥωμαϊκὸς συγγραφεὺς Τίτος Λίβιος. — Στ. 22, ἐν Αἰγίῳ.] — Μία τῶν δώδεκα πόλεων, ἐξ ὧν συνεκροτεῖτο ἡ τῶν ἐν Πελοποννήσῳ Ἀχαιῶν δημοκρατία, ὡς ἱστορεῖ Πολύβιος (Β, μά).

ΚΕΦ. ις′, Σελ. 6, στ. 26, Εὐήτριον.] Εὐυφὲς, τουτέστι καλῶς ὑφασμένον, παρὰ τὸ Ἤτριον, ὅπερ ἐδήλου τὸν Στήμονα, ἤγουν τὸ ἐν τῇ συνηθείᾳ Στημόνιον. — Στ. 27, Περιβαλόμενον.] Ἔτρεψα τὸν σόλοικον ἐνεστῶτα, Περιβαλλόμενον, εἰς τὸν ἀόριστον. — Στ. 29, καὶ γὰρ οὖν κ. τ. λ.] Οὐκ ὀλίγα παρέσχε τοῖς κριτικοῖς πράγματα τουτὶ τὸ χωρίον, ὑπειληφόσι περὶ τοῦ Σωκράτους μόνου νεκροῦ εἶναι τὸν λόγον, καὶ διὰ τοῦτο τὸ Προκεῖσθαι εἰς τὸ Προκείσεσθαι μεταβλητέον εἶναι κακῶς οἰηθεῖσιν. ὁ νοῦς, Καὶ γὰρ οὖν ὁ κεκοσμημένος νεκρὸς (ὅστις ποτ' ἂν ᾖ) ἐνδόξως πρόκειται, τουτέστιν, ἐνδοξότερος φαίνεται τοῦ μὴ ἔχοντος κόσμον νεκροῦ. — Στ. 30, Ταῦτα τὸν Σωκράτην.] Ἐλλειπτικῶς τῆς Πρός· πλὴν εἰ μή τις ἀπὸ κοινοῦ βούλοιτο προσυπακούειν τὸ ἀνωτέρω Ἠξίου. — ΣΕΛ. 7, στ. 3, Εἴγε αὐτό.] Ἐν ἑτέροις γράφεται, Εἴγε αὐτός· ἔστι δ' ἐν οἷς τῶν ἀντιγράφων καὶ Αὐτῷ εὕρηται. γραπτέον, Εἴγε τοῦτο, ἵνα τὴν ἀναφορὰν ἔχῃ πρὸς τὸ ἐπαγόμενον Ὅτι, ἢ γοῦν, Εἴγε αὔτως, ἐπιῤῥηματικῶς, ὃ ταυτὸν δύναται τῷ Εἴγε ματαίως (ἴδ. Ἐτυμολογ. σελ. 172). — Στ. 4, Φιλοτησίαν.] Εἰρωνικῶς Φιλοτησίαν, τὴν τοῦ Φαρμάκου πόσιν· ἔλεγον γὰρ Φιλοτησίαν προπίνειν, ἡνίκα τις ἀπὸ τῆς φιάλης πιὼν μέρος, τὸ λοιπὸν παρεῖχε φίλῳ, ἅμα καὶ τὴν φιάλην χαριζόμενος. Φιλοτησίας δὲ ἀπείκασμά τι καὶ ἴχνος φαίη τις ἂν καὶ τὸ συνήθως παρ' ἡμῖν ἔτι καὶ νῦν ἐν ταῖς προπόσεσιν ὑπὸ τοῦ προπίνοντος λεγόμενον, Καλῶς νὰ σ' εὕρω! πρὸς ὃν ὁ ὑποδεχόμενος ἀποκρίνεται, Καλῶς νὰ ὁρίσῃς!

ΚΕΦ. ιζ′, σελ. 7, στ. 8. Μυρμηκίδου τοῦ Μιλησίου.] Τουτον Γαληνὸς (Προτρεπτ. σελ. 3) Ἀθηναῖον οὐ Μιλήσιον λέγει· μέμνηται δ' αὐτοῦ καὶ Πλούταρχος, καὶ Πλίνιος, καὶ ἄλλοι, ὡς καὶ τοῦ Καλλικράτους. — Στ. 12, Οὐδέτερον ἐπαινέσεται.] Ἐπιπλήξει μὲν οὖν δεινῶς τοῖς τὸν χρόνον εἰς ματαίους πόνους καταναλίσκουσι.

ΚΕΦ. ιή, σελ. 7, στ. 14, Αἱ παλαιαὶ τῶν γυναικῶν.] Ἐξ ἑτέρων διορθώσεως, ἀντὶ τῆς γραφῆς, Αἱ πολλαὶ τῶν ποτὲ γυναικῶν, καὶ ἑτέρας ἀρχαιοτέρας, Αἱ πολλαὶ τῶν γυναικῶν. εὕρηται καὶ ἄλλη γραφή, Αἱ πολλαὶ τῶν τότε γυναικῶν· εἰσὶ δ' οἳ καὶ, Αἱ πολλαὶ τῶν πάλαι γυναικῶν, γραπτέον εἶναι ᾠήθησαν. ἣν δὲ παρείληφα διόρθωσιν, πιστοῦσθαι ἔοικεν αὐτός τε Αἰλιανὸς διὰ τῶν ἑξῆς, καὶ ὁ Εὐστάθιος ἐν τῷ Ε τῆς Ἰλιάδος. — Στ. 15, Στεφάνην.] «Στεφάνη . . . εἶδος περικεφαλαίας, ἐξοχὰς ἐχούσης· καὶ κόσμος «γυναικεῖος» φησὶν Ἡσύχιος. μνημονεύει δὲ καὶ Ὅμηρος (Ἰλιάδ. Σ, 597)

Καί ῥ' αἱ μὲν καλὰς στεφάνας ἔχον. . . . .

Στ. 18, Περόναις.] Ταῖς καὶ Πόρπαις λεγομέναις· ἦσαν δὲ ῥαφίδες, ἃς διείροντες εἰς ὀπὰς συνέστελλον τὰ ἀναπεπταμένα τοῦ ἱματίου. — Στ. 21. Ἀριστοφάνης]. Ὁ κωμικὸς δηλονότι, ὃς οὕτω που λεγούσας παράγει τὰς τῶν Ἀθηναίων γυναῖκας περὶ ἑαυτῶν (Λυσιστρ. 43).

. . . . . . . . Αἳ καθήμεθ' ἐξηνθισμέναι,
Κροκωτὰ φοροῦσαι, καὶ κεκαλλωπισμέναι,
Καὶ Κιμβερίκ' ὀρθοστάδια, καὶ περιβαρίδας.

καὶ ἄλλα δὲ πάμπολλα γυναικείου κόσμου ὀνόματα ἐξ αὐτοῦ τε τούτου τοῦ Ἀριστοφάνους καὶ ἄλλων κωμικῶν εὑρήσεις παρὰ τῷ Πολυδεύκει.

ΚΕΦ. ιθ', ΣΕΛ. 8, στ. 2, Διὰ τὴν πάνυ τρυφὴν ἀπολέσθαι.] Τὰ αὐτά φησι καὶ Ἀθήναιος (ΙΒ, σελ. 526) περί τε τῆς τρυφῆς καὶ τῆς ἀπωλείας τῶν Κολοφωνίων· ἐδουλώθησαν δὲ ὑπὸ Λυδῶν, ὧν καὶ τὴν τρυφὴν ἐμεμίμηντο. Στ. 5 Βακχιαδῶν.] Ἐδιφθογγογραφεῖτο τοῖς πρὸ ἡμῶν ἡ τρίτη ἀπὸ τέλους. ἡμεῖς μέντοι προειλόμεθα τὴν συνηθεστέραν γραφήν· καὶ γὰρ καὶ Ἡρόδοτος, καὶ Ἡρακλείδης, καὶ ἄλλοι, Βακχιάδας καὶ οὐ Βακχειάδας ὠνομάκασι τούτους. — Στ. 7, Κατελύθη.] Ὑπὸ Κυψέλου, ὥς φησιν Ἡρόδοτος (Ε, ϙβ')· διώκουν δὲ τὴν Κόρινθον οἱ Βακχιάδαι ὀλιγαρχικῶς, ἀναφέροντες τὸ γένος εἰς Βάκχιν τὸν Προύμνιδος (Παυσαν. σελ. 120).

ΚΕΦ. κ'. σελ. 8, στ. 11, Δημιουργῶν.] Τῶν τεχνιτῶν, ἐνταῦθα. Δημιουργοὺς δὲ προσέτι ἐκάλουν καὶ τοὺς τὰ πέμματα καὶ τοὺς πλακοῦντας σκευάζοντας (Ἀθήν. σελ. 172), οἷοί εἰσιν οἱ παρὰ τοῖς Ἰταλοῖς καλούμενοι Pasticcieri. — Στ. 14 Τροιζηνίους]. Ἴσως γραπτέον Τυῤῥηνίους, ὡς ᾠήθησάν τινες· καὶ γὰρ Ἀριστοτέλης, αὐτὰ ταῦτα περὶ Διονυσίου ἱςορῶν (Οἰκονομ. Β), εἰς Τυῤῥηνίαν αὐτὸν πλεύσαντά φησι ναυσὶν ἑκατὸν, λαβεῖν ἐκ τοῦ τῆς Λευκοθέας ἱεροῦ χρυσίον τε καὶ ἀργύριον πολὺ, καὶ τὸν ἄλλον κόσμον οὐκ ὀλίγον· ἡ δὲ Λευκοθέα ἡ Ἰνώ ἐστιν οὕτως ἐπονομασθεῖσα ὑπὸ τῶν Μεγαρέων (Παυσαν. σελ. 102) — Στ. 17, Ἀγαθοῦ δαίμονος . . . . πρόποσιν.] Εἰρωνευόμενος ταῦτα καὶ ὑβρίζων εἰς τὸν θεὸν ὁ Διονύσιος· αἰνίττεται γὰρ τὸν μετὰ τὸ δεῖπνον ἄκρατον, ὃν τῆς τραπέζης ἀρθείσης ἐπιῤῥοφεῖν οἱ παλαιοὶ εἰώθεσαν, καὶ Ἀγαθοῦ δαίμονος πόσιν ἐκάλουν.

ΚΕΦ. κά, σελ. 8, στ. 21, Πρὸς βασιλέα τῶν Περσῶν.] Ἦν οὗτος Ἀρταξέρξης ὁ ἐπικληθεὶς Μνήμων, πρὸς ὃν ἐπρέσβευσεν Ἰσμηνίας μετὰ τὰ Λευκτρικά. — Ἐβούλετο δὲ αὐτὸς κ. τ. λ.] Τουτέςιν αὐτὸς δι' ἑαυτοῦ, καὶ μὴ δι' ἑτέρου. σημειωτέον δὲ τοῦτο διὰ τὴν συνήθειαν, ἣ ταυτὸ τοῦτο δηλῶσαι βουλομένη ὑπεξαιρεῖ τὸ ῦ, Ἀτός του, λέγουσα, τοιοῦτόν τι πάθος προσάψασα τῇ λέξει, οἷόν ἐστι παρὰ τοῖς ἀρχαίοις τὸ περὶ τὸν Ἀτὰρ σύνδεσμον· συγγενὴς γὰρ κἀκεῖνος προδήλως καὶ συνώνυμος πέφυκε τῷ Αὐτάρ. Στ. 23, Ὁ καὶ τὰς ἀγγελίας εἰσκομίζων.] Ὁ καὶ διὰ τοῦτο λεγόμενος Εἰσαγγελεὺς ἢ Εἰσαγωγεὺς, περὶ οὗ ἔπιθι τὰ εἰς τὸν Ἡλιόδωρον σημειωθέντα μοι (σελ. 348). ὠνόμαζον δὲ τοὺς Εἰσαγγελέας οἱ Πέρσαι Ἀζαραπατεῖς, καθ' Ἡσύχιον· δύναται δ', ὥς φασί τινες, τοὔνομα, Θυρανοῖκται.

Στ. 25, Περσίζων]. Περσιστὶ λαλῶν. εἰς τοῦτο δεῖν ἔγνων μεταβαλεῖν τὴν παρὰ πᾶσιν ἀδιανόητον γραφὴν, Παίζων· περὶ ἧς ἔπιθι καὶ τὰς εἰς τὸν Ἡλιόδωρον σημειώσεις (σελ. 277)· κἀκεῖ μὲν ᾤμην αὐτὸς πρῶτος διορθωκέναι τὸ χωρίον τουτί· εἶτα μέντοι καὶ τὸν σχολιάσαντα τὸ τοῦ Γρηγορίου περὶ διαλέκτων τὴν αὐτὴν εὗρον διόρθωσιν προεικάσαντα. — ΣΕΛ. 9, στ. 3, Δι' ἑαυτοῦ.] Ἐξ ἀντιγράφου, ὡς Ἀττικώτερον τῆς προτέρας γραφῆς, Διὰ σαυτοῦ. — Στ. 10, Δόξαν μὲν ἀπέστειλε.] Τὸ καινῶς εἰρημένον τοῦτο, ἀντὶ τοῦ μᾶλλον ἐν χρήσει, Δόξαν παρέσχε (ᾧπερ ἐχρήσατο Πλούταρχος, αὐτὸ τοῦτο τὸ καθ' Ἰσμηνίαν ἱστορῶν, ἐν Ἀρτοξ. §. 22), διαφόρως διορθοῦν ἐπεχείρησαν οἱ κριτικοί· ἐπεὶ μέντοι καὶ ἐν τῷ περὶ ζώων ἰδιότητος (Α. ιέ) ἐχρήσατο τῇ φράσει ὁ Αἰλιανὸς, ἐᾶν ἄμεινον κατὰ χώραν τὴν γραφὴν, ὡς παρακμάζοντος Ἑλληνισμοῦ ἀδρανές τι καὶ ὑπηνέμιον ἀποκύημα.

ΚΕΦ. κϐ', σελ. 9, στ. 16, Ἐπισήμου.] Ἐπίσημον ἀργύριον τὸ κεχαραγμένον λέγεται, καὶ Ἄσημον τὸ μὴ κεχαραγμένον· ἐκ τούτου ἡ συνήθεια καταχρηστικῶς, Ἀσήμιον, ὀνομάζει τὸν ἄργυρον. — Στ. 17, Ταλαντιαῖαι δὲ φιάλαι.] Ἐξ ἑτέρων διορθώσεως, ἀντὶ τοῦ, Τάλαντα δὲ φιάλαι. ὁ νοῦς, Φιάλαι δύο, ὧν ἑκάστη τάλαντον εἷλκε· τὸ δὲ Τάλαντον, ὁ σταθμὸς, ὁμοῦ τι δύο πρὸς ταῖς πεντήκοντα λίτρας ἠδύνατο Γαλατικάς. — Στ. 18, Δύο καὶ ἑϐδομήκοντα μνᾶς Ἀττικάς.] Τὸ γὰρ Ἀττικὸν τάλαντον μνᾶς εἶχεν ἑξήκοντα, εἴτουν λίτρας Γαλατικὰς τετρακοσίας πρὸς ταῖς πεντακισχιλίαις ἀργυρίου. ἦν ἄρα τὸ Βαϐυλώνιον τάλαντον ἴσον Ἀττικῷ ταλάντῳ ἑνὶ, καὶ πέμπτῳ ταλάντου. — Στ. 19, Ἀκινάκην.] Περσικὴ λέξις, ἢ καὶ Κάνακις γράφεται παρ' Ἡσυχίῳ· καὶ οὐκ ἀλόγως ὁ Βοχάρτος τὴν αὐτὴν εἶναι βούλεται τῷ παρὰ τοῖς Τούρκοις νῦν λεγομένῳ Χαντζάρ. — Στρεπτόν.] Περιτραχήλιος ὅρμος ὁ Στρεπτός. — Δαρεικῶν.] Εἶδος χρυσοῦ Περσικοῦ νομίσματος ὁ Δαρεικὸς, ἀπὸ Δαρείου, καθὰ καὶ οἱ παρὰ τοῖς Ἱσπανοῖς Φίλιπποι, καὶ οἱ παρὰ τοῖς Γάλλοις Λοδοϐίκοι· ἠδύνατο δ' ἕκαστος τῶν Δαρεικῶν Ἀττικὰς εἴκοσι μνᾶς ἀργυρᾶς.

ΚΕΦ. κγ', σελ. 9, στ. 22, Διέπρεπε.] Ἤγουν μακρῷ ἐδόκει τοῖς μὴ κρίνειν ὀρθῶς εἰδόσιν ὑπερϐάλλειν Γοργίας ὁ Λεοντῖνος σοφιστὴς Φιλόλαον τὸν ἐκ Κρότωνος Πυθαγορικὸν φιλόσοφον καὶ Πρωταγόρας, ὁ Ἀϐδηρίτης σοφιστὴς, τὸν πολίτην αὐτοῦ Δημόκριτον τὸν φιλόσοφον· ἤκμασαν δ' οὗτοι πάντες κατὰ τὸν Πελοποννησιακὸν πόλεμον.

ΚΕΦ. κδ', ΣΕΛ. 10, στ. 8, Καύκωνος.] Ἐνδέχεται μὲν ἄλλοις ἄλλως γενεαλογηθῆναι τὸν Καύκωνα· Ἀπολλοδώρῳ μὲν γὰρ (Γ, ή) Λυκάωνος βασιλέως Ἀρκαδίας γενέσθαι λέγεται ὁ Καύκων, Παυσανίας δὲ (Δ, ά.) Καύκωνα τὸν Κελαινοῦ τοῦ Φλυοῦ ἐξ Ἐλευσῖνος εἰς Μεσσήνην κομίσαι τὰ τῶν μεγάλων θεῶν ὄργια φησίν· ἐνδέχεται δὲ καὶ τρεῖς τούτους Καύκωνας, ἄλλον ἄλλοτε βασιλεύσαντας ἐν Πελοποννήσῳ γενέσθαι, καθὰ δηλοῦσι καὶ οἱ παρωνύμως ἀπ' αὐτῶν κληθέντες Καύκωνες. καὶ τούτους γὰρ οἱ μὲν περὶ τὸ τῆς Τριφυλίας Λέπρεον πρὸς τῇ Μεσσηνίᾳ κατῳκῆσαί φασιν, ὅθεν καὶ τάφος ἐν Λεπρέῳ Καύκωνος ἐδείκνυτο (Παυσαν. Ε, έ, και Στράϐ, σελ. 345), καὶ Καύκωνες οἱ Λεπρεᾶται τὸ πάλαι ὠνομάσθησαν (Ἡσυχ. λεξ. Λεπρεᾶται)· οἱ δὲ,

περὶ

περὶ Δύμην, καὶ Ἦλιν, καὶ ποταμὸν οὕτω κληθέντα Καύκωνα· εἰσὶ δὲ οἱ καὶ τὴν Ἠλείαν ὅλην ἀπὸ Μεσσηνίας μέχρι Δύμης Καυκωνίαν τὸ πάλαι λέγεσθαι, ὡς κατεσχημένην ὑπὸ Καυκώνων, ἰσχυρίζονται. ὅτι δ' Ἀρκαδικὸν ἦσαν οἱ Καύκωνες τὴν ἀρχὴν ἔθνος, αἰνίττεται μὲν ὁ Ἀπολλόδωρος, βασιλέως Ἀρκαδίας γενέσθαι λέγων τὸν Καύκωνα, διαῤῥήδην δὲ λέγει ὁ Στράβων, προστιθεὶς ὅτι καὶ πλανητικὸν, καθάπερ τὸ Πελασγικόν· τεκμήριον δὲ, καὶ γὰρ καὶ περὶ τὴν Παφλαγονίαν Καύκωνες ἦσαν κατοικοῦντες, ὧν ἐμνημόνευσεν Ὅμηρος (Ἰλιάδ. Κ, 429, καὶ Υ, 329), καθὰ καὶ τῶν ἐν Πελοποννήσῳ (Ὀδυσ. Γ, 366). τούτοις προςτίθημι ὅτι καὶ οἱ ἐν τῇ συνηθείᾳ λεγόμενοι Τζάκωνες, καὶ ἡ Τζακωνία, τοὺς Πελοποννησιακοὺς παρεμφαίνουσι Καύκωνας, κατασχόντας ἴσως τὸ πάλαι καὶ μέρος τῆς Λακωνικῆς, ἢ καὶ μεταδόντας τῆς κλήσεως διὰ τὴν γειτνίασιν.

ΚΕΦ. κέ, σελ. 10, στ. 23, Κίος κ. τ. λ.] Βιθυνίας πόλις ἡ Κίος· ἡ δὲ Ἐλαία τῆς Αἰολίδος ἐστὶ, ὡς τὰ Μύλασα, τῆς Καρίας, καὶ τὰ Πάταρα, ἢ θηλυκῶς, ἡ Πατάρα, τῆς Λυκίας. — Στ. 26, προσέμενος.] Ἐξ ἀντιγράφων, ἀντὶ τοῦ, Προσιέμενος. — ΣΕΛ. 11 στ, 2, Ἄκρᾳ] Ἀκροπόλει. — Στ. 4, Ἴμβριον.] Οὕτω διωρθωμένην ὑπ' ἄλλων ἐκ τοῦ Πλουτάρχου (Φωκίων §. 18) τὴν γραφὴν κατεχωρίσαμεν εἰς τὸ κείμενον (ἀντὶ τοῦ Ἰμεραῖον), προσειληφότες καὶ τὰ ἐχόμενα, Καὶ Σπάρτωνα.

ΚΕΦ. κϛ, Σελ. 11, στ. 7, Ἀγλαΐδα κ. τ. λ.] Ἐξ Ἀθηναίου (σελ. 415) εἴληπται τὰ περὶ Ἀγλαΐδος. αἱ δώδεκα μναῖ, ἰσόσταθμοι σχεδόν τί εἰσι Γαλατικαῖς λίτραις ἑπτακαίδεκα· αἱ τέσσαρες χοίνικες, λίτραις ἕξ, ὁ Χοῦς, τέσσαρσι, καὶ ἡμίσει λίτρας· τούτου δὲ τὴν αἰτιατικὴν περισπῶσιν οἱ Ἀττικοὶ, Χοᾶ, λέγοντες.

ΚΕΦ. κζ', σελ. 11, στ. 11, Ἀδδηφάγους.] Καὶ ταῦτα ἐκ τοῦ Ἀθηναίου (σελ. 415 καὶ 416). — Λιτυέρσαν κ. τ. λ,] Οὕτω διορθωσάντων ἑτέρων οὐκ ὤκνησα καταχωρίσαι εἰς το κείμενον, καθὰ καὶ τὸν ἑξῆς Χαρίδαν (ὃν Ἀθήναιος Χειρίλαν ὀνομάζει) εἰς τὸν παρὰ τῷ Εὐσταθίῳ Χαρίλαν (ὅπερ ἐστὶ Χαρίλαον) ἔτρεψα.

ΚΕΦ. κθ', Σελ. 12, στ. 6, Νικίππου.] Διορθοῦσί τινες, Νικίου· Νικίαν γὰρ καὶ οὐ Νίκιππον ὀνομάζει Στράβων τὸν τυραννήσαντα Κώων. — Στ. 8, Καὶ οὖν τό.] Ἐν ἄλλοις γράφεται, Καὶ οὖν καὶ τό.

ΚΕΦ. λ', σελ. 12, στ, 18, Ἐπὶ Ἵππῳ.] Γραπτέον Ἐφ' ἵππων· καθὰ διορθοῦσθαί τινες ἐβουλήθησαν. — Στ. 21, Κἀγαθοί.] Ἑτέρων διορθωσάντων (ἀντὶ τοῦ Καὶ ἀγαθοὶ), ἵν' ἦ ἰαμβεῖον· ὅπερ εἰκὸς τὸν Αἰλιανὸν ἔκ τινος ποιητοῦ παρειληφέναι. — Στ. 24, τῷ φίλτρῳ. [Ἐξ ἀντιγράφων, ἀντὶ τοῦ, Τὸ φίλτρον.

ΚΕΦ. λά, ΣΕΛ. 13, στ. 3, Ἄτε δή.] Ἄμεινον γράφειν, Ἅτε δὲ, καθὰ καὶ ἐν τοῖς ἑξῆς (Γ, ιδ) — Ὑβρισμένων.] ὑπερηφάνων, ὑβριστικῶς πολυτελῶν· οὕτω γὰρ καὶ Εὐριπίδης (Φοινίσ. 1118) εἴρηκεν,

. ; , . . . . Οὐ σημεῖ' ἔχων
Ὑβρισμέν', ἀλλὰ σωφρόνως ἄσημ' ὅπλα.

Στ. 10, Τρωκτά.] Πάντα τὰ ὠμὰ ἐσθιόμενα, ἐξαιρέτως δὲ οἱ καρποὶ τῶν δένδρων, ἃ καὶ Τρωγάλια λέγεται (ἔπιθι τὰς εἰς τὸν Ἡλιόδωρ. σημ. σελ. 87).

ΚΕΦ. λϐ', σελ. 13, στ. 14, Ἀπολειφθέντα.] Μακρὰν ἀποπλανηθέντα τῆς ἰδίας ἐπαύλεως· ἴσως δ' ἄμεινον γράφειν, Ἀποληφθέντα, τουτέστι περικυκλωθέντα ὑπὸ τῶν βασιλικῶν, καὶ οἷον ἀποχωρισθέντα τῆς ἰδίας ἐπαύλεως. Στ. 16, Ὅ,τι χρήσεται.] Ἄμεινον γράφειν, Ὅ,τι χρήσαιτο. — Στ. 23, Καὶ τὸ κατ' ἐμέ.] Ἐξαλειπτέα εἶναι ταῦθ' ἡγήσαντό τινες· ὀρθῶς μὲν, εἴγε περί τινος τῶν δοκίμων συγγραφέων ὑπῆρχεν ὁ λόγος· οὐκ ὀρθῶς δὲ περὶ τοῦ Αἰλιανοῦ, ὃς ἐπτόηται δεινῶς περὶ τοὺς τοιούτους πλεονασμούς. — Στ. 25, Ὡς ἂν μάλιστα.] Ἐξ ἀντιγράφων, ἀντὶ τοῦ, Ὡς ἔνι μάλιστα· ἀλλ' οὐδ' οὕτω θεραπευθήσεται οὔθ' αὕτη, οὔθ' ἡ τοῦ ἑξῆς, Γενοίμην, γραφή· ὤφειλε γὰρ εἶναι, Γενήσομαι διὰ τὸ προηγησάμενον, Τιμήσω.

ΚΕΦ. λγ', ΣΕΛ. 14, στ. 17, Λίκνου] Κανοῦν ἐνταῦθα σημαίνει, τὸ ἰδιωτικῶς λεγόμενον Κανίστριον. — Ὠμίσης] Οὕτω διωρθώκασιν ἐκ τοῦ Πλουτάρχου (Ἀρτοξ §. 4) ἀντὶ τοῦ, Ὁ Μίσης. — Στ. 18, τὴν Περσίδα.] Ἄμεινον γράφειν μετὰ τῆς προθέσεως, Εἰς τὴν Περσίδα. — Στ. 22, Νὴ τὸν Μίθραν.] Ἔπιθι τὰς εἰς τὸν Ἡλιόδωρον σημειώσεις (σελ. 149).

ΚΕΦ. λδ', ΣΕΛ. 15, στ. 3, Τοὺς Μάγους εἰργάζετο.] Γράφε, Τοὺς ἄλλους εἰργάζετο, ἤγουν τοὺς ἄλλους παῖδας, τοὺς ἑαυτοῦ ἀδελφούς· οὕτω διορθοῦν δεῖν ᾠήθησαν, ἀντὶ τοῦ κακῶς γραφομένου, Τοὺς Μάγους εἰργάζετο. — Στ. 8, Τετόλμηται.] — Τρεπτέον τὸν σολοικον παρακείμενον εἰς τὸν ὑπερσυντελικὸν, Τετόλμητο. — Στ, 16 Θριδακινῶν.] Θριδακίνην Ἀττικοὶ καλοῦσιν ἣν οἱ λοιποὶ Θρίδακα· σημαίνει δὲ τὸ ἐν τῇ συνηθείᾳ λεγόμενον Μαρούλιον, ἢ ὡς εὕρηται παρὰ τῷ Σουΐδα (λεξ. Θρίδαξ) Μαϊούλιον· ἴσως διὰ τὸ ἀπὸ Μαΐου μέχρι Ἰουλίου μηνὸς ἀκμάζειν μάλιστα τὰς θρίδακας. — Στ. 19, Ἀλλὰ καὶ ἐγώ.] Οὕτω διώρθωκα τὸ παρὰ πᾶσιν ἀδιανόητον, Ἅμα καὶ ἐγώ. — Στ. 22, Συνέσομαι.] Διορθοῦσθαι ἐπεχείρησάν τινες, ἴσως οὐκ ἀλόγως, Συνήσομαι, παρὰ τὸ, Συνήδομαι.

## ΒΙΒΛΙΟΝ ΔΕΥΤΕΡΟΝ.

ΚΕΦ. ϐ', ΣΕΛ. 16, στ. 13, Μεγαβύζου.] Οὐ πάνυ τι δῆλον πότερον κυρίως, ἢ προσηγορικῶς ἐκδεκτέον τὸν Μεγάβυζον· καὶ εἰ προσηγορικῶς, πότερον ἱερέα τῆς Ἀρτέμιδος τῆς ἐν Ἐφέσῳ, ἢ τῶν ἐνδόξων τινὰ Περσῶν· εὕρηται γὰρ παρὰ τοῖς ἀρχαίοις καὶ κύριον ὄνομα στρατηγοῦ Πέρσου ὁ Μεγάβυζος, καὶ Μεγάβυζοι κληθέντες προσηγορικῶς οἱ παρὰ Πέρσαις ἐπίσημοι, οἷον στρατηγοὶ, ἢ προσήκοντες ἄλλως τῷ βασιλεῖ, καὶ παρὰ ταῦτα οἱ τῆς ἐν Ἐφέσῳ Ἀρτέμιδος ἱερεῖς. Πλούταρχος μὲν οὖν ταὐτὰ ταῦτα προϊσορηκὼς, οὐ Ζεῦξιν, ἀλλ' Ἀπελλῆν καλεῖ τὸν ζωγράφον, καὶ τὸν ἄνδρα τὸν παραγενόμενον εἰς αὐτοῦ, πῇ μὲν (Πῶς ἄν τις διακρ. τὸν κόλακα τοῦ Φίλ. §. 23.) Μεγάβυζον ἁπλῶς, πῇ δὲ (Περὶ εὐθυμ. §. 12) Μεγάβυζον τὸν Πέρσην, καὶ τὴν πατρίδα προστιθεὶς, ὀνομάζει. — Στ. 15, Μηλίδα.] Ἀπὸ Μήλου τῆς νήσου οὕτω κεκλῆσθαί φασιν εἶδός τι χρώματος. Πλούταρχος δὲ καὶ Ὤχραν αὐτὴν καλεῖ ἐν τοῖς προδηλωθεῖσι συντάγμασι. — Στ. 18, Οταν....θέλῃς.] Ἐξ ἀντιγράφων τὸ, Θέλῃς, ἀντὶ τοῦ Θέλεις.

ΚΕΦ. γ', ΣΕΛ. 17, στ. 6, Εἰσαχθέντος δὲ τοῦ ἵππου.] Περιττὸν καὶ σόλοικον τὸ ἄρθρον· χωρὶς εἰ μὴ τὸν Βουκέφαλον ὡρισμένως εἴλετο παρεμ-

φῆναι. ὅλη δὲ ἡ ἱστορία ἀπίθανος· οὔτε γὰρ Ἀλέξανδρον εἰκὸς ἐπὶ τοσοῦτον ἀγνοῆσαι τῆς γραφῆς τὴν ἀξίαν, οὔτε τὸν Ἀπελλῆν ἀγροίκως οὕτω, ἢ μᾶλλον εἰπεῖν ἀναιδῶς, ἐπιπλῆξαι τῷ Βασιλεῖ.

ΚΕΦ. δ', σελ. 17. στ. 14, Ἀκραγαντίνου.] Ἐν τοῖς λοιποῖς, πλὴν ἑνὸς, γράφεται, Τοῦ Ἀκραγαντίνου· ἀλλὰ περιττῶς ἐνταῦθα προκεῖσθαι τὸ ἄρθρον καὶ ἕτεροι πρὸ ἡμῶν ἀπεφήναντο.—Στ. 20, Ἐκράτησε τῇ ἀνάγκῃ κ. τ. λ.] Ἡ μὲν λέξις οὐκ ἔῤῥωται· ὅ γε μὴν νοῦς δῆλος, Προσέταξεν ὁ τύραννος τῷ Μελανίππῳ καταθέσθαι, τουτέστιν ἐᾶσαι χαίρειν, τὴν γραφήν· τοῦ δὲ Μελανίππου μὴ πεισθέντος, ἠπείλησεν ὁ τύραννος τὰ ἔσχατα δράσειν αὐτὸν, μὴ ὑπακούσαντα· καὶ ὁ μὲν ἑταῖρος τοῦ τυράννου ἐξ ἀνάγκης ἐκράτησε τοῦ Μελανίππου· προστάξαντος γὰρ τοῦ Φαλάριδος οἱ ἄρχοντες τὴν γραφὴν ἠφάνισαν· εἶχε μὲν οὖν τὸ χωρίον οὕτως, « Ἐκράτησε τοῦ ἀνάγκῃ προστάξαντος, τοῦ Φαλά-» ριδος δὲ οἱ ἄρχοντες τὴν γραφὴν τοῦ ἀγῶνος ἠφάνισαν », παρ' ἅπασι, πλὴν τινων ἀντιγράφων, ἐν οἷς ἀντὶ τοῦ, Τοῦ ἀνάγκῃ, ἐγράφετο, Τῇ ἀνάγκῃ· ἄλλων δ' ἄλλως στιξάντων τε καὶ διορθωσάντων, ἡμεῖς ἑτέρως ἀναγνωστέον εἶναι ὑπειλήφαμεν, οὑτωσὶ, « Ἐκράτησε τῇ ἀνάγκῃ προστάξαντος » τοῦ Φαλάριδος· καὶ οἱ ἄρχοντες τὴν γραφὴν τοῦ ἀγῶνος ἠφάνισαν ».—ΣΕΛ. 18, στ. 11, Ἐφ' ἑαυτοῦ .... βαλόμενος τὸ πᾶν τόλμημα.] Ἔτρεψα εἰς τὸν ἀόριστον, διαγράψας τῶν δύο τὸ ἕτερον λ. — Στ. 13, Καταφωραθείη, αὐτός.] Ἐξ ἑτέρων διορθώσεως, ἀνθ' ὧν ἐγράφετο ἀσυντάκτως, Καταφωραθεὶς, αὐτὸς, ἢ καὶ (ὡς παρ' ἄλλοις) ὑποσολοίκως, Καταφωραθῇ, αὐτός. ἐνδέχεται δὲ καὶ, Καταφωραθείη, εἷς αὐτὸς, γεγράφθαι τὸ πάλαι. Στ. 22, Τῆς βουλῆς.] Ἴσως διαγραπτέον τὸ, Τῆς βουλῆς, ἀρκουμένους τῷ ἐπιφερομένῳ Τῆς ἐπιβουλῆς, ἀνθ' οὗ ἐν ἐνίοις τῶν ἀντιγράφων, Τῆς βουλῆς, ταυτολόγως φέρεται.

ΚΕΦ. ϛ', Σελ. 19, στ. 11, Γυμναστής.] Ἕτερος οὗτος τοῦ Γυμνασιάρχου· ὁ μὲν γὰρ Γυμνασιάρχης τὴν ἐπιμέλειαν εἶχε τοῦ γυμνασίου ὑπὸ τῆς πόλεως ταύτην πεπιστευμένος· ὁ δὲ Γυμναστὴς αὐτὸς ἦν ὁ γυμνάζων τοὺς νέους ἐν τῇ παλαίστρᾳ.

ΚΕΦ. ζ', ΣΕΛ. 20, Περὶ τοῦ μὴ ἐκτιθέναι κ. τ. λ.] Ἐθεράπευσα τὸ σόλοικον Ἐκθεῖναι, τρέψας εἰς τὸ Ἐκτιθέναι. — Στ. 8, Ῥήτρα.] Συνθήκη· ἐν δὲ τῷ περὶ ζώων ἰδιότητος (ΙΕ, κδ') ἐχρήσατο τῇ λέξει ἐπὶ τοῦ ἐν τῇ συνηθείᾳ λεγομένου Στοιχήματος.

ΚΕΦ. η', σελ. 20, Περὶ Ξενοκλέους καὶ Εὐριπίδου ἀγωνισαμένων.] Ἐγράφετο κακῶς. . . . . . . ἐν Ὀλυμπίᾳ ἀγωνισαμένων· οὐ γὰρ ἐν Ὀλυμπίᾳ, ἀλλ' Ἀθήνησιν οἱ τραγικοί τε καὶ Κωμικοὶ ποιηταὶ ἠγωνίζοντο. Διέγραψα τοίνυν τὸ, Ἐν Ὀλυμπίᾳ, καὶ ἑτέρων τοῦτο ..ραινεσάντων. — Στ. 15, Τούτου δεύτερος.] Τούτου τοῦ Ξενοκλέους δεύτερος, ἤγουν ἥττων ἐκρίθη ὁ Εὐριπίδης· νόμος δ' ἦν τέσσαρσι δράμασιν ἀγωνίζεσθαι πρὸς ἀλλήλους τοὺς ποιητὰς, ἃ καὶ ἑνὶ ὀνόματι Τετραλογία ἐλέγετο —Στ. 17, Γελοῖον δὲ κ. τ. λ.] Ταῦτα διορθωσάντων ἑτέρων παρείληφα εἰς τὸ κείμενον, ὅπερ ἡμαρτημένως ἐγράφετο, Γελοῖον δὲ, οὐ γὰρ Ξενοκλέα μὲν ἡττᾶσθαι, Εὐριπίδην δὲ νικᾷν.

ΚΕΦ. θ', ΣΕΛ. 21, στ. 1, Ἡβηδόν.] Ὅσοι ἦσαν ἐν ἥβῃ, καθὰ ἐξηγεῖται Θουκυδίδης (Γ, λϛ'), ὁ τῆς Ἀττικῆς ὠμότητος ταύτης μνημονεύσας. — Στ.

6, Πολιάς. ] Πολιὰς καὶ Πολιοῦχος ἐπωνομάζετο Ἀθήνησιν ἡ Ἀθηνᾶ, ὡς προστατοῦσα τῆς πόλεως

ΚΕΦ. ί, σελ. 21, στ, 9, Οὐκ εἶχον...... ὅποι ποτὲ αὐτὸν κατάθωνται. ] Οὕτω καὶ ἐν τῇ συνηθείᾳ φαμὲν, Δὲν εἶχαν, ἢ Δὲν ἔξευραν ποῦ νὰ τὸν βάλωσι, τουτέστιν, Οὐκ εἶχον ὅπως αὐτὸν κατ' ἀξίαν τιμήσουσι. — Στ. 13, Τὸ πλάτος. ] Ὅθεν καὶ Πλάτωνα φασὶν ὀνομασθῆναι, διὰ τὸ πλατὺν εἶναι τὸ στέρνον. — Στ. 16, Πληρωμάτων. ] Πλήρωμα λέγεται τὸ ἐφ' ἑκάστης νεὼς οὐ μόνον ναυτικὸν, (τὸ τοῖς Ἰταλοῖς λεγόμενον Equipaggio), ἀλλὰ καὶ πολεμικὸν πλῆθος.

ΚΕΦ. ιά, ΣΕΛ. 22, στ. 7, Ἐκκαλύπτονται. ] Δείκνυται τοῖς θεαταῖς. Στ. 9, Ἀποσφαττόμενον χορόν. ] Ἀντὶ τοῦ Χορὸν ἐγράφετο Χοῖρον, ὃ δὴ διαφόρως διορθωσάντων, οἷον Ἶρον, Χείρονα, Χειρώνακτα, Χορὸν, τὴν τελευταίαν ταύτην διόρθωσιν προειλόμην.

ΚΕΦ. ιβ', σελ. 22, στ. 17, Τί δ' ἂν ἐμοῦ δοίητε; ] Οὕτω διωρθοῦτο ὁ Κασωβὼν τὸ κατὰ δοτικὴν γεγραμμένον Ἐμοί. ὁ νοῦς, Τίνος δ' ἂν ἐμὲ ἄξιον κρίνοιτε; οὐδενὸς δηλονότι, ἐπεὶ οὔπω τι τοῦ φθονεῖσθαι ἄξιον εἰργασάμην. — Στ. 18, Τὸ τοῦ Εὐριπίδου. ] Τὸ ἐκ τῶν Φοινισσῶν (548 καὶ 554),

Κοὐδέτερον αὐτοῖν φθόνον ἔχει νικώμενον.

Περιβλέπεσθαι τίμιον; κενὸν μὲν οὖν.

ΚΕΦ. ιγ', σελ. 22, στ. 26, Πεῖραν καθεῖναι. ] Ἐξ ἀντιγράφου, ἀντὶ τοῦ παρὰ πᾶσι τοῖς ἄλλοις ἡμαρτημένου, Πεῖραν καταθεῖναι. — ΣΕΛ. 23, στ. 16, Οὐ γὰρ οἱ κατὰ Κλέωνα. ] Οὐ γὰρ ἦν αὐτῷ, τῷ Ἀριστοφάνει, τὸ δρᾶμα κατ' ἐκεῖνο τὸ δρᾶμα, ἐν ᾧ ἐκωμῴδει Κλέωνα τὸν δημαγωγόν. — Στ. 19, Ἄηθες πρᾶγμα καὶ ὅραμα παράδοξον. ] Ἀπολύτως (ὥς φασιν οἱ Γραμματικοὶ) ἐκδεκτέον τὰς τέσσαρας ταύτας αἰτιατικὰς, καὶ δὴ καὶ τὰς ἑξῆς, φθονεροὺς ὄντας κ. τ. λ. — Στ. 23, Προῃρημένους ] Οὕτω τινὰ τῶν ἀντιγράφων ἀντὶ τοῦ παρ' ἄλλοις Προαιρουμένους. ] — Στ. 25, Ακουσμα ἔδοξεν ἥδιστον. ] Ἐξ ἀντιγράφων, ἀντὶ τοῦ παρ' ἄλλοις, Ὡς ἄκουσμα ἔδοξεν ἥδιστον· ἐνδέχεται μέν τοι τὴν ἀρχαίαν γραφὴν ὑπάρξαι, Ἄκουσμα ἔδοξεν ὡς ἥδιστον· ἔτρεψα δ' ἂν καὶ τὸ Ἔδοξεν εἰς τὸ Ἔδοξαν, εἰ μὴ τὰς καινότητας ὑπερφιλοῦντα τὸν Αἰλιανὸν ᾔδειν. — Στ. 26, Αἵδε αἱ Νεφέλαι ] Δρᾶμα τῶν σωζομένων Ἀριστοφάνους οὕτω καλούμενον ἐν ᾧ κωμῳδεῖ Σωκράτην. — Στ. 31, Καινοῖς τραγῳδοῖς. ] Τοῖς κατ' ἔτος νέοις εἰσαγομένοις ἐν Διονυσίοις. — ΣΕΛ. 24, στ. 2, Ἐρεσχελῶν. ] Σκώπτων ἐρεθιστικῶς. — Καὶ Κριτίας. ] Διωρθωσάμην τρέψας τὸν διαζευκτικὸν, Ἢ, εἰς τὸν συμπλεκτικὸν, Καί. σημείωσαι δὲ καὶ τὸ ἀσυνάρτητον, Ἐρεσχελῶν..... ἐξεβιάσαντο. πολλὰ δὲ τοιαῦτα ἐν τῷδε τῷ κεφαλαίῳ. — Στ. 13, Τί παράδοξον. ] Οὐ μόνον παράδοξον, ἀλλὰ καὶ ψεῦδος ὅλως τὸ τὸν Ἀριστοφάνην ἀργύριον λαβεῖν ἐπὶ τῷ κωμῳδῆσαι Σωκράτην, ἢ τὴν Ἀριστοφάνους κωμῳδίαν αἴτιον Σωκράτει θανάτου γεγονέναι· αἱ μὲν γὰρ Νεφέλαι τῷ δευτέρῳ ἔτει τῆς ὀγδοηκοστῆς ἐννάτης ὀλυμπιάδος ἐδιδάχθησαν, ὁ δὲ Σωκράτης τῷ πρώτῳ τῆς πέμπτης καὶ ἐνενηκοστῆς, ἤγουν μετὰ τρία πρὸς τοῖς εἴκοσιν ἔτη, τὸ κώνειον ἔπιεν. — Στ. 15, Καὶ γάρ τοι καὶ τὸ τοῦ

Κρατίνου κ. τ. λ.] Ὁ νοῦς, Καὶ γάρ τοι συνέβη, εἴποτε ἄλλοτε, καὶ τότε τῷ θεάτρῳ νοσῆσαι τὰς φρένας, ἤγουν ἐκστῆναι τοὺς θεατὰς τῶν φρενῶν, τοῦτο τὸ τοῦ Κρατίνου, τουτέστιν ὡς εἴρηκέ που Κρατῖνος διασύρων τῶν θεωμένων τὴν ἄνοιαν. — Στ. 21, Ὡς ὅτι μάλιστα ] Οὕτω πολλὰ τῶν ἀντιγράφων, ἀντὶ τοῦ παρ' ἄλλοις, Ὡς ὅτι κάλλιστα· ἐχρήσατο δὲ τῇ φράσει κἀν τοῖς ἑξῆς (Θ, λβ) — Στ. 29, Τοῦ κωμῳδίας καὶ Ἀθηναίων καταφρονεῖν.] Ταύτην προειλόμην τὴν γραφὴν τῆς ἑτέρας, Τῆς κωμῳδίας κ. τ. λ.

ΚΕΦ. ιέ, ΣΕΛ. 25, Ἀσβόλῳ χρισαμένων.] Σημείωσαι τὴν σολοικον χρῆσιν τοῦ μέσου Χρισαμένων, ἀντὶ τοῦ Χρισάντων. — Στ. 20, Κλαζομενίων τινές.] Πλούταρχος (Λακων. Ἀποφθ.) οὐ Κλαζομενίους, ἀλλὰ Χίους ὑβρίσαι ταῦτα ἱστόρηκε. — Στ. 25, Προσέταξαν αὐτόν.] Ἡ μὲν πλείων χρῆσις, ᾗπερ ἀλλαχοῦ (Β, ιζ. Δ, ιε. Ζ, α. Θ, μα) κατηκολούθησε, δοτικὴν ἀπαιτεῖ· οὐκ ἀποστρέφεται μέντοι ὁ Αἰλιανὸς οὐδὲ τὴν κατ' αἰτιατικὴν σύνταξιν (Ι, θ), τῇ συνηθείᾳ χαριζόμενος ἴσως, καθ' ἥν, Τὸν ἐπρόσταξαν νὰ κηρύξῃ, φαῖμεν ἄν, αὐτὰ ταῦτα μεθερμηνεῦσαι βουλόμενοι.

ΚΕΦ. ιζ΄, ΣΕΛ. 26, στ. 18, Ἐπιθεὶς ἐπ' αὐτὸν τῶν κρεῶν.] Διορθοῦνταί τινες εὐλόγως πάνυ, Ἐπιθεὶς ἐπ' αὐτῷ τῶν κρεῶν.

ΚΕΦ. ιή, ΣΕΛ. 27, στ. 5, Διέβαλε Τιμόθεος.] Ἄμεινον γράφειν ἐν παρατάσει, Διέβαλλε.

ΚΕΦ. κ΄, σελ. 27, στ. 22, Καὶ αὐτὰ ἕκαστα.] Ἐξ ἀντιγράφου, ἀντὶ τοῦ, Καὶ αὐτῷ ἕκαστα

ΚΕΦ. κά, ΣΕΛ. 28, στ. 6, Ὁ ἐκ Κεραμέων.] Ἐξ ἑτέρων διορθώσεως ἀντὶ τοῦ, Ὁ ἐκ Κεραμείων. — Στ. 18, Ἐκ διαφορᾶς.] Ἐκ διχονοίας, ἢ ἔχθρας· ὡς καὶ ἐν τῇ συνηθείᾳ· εὕρηται μέντοι καὶ παρ' Ἡροδότῳ (Δ, κγ, καὶ Ζ, γ) ἡ λέξις. τὸ δὲ Διάφοροι ἀντὶ τοῦ Ἐχθροὶ, οὐκέτι τῆς συνηθείας.

ΚΕΦ. κβ΄, ΣΕΛ. 29, Μετέβαλον τὸ Ἐννομώτατοι τῆς ἐπιγραφῆς, καὶ τὸ ἑξῆς Ἐννομωτάτους, εἰς τὸ Εὐνομώτατοι καὶ Εὐνομωτάτους. οὕτω γὰρ τὴν λέξιν προήνεγκαν καὶ Πλάτων καὶ Στράβων καὶ ἄλλοι, περὶ τῶν ἐν Ἰταλίᾳ Ἐπιζεφυρίων καλουμένων Λοκρῶν τούτων τὸν λόγον ποιούμενοι.

ΚΕΦ. κγ΄, σελ. 29, στ. 8, Νομοθέτης αὐτοῖς ἐγένετο.] Ἐξ ἀντιγράφου, ἀντὶ τοῦ, Καὶ Νομοθέτης κ. τ. λ. — Στ. 9, Τῶν κηρυγμάτων ] Οἷς πλειστάκις ἀνεκηρύχθη νικῶν, δηλονότι — Στ. 14, Θεοῖς γὰρ ἐχθρός.] Κατηγορεῖτο γὰρ ἐπ' ἀθεότητι ὁ Διαγόρας, ὡς δῆλον ἐκ τῶν ἑξῆς (Β, λα).

ΚΕΦ. κδ, σελ. 29, στ. 17, Ἐξέβαλον ] Κατεφρόνησαν, περὶ οὐδενὸς ἐποιήσαντο. — Στ. 19, Ἑλεῖν.] Ἴσως γραπτέον Ἐξελεῖν· ἐπάγει γὰρ ὀρθῶς τὸ Ἐξῄρει.

ΚΕΦ. κέ, ΣΕΛ. 30, στ. 1, Θαργηλιῶνος.] Τοῦ Ῥωμαϊστὶ λεγομένου Μαΐου. Δεξιὰ δὲ ἐλέγετο τοῖς Ἕλλησι πάντα τὰ αἴσια, ἀπὸ μεταφορᾶς τῶν οἰωνιζομένων, οἳ πρὸς ἄρκτον τετραμμένοι, τὰ μὲν ἀπὸ τῆς ἠοῦς φαινόμενα σημεῖα ἀγαθὰ ἐνόμιζον, τὰ δὲ ἀπὸ δύσεως κακά, ὡς δηλοῖ καὶ τὸ παρ' Ὁμήρῳ (Ἰλιάδ. Β, 353), περὶ τοῦ Διὸς εἰρημένον, .

Ἀστράπτων ἐπιδέξι', ἐναίσιμα σήματα φαίνων,

παρατιθέμενον οἷς ἀλλαχοῦ λέγει περὶ τῆς πτήσεως τῶν ὀρνέων, (Μ, 239).

Εἴτ' ἐπὶ δεξί' ἴωσι πρὸς Ἠῶ τ' Ἠέλιόν τε,
Εἴτ' ἐπ' ἀριστερὰ τοίγε ποτὶ ζόφον ἠερόεντα.

Στ. 5, Τῇ Ἀγροτέρᾳ.] Τῇ Ἀρτέμιδι, ἐπιθετικῶς, παρὰ τὸ ἐν ἀγροῖς διαιτᾶσθαι, ἤ, ὡς ἕτεροι, παρὰ τὸ ἄγραις, τουτέστι κυνηγεσίοις, σχολάζειν τὴν θεόν. — Στ. 7, Τὴν ἐν Πλαταιαῖς.] Ἀλλὰ ταύτην ὁ Πλούταρχος (Ἀριστείδ. §. 19) τετράδι Βοηδρομιῶνος ἱσταμένου (τοῦ παρ' ἡμῖν Σεπτεμβρίου) γενέσθαι φησί. — Στ. 8, Ἧτταν αὐτῶν.] Ἢ παθητικῶς ἐκδεκτέον, Τὴν ἧτταν τῶν Περσῶν δηλαδή, ὧν ἀρτίως ἐμνήσθη, φήσας « Καὶ Πέρσαι δὲ » ἡττήθησαν »· ἢ ἐνεργητικῶς ἀντὶ τοῦ Νίκην, ἣν Ἕλληνες ἐνίκησαν ἐκείνους. καὶ οὐκ ἀπεικὸς καταχρήσασθαι τῇ λέξει τὸν Αἰλιανὸν, εἴγε καὶ Διόδωρος ὁ Σικελιώτης, καὶ ὁ τούτου ἀρχαιότερος Πολύβιος, τὸ Ἡττᾶν ἀντὶ τοῦ Νικᾶν ἐχρήσαντο.—Στ. 9, Ἐπ' Ἀρτεμισίῳ.] Οὕτω γέγραφα, διορθωσάντων ἑτέρων, χωρὶς ἄρθρου, ἀντὶ τοῦ, Τὴν ἐπ' Ἀρτεμισίῳ.

ΚΕΦ. κς', σελ. 30, στ, 21, Καὶ ἐν Κρότωνι, κ.τ.λ.] Οὕτω διορθωτέον εἶναι τὸ χωρίον « Καὶ ἐν Κρότωνι καὶ ἐν Ὀλυμπίᾳ δὲ, ἔνθα ἐξανιστά- » μενος καὶ τῶν μηρῶν κ. τ. λ. » αὐτὸς Αἰλιανὸς ἀλλαχοῦ (Δ, ιζ) μαρτυρεῖ. —Στ. 23, λέγει δὲ ὁ αὐτὸς καὶ, ὅτι ὑπὸ τοῦ Κώσα ποταμοῦ κ. τ. λ.] Μετέθηκα τὸν, Καὶ, σύνδεσμον, τῆς ἀρχαίας γραφῆς κακῶς ἐχούσης, Λέγει δὲ καὶ ὁ αὐτὸς ὅτι. τὸν αὐτὸν δὲ τρόπον καὶ ἐν τοῖς πρόσθεν (Δ, ιδ). εἴρηκε περὶ αὐτοῦ τούτου τοῦ Ἀριστοτέλους « Λέγει δὲ ὁ αὐτὸς καὶ μάχεσθαι». παρείληφα δὲ καὶ τὸ, Ὑπὸ τοῦ Κώσα ποταμοῦ, ἀντὶ τοῦ, Ὑπὸ τὸν ΚΩΣΑΝ ποταμὸν, ἑτέρων τοῦτο διορθωσάντων τῇ τῶν ἑξῆς (Δ, ιζ) ῥηθησομένων παραθέσει. ἠπόρηται μέντοι περὶ τοῦ ὀνόματος τοῦ ποταμοῦ· παρὰ μὲν γὰρ Πορφυρίῳ φέρεται ἐπὶ λέξεως τάδε, « ΚΑΫΚΑΣΟΝ δ' ἔφασαν τὸν ποταμὸν σὺν » πολλοῖς τῶν ἑταίρων διαβαίνοντά ποτε προσειπεῖν· καὶ ὁ ποταμὸς ἀπ- » εφθέγξατο . . . πάντων ἀκουόντων, Χαῖρε Πυθαγόρα »· παρὰ δὲ τῷ Ἀπολλωνίῳ, « Καὶ ὑπὸ τοῦ ΚΑΤᾺ ΣΆΜΟΝ ποταμοῦ, διαβαίνων σὺν ἄλλοις, » ἤκουσε φωνὴν κ. τ. λ. » Διογένει δὲ (ἐν Πυθαγ. βίῳ) ΝΈΣΣΟΣ ὀνομάζεται ὁ αὐτὸς οὗτος ποταμός. εἰκὸς δὲ τὰ περὶ Πυθαγόρου τερατολογούμενα ἄλλως ὑπ' ἄλλων ἱστορῆσθαι.

ΚΕΦ. κζ, ΣΕΛ. 31, Ὀλιγώρει.] Διώρθωκα τὸ ἡμαρτημένον τῆς ἐπιγραφῆς, Ὀλιγωρεῖ· σημείωσαι δὲ καὶ τὴν μετ' αἰτιατικῆς σύνταξιν, ἐξηλλαγμένην τῆς τῶν δοκίμων χρήσεως. — Στ. 1, Ἀννίκερις·] Ἕτερον τοῦτον βούλονταί τινες παρὰ τὸν τῶν Ἀννικερείων οὕτω καλουμένων τῆς κατὰ φιλοσοφίαν αἱρέσεως ἀρχηγὸν Ἀννίκεριν. — Στ. 5, Ἀλλ' ἀεὶ κατ' αὐτῶν.] Ἐν ἄλλοις γράφεται, Ἀλλ' ἀεὶ κατ' αὐτὸν τουτέστι τὸν στοῖχον τοῦ δρόμου· τὸ δὲ, Κατ' αὐτῶν, πρὸς τὰς ἁρματοτροχίας ἔχει τὴν ἀναφοράν· ὅπερ ἴσως ἂν ἄμεινον ἐγράφετο, Κατὰ τῶν αὐτῶν, καθάπερ ἡρμήνευσε καὶ ὁ Λατῖνος μεταφραστής. — Στ. 8, Ἀδύνατόν ἐστι τὸν εἰς μικρὰ οὕτω κ τ. λ.] Σωζέσθωσαν τοῦτο τῶν νέων οἱ φιλόμουσοι,

Χαλκῆς ὅπως δύσνιπτον ἐκ δέλτου γραφήν.

δεινοῦ γὰρ νοσήματος, τῆς ματαιοπονίας, ἀνυσιμώτατόν ἐςι φάρμακον.

ΚΕΦ. κ, σελ. 31, στ. 20, Προγονικῶν.] Ἐξ ἑτέρων διορθώσεως, ἀντὶ τοῦ Γονικῶν.

ΚΕΦ. λ, ΣΕΛ. 32, στ. 9, Τετραλογίαν.] Ἔπιθι τὰ ἀνωτέρω (Β, η) σημειωθέντα μοι.

ΚΕΦ. λά, σελ. 32, στ. 18, Εὐήμερος ὁ Μεσσήνιος.] Ἐγράφετο κακῶς μετὰ διπλοῦ τοῦ ἄρθρου, Ὁ Εὐήμερος ὁ Μεσσήνιος.] — Στ. 20, Σωσίας.] Ἀντὶ τούτου, Ἱππίας ἢ Γοργίας, γραπτέον εἶναί τινες ὑπειλήφασι. σημείωσαι δὲ, ὅτι, καθά φησι Κλήμης ὁ Ἀλεξανδρεὺς (Προτρεπτ. σελ. 21), οἱ πλεῖςοι τῶν κατειλεγμένων τούτων ἀθεΐας ἀπηνέγκαντο δόξαν, διὰ τὸ μὴ πιστεύειν τοῖς δι' ὀρνίθων ἢ σπλάγχνων δηλουμένοις καὶ πιστευομένοις ὑπὸ τῶν δεισιδαιμόνων, ὧν ἔοικεν εἶναι καὶ ὁ ἡμέτερος Αἰλιανός· πῶς γὰρ εἰκὸς τὸν ὀρθῶς φρονοῦντα περὶ Θεοῦ, ὑπὸ τῶν γραϊκῶς διανοουμένων εὐσεβῆ νομίζεσθαι; — Ἐπίκουρος ] Καὶ μὴν οὗτος οὐ τὸ εἶναι θεοὺς, ἀλλὰ τὸ προνοεῖν αὐτοὺς τῶν ἀνθρώπων ἠρνεῖτο. — Σελ. 33, στ. 2, Διδασκαλία ἐκ τῆς παρὰ τῶν κ. τ. λ. ] Γραπτέον οἶμαι, Διδασκαλία τῆς παρὰ τῶν κ. τ. λ., διαγράφοντας τὴν, Ἐκ, πρόθεσιν, καὶ τῆς πρώτης λέξεως τὸν τόνον εἰς τὴν τρίτην ἀπὸ τέλους ἀναβιβάζοντας, ἵν' ᾖ παρὰ τὸ οὐδέτερον, Διδασκάλιον· ὥπερ Ἡρόδοτος μὲν ὡς συνωνύμῳ τοῦ Δίδαγμα ἐχρήσατο, τὸν δ' Αἰλιανὸν, ὡς Ῥωμαῖον, εἰκὸς ἀντὶ τοῦ Documentum χρήσασθαι, ὃ σημαίνει οὐ μόνον τὸ Δίδαγμα, ἀλλὰ καὶ τὸ Δεῖγμα, Τεκμήριον (Indicium).

ΚΕΦ. λβ', σελ. 33, στ. 10, Ἀπὸ γενεᾶς Ἡρακλῆν οὐ κεκλῆσθαι.] Ἐξ ἑτέρων διορθώσεως, ἀντὶ τοῦ ἀπὸ γενεᾶς Ἡρακλείδην κεκλῆσθαι. — Στ. 15, Ἦρα γὰρ ἀνθρώποισι φέρων ] Τὰ κεχαρισμένα ταῖς ἀνθρώποις ποιῶν, τουτέστιν εὐεργετῶν αὐτούς.

ΚΕΦ. λγ', σελ. 33, στ. 16, Τὴν τῶν ποταμῶν ῥύσιν.] Διώρθωκα τὸ ἡμαρτημένον, Τὴν τῶν ποταμῶν φύσιν. — Ῥεῖθρα. ] Τὰ κοιλώματα τῆς γῆς, δι' ὧν ῥέουσιν οἱ ποταμοὶ, ἃ καὶ Ἔλυτρα λέγεται. — Στ. 20, Μετώπην.] Οὐ δῆλον τίνα λέγει Μετώπην. Στράβων δὲ (Η, σελ. 371). Ἀμυμώνην τινὰ κρήνην Ἀργείας λέγει περὶ τὴν λίμνην Λέρνην, οὐ μακρὰν τοῦ Ἐρασίνου, ὃς τανῦν Κεφαλάρι καλεῖται, καθά φησιν ὁ Μελέτιος· οὐ μετακινητέον μέντοι τὴν παρὰ τῷ Αἰλιανῷ γραφήν· ἐνδέχεται γὰρ τὴν Μετώπην αὐτὴν τὴν Ἀμυμώνην εἶναι, ἢ καὶ πηγὴν ἑτέραν ἐξ ἧς ἡ Λέρνη, ὡς ὑπονοεῖν παρέχει, καὶ αὐτῆς ταύτης τῆς Λέρνης τὸ παρὰ τῷ αὐτῷ Μελετίῳ νεώτερον ὄνομα, Μαστό. ἡ γοῦν Μετώπη, εἴτε κόρη, εἴτ' ἐκ κόρης εἰς πηγὴν μεταμορφωθεῖσα, Λάδωνος ἦν τοῦ ποταμοῦ θυγάτηρ, γυνὴ δ' Ἀσωποῦ, καὶ αὐτοῦ ποταμοῦ (Ἀπολλοδώρ. Γ, ιϐ.) — Στ. 23, Οἱ ἀπὸ Κνίδου.] Τῆς Καρίας ἡ Κνίδος. ἀνέθεσαν δ' ἐν Ὀλυμπίᾳ οἱ Κνίδιοι Διὸς ἄγαλμα, καὶ ἑκατέρωθεν παρὰ τὸν Δία, Πέλοπά τε, καὶ τὸν Ἀλφειὸν ποταμὸν (Παυσαν. Ε, κδ'.) — Στ. 24, Τὸν αὐτὸν ποταμὸν ὁμοίως.] Τουτέστι τὸν Ἀλφειόν. ἔν τισι μέντοι τῶν ἐκδόσεων εὕρηται Τὸν Κνίδον ποταμὸν ὁμοίως, ὅπερ ἔοικε τοῦ Κασωβῶνος εἶναι διόρθωσις· ἐκεῖνος γὰρ ( σημ. εἰς τὸν Ἀθήν. βιβλ. ί, σελ. 460) ἐστιν ὁ διατεινόμενος Κνίδον ἀναγνωστέον εἶναι ἐν τῷδε

Τ 4

τοῦ Αἰλιανοῦ τῷ χωρίῳ. — Στ. 25, Δεικνύουσιν ἐν προτομῇ.] Ἐτόλμησα, τόλμημα μὲν ἴσως οὐκ ἀνασχετὸν, καθά φησιν ὁ Κωμικὸς, ἀλλ' οὖν ἐτόλμησα τὴν παρ' ἅπασι γραφὴν, Δεικνύουσιν ἐν τιμῇ, μεταποιῆσαι εἰς τὸ, Δεικνύουσιν ἐν προτομῇ. τὸ μὲν γὰρ, Δεικνύειν ἐν τιμῇ, οὐδ' Ἑλληνικῶς πεφρασμένον ὅλως ἐστί· τὸ δὲ, Δεικνύειν ἐν προτομῇ, ὁμολογεῖ γοῦν τῇ ἱςορίᾳ· ἐν γὰρ ταῖς σωζομέναις εἰκόσι τῶν ποταμῶν εἰσὶν αἳ τὴν μὲν προτομὴν (ἔστι δὲ τοῦτο τὸ ἀπὸ τοῦ ὀμφαλοῦ εἰς κεφαλὴν μέρος τοῦ σώματος) ἀνθρώπου, πλὴν τῶν κεράτων, τὰ λοιπὰ δὲ ταύρου σώματι εἰκασμένα ἔχουσι. σημειῶσαι δὲ καὶ τὸ, Δεικνύουσι, κυρίως ἐνταῦθα εἰρημένον· παρὰ γὰρ τοῦτο καὶ αὐταὶ αἱ εἰκόνες Δείκελα ὠνομάσθησαν.

ΚΕΦ. λδ', ΣΕΛ. 34, στ. 10, Ἐν λέσχῃ καθήμενον.] Ἔπιθι τὰ σημειωθέντα μοι διὰ μακρῶν, περὶ τῆς Λέσχης, εἰς τὸν Ἡλιόδωρον (σελ. 97.) Στ. 15, Κατά τινα δαίμονα.] Τὸ ἐν τῇ συνηθείᾳ λεγόμενον, Κατὰ τύχην. — Ἐπὶ δυσμαῖς.] Ἐλλειπτικῶς τοῦ Βίου, ἢ τοῦ Ζωῆς. — Στ. 17, Κακοῦ πρεσβυτικοῦ.] Οὕτω διωρθωσάμεθα τὸ ἡμαρτημένον Κακοῦ πρεσβυτιδίου, μνημονεύσαντες τοῦ Κωμικοῦ εἰρηκότος (Πλοῦτ. 270),

Πρεσβυτικῶν μὲν οὖν κακῶν ἔγωγ' ἔχοντα σωρόν·

πλὴν εἰ μή τις ὑπονοήσειε Πρεσβυτιαίου κακοζήλως γεγραφέναι τὸν Αἰλιανὸν, κατὰ τὸν τύπον τοῦ Ταλαντιαῖος.

ΚΕΦ. λέ, σελ. 34, στ. 18, Γεγηρακὼς Εὖ μάλα.] Ἐβίω γὰρ ὑπὲρ τὰ ἑκατὸν ἔτη. — Στ. 21, Τί πράττοι;] Σημείωσαι τὸ τῆς συνηθείας ἐν ταῖς ἐρωτήσεσι Τί κάμνει; ἀντὶ τοῦ Πῶς ἔχοι ὑγείας;

ΚΕΦ. λς', ΣΕΛ. 35, στ. 1, Πῶς ἔχει;] Αμεινον γράφειν, Πῶς ἔχοι; Στ. 2, Εἰ δὲ ἀποθάνω.] Τυπογράφων ἀβλεψίᾳ ἐφυλάχθη τὸ παρὰ πολλοῖς σωζόμενον, Εἰ δὲ ἀποθάνω. γράφε οὖν, ὡς φέρεται ἔν τισι τῶν ἀντιγράφων, καὶ ἐν ταῖς τελευταίαις ἐκδόσεσιν, Ἐὰν δὲ ἀποθάνω.

ΚΕΦ. λζ', σελ. 35, στ. 5, Καὶ οὗτος δὲ οὐχ ἥκιστα.] Κάκιςα μὲν οὖν, ὦ βέλτιστε Αἰλιανέ· ἁμαρτάνει μὲν γὰρ ὁ νοσῶν, μὴ πειθόμενος τῷ θεραπεύοντι, ἀλλ' οὐ διὰ τοῦτο θανάτῳ τιμωρητέος.

ΚΕΦ. λή, σελ. 35, στ. 12, Τὰς Ἰάδας, τὰς Μιλησίων γυναῖκας.] Ἐξ ἑτέρων διορθώσεως, ἀντὶ τοῦ, Τὰς Ἰάδας, ἀλλὰ τὰς Μιλησίων γυναῖκας. ἐνδέχεται μέντοι καὶ ὀρθῶς ἔχειν τὴν μετὰ τοῦ, Ἀλλὰ, γραφήν· εὐεπίφορος γὰρ ὁ Αἰλιανὸς εἰς τοὺς πλεονασμοὺς καὶ τὰς εἰς οὐδὲν χρήσιμον παραπληρώσεις. — Στ. 14, Ἢ Μασσαλιωτῶν.] Ἴσως ἐγέγραπτο, Καὶ Μασσαλιωτῶν. — Στ. 18, Οἱ ἐφ' ἥβης.] Οὐκ ὤκνησα τρέψαι τὴν Ἀπὸ εἰς τὴν Ἐπί· Ἔφηβοι γὰρ ὁ Ἀθήναιος (σελ. 429), ἐξ οὗ ταῦτ' ἐλήφθη, καὶ οὐκ Ἄφηβοι, εἶπεν. καὶ ὁ ἀριθμὸς δὲ τῶν ἐτῶν παραλάττει, Μέχρι τριάκοντα, λέγοντος τοῦ Ἀθηναίου.

ΚΕΦ. μ', ΣΕΛ. 36, στ. 5, Γιγάρτων.] Ἀκύρως τοῦτο· σημαίνει γὰρ τὰ τῆς σταφυλῆς κοκκία, ἅπερ ἡ χυδαία φωνὴ Κούκουτζα ἢ Κουκούτζια καλεῖν εἴωθεν· ὤφειλεν οὖν εἰπεῖν, καθὰ καὶ ὁ, ἐξ οὗ ταῦτα παρήλειφεν, Ἀθήναιος

(σελ. 429), Στεμφύλων· ἔστι δὲ ταῦτα τὰ τῆς σταφυλῆς ἐκπιέσματα. — Στ. 8, Καὶ ἐλέφας.] Ἀλλ' οὗτος τοσούτου δεῖ πρὸς οἶνον ἀλλοτρίως ἔχειν, ὥστε καὶ ἥδεσθαι τοῖς μεθυστικοῖς πόμασι. καὶ τὸ τῆς ἀλκῆς δὲ ἐπιλανθάνεσθαι, μεθύοντα, οὐ τῶν ἀκριβῶς εἰρημένων, εἴγε καὶ οἱ ἐκτάττειν τοὺς ἐλέφαντας εἰς πόλεμον μέλλοντες, ἐξηγρίουν ἀκράτῳ πολλῷ ποτίζοντες (Γ. Μακκαβ. Ε, 6). τοῦτο δὲ ὁ Αἰλιανὸς ἠγνόηκεν, εἰ καὶ τὸν ἐξ ὀρύζης ἢ ἐκ καλάμου οἶνον, οὐ τὸν ἀμπέλινον, προσφέρειν τοὺς Ἰνδοὺς τοῖς ἐλέφασι λέγει (Περὶ ζώων ἰδιότ. ΙΓ, η).

ΚΕΦ. μά, σελ. 36, στ. 12, Νυσαῖος.] Οὕτω διὰ τοῦ ῡ (οὐ διὰ τοῦ ῑ) ὁ Ἀθήναιος (σελ. 435) ἐξ οὗ ταῦτα παρελήφθη. — Στ. 13, ὁ Διονυσίου τοῦ τυράννου υἱός.] Γράφε, Οἱ Διονυσίου τοῦ τυράννου υἱοί, καθὰ διορθοῦνταί τινες· καὶ γὰρ καὶ ὁ Νυσαῖος υἱὸς ἦν Διονυσίου, καθὰ καὶ ὁ Ἀπολλοκράτης καὶ ὁ Ἱππαρῖνος. — Διονυσίου καὶ οὗτος.] Οὕτως ἑτέρου διορθώσαντος παρείληφα ἀντὶ τῆς προτέρας γραφῆς, Διονυσίου ἀνεψιὸς καὶ οὗτος. Στ. 23, Καλάνῳ..... τῷ Ἰνδῶν σοφιστῇ.] Ἐξ ἀντιγράφου, ἀντὶ τοῦ..... Τῷ Ἰνδῷ σοφιστῇ· ἐν ἄλλοις δὲ φέρεται, Τῶν Ἰνδῶν σοφιστῇ. σημείωσαι δὲ ὅτι ἐνταῦθά τε κἀν τοῖς ἑξῆς (Ε, ς) Κάλανον ὀνομάζει Αἰλιανὸς, ὃν ὁ Πλούταρχος (Ἀλεξάνδρ. §. 65) Καλανὸν, ὀξυτόνως προφέρει. — ΣΕΛ. 37, στ. 3, Ὁ δὲ τὰ νικητήρια ἀναθησάμενος.] Ἐπεὶ τοῦ νικήσαντος ἐν τῷ βαρβάρῳ τούτῳ ἀγῶνι ἐμνημόνευσεν, ὤφειλε μηδὲ τοὺς διαῤῥαγέντας ὑπὸ τοῦ οἴνου σιωπῇ παρελθεῖν· ἦσαν δὲ εἷς καὶ τεσσαράκοντα τὸν ἀριθμὸν, ὡς καλῶς ποιῶν προσιστόρηκεν ὁ Ἀθήναιος (σελ. 437). — Στ. 4, ἐν Διονύσου δὲ κ. τ. λ.] Ἄλλως ταῦτα ἱστόρηται παρὰ τῷ Ἀθηναίῳ (σελ. 431) καὶ παρὰ Διογένει τῷ Λαερτίῳ (βίῳ Ξενοκράτ.) — Στ. 9, Ἀνθίνους.] Οὕτω γράφεται καὶ παρ' Ἀθηναίῳ· καὶ ἔστιν ἀναλογώτερον τοῦ παρὰ τῷ Αἰλιανῷ Ἀνθινούς. — Στ. 11, Ἀνέπαυε καὶ ἀπέλειπε.] Οὕτω γραπτέον, ἐν παρατάσει, ἀντὶ τοῦ ἀορίστως γραφομένου παρ' ἅπασιν Ἀνέπαυσε καὶ ἀπέλιπε (ἄλλ. Ἀφῆκε). χρῆται δ' ἐνταῦθά τε καὶ ἐν τοῖς ἑξῆς (ΙΒ, ξδ') τῷ Ἀναπαύειν ἐπὶ τοῦ Ἐπιτιθέναι, οὐ πάνυ τι κυριολεκτῶν. — Στ. 16, Τὸ ἐκ Βούτης] Διορθοῦσι Τὸ ἐκ Βουτοῦς· ἡ Βουτὼ γὰρ, τῆς Βουτοῦς, ὡς παρ' Ἡροδότῳ (Β, ρνε' καὶ ρνέ). — Στ. 32, Ἡ πρὸς τὸν οἶνον ἄδικος ὁρμή.] Σημείωσαι τὸ Ἄδικος ἐπὶ τοῦ Ἀμέτρου τεθειμένον· ἐπεὶ καὶ τὸ ἀντιδιεσταλμένον Δίκαιος ἀντὶ τοῦ Σύμμετρος εὕρηται παρ' Ἱπποκράτει. — Στ. 33, Πλευρῖτιν ἐνειργάσατο.] Ἔτρεψα τὸ Εἰργάσατο εἰς τὸ Ἐνειργάσατο. — ΣΕΛ. 38, στ. 1, Βασιλεὺς Γέντιος πίνειν καὶ οὗτος εἴθιστο ἀκρατῶς] Τὸ μὲν Γέντιος ἐξ ἑτέρων, τὸ δὲ Εἴθιστο ἐξ ἡμετέρας διορθώσεως, ᾧ καὶ ἀλλαχοῦ (Γ, κγ καὶ ΙΒ, λ) Αἰλιανὸς ἐχρήσατο· εἶχε δὲ ἡ προτέρα γραφὴ ὧδε, Βασιλεὺς γενναῖος πίνειν καὶ οὗτος ἑαυτῷ ἀκρατῶς.

ΚΕΦ. μβ', σελ. 38, στ. 11, Καὶ οὖν ἐδεήθησαν.] Ἐν ἄλλ. γρ. Καὶ οὖν καὶ ἐδεήθησαν — Στ. 12, Σὺν τῇ ἀνωτάτῳ σπουδῇ.] Ἐν ἄλλ. γρ. Σὺν τῇ ἀνωτάτῃ σπουδῇ· εἴρηκε μέντοι καὶ ἀλλαχοῦ (Περὶ ζώων ἰδιότ. Δ, μα), Σπουδὴν τὴν ἀνωτάτω. ὅπως δ' ἂν ποτ' οὖν ἔχοι τὰ τῆς γραφῆς, οὐχ ἑλληνικά· ἀνὴρ μὲν γὰρ Ἀττικὸς, ἢ γοῦν Ἕλλην, εἶπεν ἂν ἴσως, Συντονωτάτῃ σπουδῇ· ὁ δ' Αἰλιανὸς, οὐδ' ἐν αὐτῷ τῷ ἀττικίζειν τὸ Ῥωμαῖος εἶναι δυνά-

μενος ἀποκρύψασθαι, εἰς τὸ, Ἀνωτάτω (ἢ Ἀνωτάτην) σπουδὴν μεθηρμήνευσε τὸ τῆς πατρίου φωνῆς Summum studium. καὶ οὐ θαυμαστόν·

Τὸ γὰρ ἀποστῆναι χαλεπὸν
Φύσεος, ἣν ἔχει τις ἀεὶ,

καθά πού τις ἔφη τῶν Κωμικῶν (Ἀριστοφάν. Σφ. 1457). — Στ. 20, Οὐδὲ πείσειν.] Γραπτέον ἴσως, Οὐδὲ πείσει, διὰ τὸ προηγησάμενον, Ὅτι.

ΚΕΦ. μγ', σελ. 38, στ. 23, Λυσιμάχου . . . . Πελύμνιδος.] Ἐξ ἑτέρων διορθώσεως, ἀντὶ τῆς ἡμαρτημένης γραφῆς, Νικομάχου . . . Πολυμάτιδος.

ΚΕΦ. μδ', ΣΕΛ. 39, στ. 10, Σφάττειν βλέπων.] Ἀριστοφάνειος ἡ φράσις καὶ σύνταξις (Σφ. 847),

Ἀλλ' εἴσαγ' ἀνύσας· ὡς ἐγὼ ΤΙΜΑΝ ΒΛΕΠΩ·

σημαίνει δὲ τὸ Βλέπω, ἀπαρεμφάτῳ συντασσόμενον τὴν ἐπιτεταμένην καὶ ὁλοσχερῆ τῆς ψυχῆς προσοχὴν καὶ οἱονεὶ πρόστηξιν τῇ διὰ τοῦ ἀπαρεμφάτου δηλουμένῃ πράξει ἢ ἐνεργείᾳ· οἷον καὶ ἐν τῇ συνηθείᾳ φαμὲν, Βλέπει νὰ φάγῃ, νὰ πίῃ, νὰ κλέψῃ, νὰ σφάξῃ κ. τ. λ. καὶ, Βλέπει τί νὰ φάγῃ, καὶ, Ἄλλο δὲν βλέπει παρὰ νὰ φάγῃ. — Στ. 20, Καὶ οἷον . . . . . μελῳδούσῃ σάλπιγγι.] Διορθοῦνταί τινες οὐκ ἀφυῶς, Καὶ οἷον . . . μελῳδοῦσι σάλπιγγες.

## ΒΙΒΛΊΟΝ ΤΡΊΤΟΝ.

ΚΕΦ. ά, ΣΕΛ. 40, στ. 9, Πλέθρου.] Ἔστι τὸ πλέθρον ἑκατὸν ποδῶν γεωμετρικῶν. — Στ. 20, Ὀφθαλμῶν πανήγυρις.] Σοφιστικῶς καὶ κακοζήλως ἀντὶ τοῦ Ὀφθαλμῶν τέρψις. καὶ οὐ θαυμαστόν· ἐπεὶ καὶ εὐθὺς ἀρχόμενος τοῦ λόγου φραστικὴν δύναμιν ἐπιδείξασθαι μάλα σοβαρῶς ἐπηγγείλατο. ἔστι δὲ μᾶλλον ἐντὸς τῶν ὅρων τοῦ καλοῦ συνέχειν ἑαυτὸν ἀδυνατοῦντος ἡ τοιαύτη δύναμις. εἴρηκε δὲ καὶ ἀλλαχοῦ (ΙΓ, ά, σελ. 166) Ἑορτὴν ὄψεως. — Στ. 21, Καθειμένοις.] Ἐξ ἀντιγράφων, ἀντὶ τοῦ, Καθημένοις. — ΣΕΛ. 41, στ. 2, Ψυχᾶσθαι.] Ψύχεσθαι, ἢ Ψυχάζεσθαι διορθοῦν ἐπεβάλλοντό τινες. ἴσως γραπτέον, Ψυχάσαι παρὰ τὸ Ψυχάζειν ἀμεταβάτως, ᾧπερ ἐχρήσατο καὶ ἐν τῷ περὶ ζώων ἱστορίας (Ε, κά). — Στ. 14, Ἀποστέγειν τὴν ἀκτῖνα.] Τουτέστιν, Ἀποκλείειν δίκην στέγους τὸν ἥλιον. διορθούσθω δέ μοι ἐντεῦθεν ὁ Σοφοκλῆς (Οἰδ. Κολ. 313),

Κρατὶ δ' ἩΛΙΟΣΤΕΡΗΣ
Κυνῆ πρόσωπα Θεσσαλίς νιν ἀμπέχει,

γράφοντι ἩΛΙΟΣΤΕΓΗΣ. — Στ. 18, Καθαγιαζόντων.] Ἐξ ἀντιγράφου, ἀντὶ τοῦ, Καθαγιζομένων. — Στ. 26, Ἐκ τῆς αὐτῆς δάφνης.] Ἐξ ἀντιγράφων, ἀντὶ τοῦ, Ἐκ τῆς αὐτοῦ δάφνης. — ΣΕΛ. 42, στ. 1, Ἀφ' ἧσπερ οὖν καὶ τότε.] Παρείληφα τὴν διόρθωσιν τῆς ἡμαρτημένης γραφῆς, Ἀφ' ἧσπερ ἱρῶν καὶ τότε. — Στ. 3, Πελασγίας.] Ἐκ διορθώσεως ἑτέρων, ἀντὶ τοῦ Πελαγονίας.

ΚΕΦ. ί, ΣΕΛ. 43, στ. 5, Ἀντίγονόν γέ μὴν φασι . . . εἶδε.] Ἀνακόλουθον τῇ συντάξει· χαίρει δὲ τοῖς τοιούτοις ὁ Αἰλιανός.

ΚΕΦ. ϛ', σελ. 43, στ. 15, Κατασκάψει ἄλλος.] Παρείληφα τὴν ὑφ' ἑτέρων διορθωθεῖσαν γραφὴν, ἀντὶ τοῦ, Κατασκάψει ἢ ἄλλος· τεθνηκὼς γὰρ ἦν Ἀλέξανδρος ἡνίκα ταῦτα ἐλέγετο.

ΚΕΦ. ζ'. σελ. 43, στ. 18, Ψογερούς.] Ταὐτὸ δύναται τῷ Ἐπιψόγους, καθ' Ἡσύχιον· ὁ μέντοι Αἰλιανὸς ἐπὶ τῶν Φιλοψόγων τέταχε τὴν λέξιν, οὓς ἡ συνήθεια Ψεγαδιαστὰς ὀνομάζει, παρὰ τὸ Ψεγάδιον. τοῦτο δὲ ὑποκοριστικὸν τῷ τύπῳ, ἀλλ' οὐ τῷ σημαινομένῳ, ἐστὶ τοῦ Ψέγος, οὐδετέρου, ὅπερ οὐχ εὕρηται παρὰ τοῖς ἀρχαίοις· ὡσαύτως γὰρ καὶ Ὑφάδιον φαμὲν παρὰ τὸ Ὕφος· περὶ δὲ τῶν τοιούτων ὑποκοριστικῶν ἔπιθι καὶ τὰ ἐν τοῖς ἑξῆς (Η, ιδ') σημειωθησόμενα. — Στ. 20, Δυσμενίδαι.] Ἔπαιξε τοῦτο, ὡς πατρωνυμικὸν δῆθεν παρὰ τὸ Δυσμενεῖς, τουτέστι Δυσμενῶν υἱοί· ἴσως δὲ καὶ βουλόμενος αἰνίξασθαι τὰς οὕτω λεγομένας κατ' εὐφημισμὸν Εὐμενίδας θεάς. ὅθεν καί τινες εἰς τὸ Δυσμενίδες τρεπτέον εἶναι ὑπέλαβον.

ΚΕΦ. ή, ΣΕΛ. 44, στ. 1, Κατὰ σπουδάς.] Ἀριστοφάνειος ἡ φράσις (Ἱππ. 1370),

Οὐδεὶς κατὰ σπουδὰς μετεγγραφήσεται·

ἐκφράσαις δ' ἂν τοῦτο Γαλλιστὶ, Par intrigue. — Στ. 4, Πυῤῥιχισταῖς.] Τοῖς τὴν Πυῤῥίχην οὕτω καλουμένην ὄρχησιν ὀρχουμένοις.

ΚΕΦ. θ', σελ. 44, στ. 19, Ὧν ἕνα ] Τὸν Ἕκτορα, περὶ οὗ φησι (Ἰλιάδ. Ο, 605),

Μαίνετο δ' ὡς ὅτ' Ἄρης ἐγχέσπαλος . . . .

Στ. 24, Κατὰ τὴν Κρητῶν ἔννοιαν.] Κρῆτες γὰρ ἐν ταῖς παρατάξεσι τοὺς καλλίστους κοσμήσαντες, διὰ τούτων τῷ ἔρωτι θύουσι (Ἀθην. σελ. 561).

ΚΕΦ. ί, ΣΕΛ. 45, στ. 2, Ὅτι τις . . . προείλετο.] Οὕτω γράφειν δεῖν ἔγνων, μεταποιήσας εἰς τὸ Ὅτι τὸ Ὅτε· τὸ δὲ Προείλετο, ἀντὶ τοῦ Εἵλετο, ἐξ ἑτέρων ἐστὶ διορθώσεως· κέχρηται δὲ καὶ ἐν τοῖς ἑξῆς (ΙΔ, ι) τῷ συνθέτῳ. — Στ. 4, Ἐπέβαλον.] Δι' ἣν αἰτίαν μετεποίησα τὸ Ὅτε εἰς τὸ Ὅτι, διὰ τὴν αὐτὴν ταύτην καὶ τὸν παρατατικὸν, Ἐπέβαλλον, εἰς τὸν ἀόριστον, Ἐπέβαλον, τρεπτέον εἶναι ὑπείληφα· ὡς ἅπαξ γὰρ γεγονὸς ἱστόρηται τὸ λεγόμενον, καθὰ δὴ καὶ τὸ τούτου ἐχόμενον, « Ἄλλον δέ τινα ἄνδρα . . . . ὅτι χρηστὸς κ. τ. λ. »

ΚΕΦ. ιά, σελ. 45, στ. 16, Οἱ Περιπατητικοί.] Οὐ τῶν Περιπατητικῶν, ἀλλ' Ἱπποκράτους τὸ δόγμα, ἢ μᾶλλον Ἡρακλείτου, ἐξ οὗ παραλαβὼν κατεχώρισεν ἐν τῷ περὶ ἐνυπνίων συντάγματι Ἱπποκράτης, ἢ ὅστις ποτ' ἦν ὁ τοῦ συντάγματος ἐκείνου πατήρ.

ΚΕΦ. ιβ', σελ. 45, στ. 22, Ἐπεὶ τοὐναντίον...τὰ ἐκ τούτων κ.τ.λ ] Ἡ γραπτέα· Ἐναντία, ἵν' ᾖ, Ἔστι καταμαθεῖν τὰ ἐκ τούτων, ἐναντία ὄντα τοῖς γιγνομένοις παρὰ τοῖς ἄλλοις· ἢ τρεπτέον τὸ ἄρθρον, Τὰ, εἰς τὸν, Καὶ, σύνδεσμον· ὃ καὶ ἄμεινον. ἔστι δὲ ὁ νοῦς, Τοὐναντίον γάρ ἐστι καταμαθεῖν καὶ ἐκ τούτων, τουτέστι, τῶν ἑξῆς ῥηθησομένων. — Στ. 24, Εἰσπνεῖν.] Ὅθεν καὶ

Εἰσπνήλης παρὰ Λάκωσιν ἐκαλεῖτο ὁ ἐραστής. Ἔλεγον δ' αὐτὸ τοῦτο καὶ Ἐμπνεῖν, καθά φησι Πλούταρχος (Κλεομέν. §. 3.) — ΣΕΛ. 46, στ. 4, Τῇ Σπάρτῃ.] Διορθοῦνταί τινες γράφοντες, Ἐν τῇ Σπάρτῃ. — Στ. 5, Καὶ τὸ ἔτι θερμότερον.] Καὶ τὸ ἔτι δεινότερον· ὅτι δὲ καὶ τοῦτο σημαίνει ἡ λέξις, μάρτυς ὁ Κωμικὸς (Πλοῦτ. 415)·

Ὦ θερμὸν ἔργον, κἀνόσιον, καὶ παράνομον.

ΚΕΦ. ιδ', σελ. 46, στ. 12, Λόγος ἔχει.] Διέγραψα τὸ πρὸ τοῦ Λόγος βάρβαρον ἄρθρον· τὸ μὲν γὰρ Λόγος ἔχει, ταὐτὸ δύναται τῷ Λέγεται, ἢ τῷ Φασί· τοῦ δὲ ἐνάρθρου ἡ χρῆσις οἰκεία τοῖς παροιμίας τινὸς μνημονεῦσαι βουλομένοις, οἷον, « Ὁ γὰρ παλαιὸς λόγος εὖ ἔχει, ὡς ὅμοιον ὁμοίῳ ἀεὶ πέ» λάζει ». — Δωμάτων.] Ἴσως γρ. Δωματίων, τουτέστι, Κοιτώνων, θαλάμων· καὶ γὰρ ὁ Ἀθήναιος (σελ. 442), ἐξ οὗ ταῦτα, τοὺς ἰδίους θαλάμους ἐκμισθῶσαι σὺν ταῖς αὐτῶν γυναιξὶ τοὺς Βυζαντίους φησί· — Στ. 14, Ἐπιμισθώσαντας.] Ἐπιλέλησμαι οὐκ οἶδ' ὅπως γράψαι Ἀπομισθώσαντας, ὡς ἔν τινι τῶν ἀντιγράφων φέρεται. — Στ. 21, Ἀλλοτριώτατα.] — Ἐξ ἑτέρων διορθώσεως, ἀντὶ τοῦ, Ἀλλοτριώτατοι. — ΣΕΛ. 47, στ. 4, Ἐπίνομεν.] Διωρθωσάμην ἐκ τοῦ Ἀθηναίου, ἀντὶ τοῦ, Ἔπινε. τὴν δὲ διάθεσιν καὶ τάξιν τῶν στίχων ἐξ ἑτέρων παρείληφα.

ΚΕΦ. ιέ, σελ. 47, στ. 8, Διαβεβόηται.] Ἐξ ἀντιγράφου, ἀντὶ τοῦ Διαβεβαίωται. — Στ. 9, Δὲ ταύτην τὴν αἰτίαν.] Ἐξ ἀντιγράφου, ἀντὶ τοῦ, Δὲ νῦν τὴν τοιαύτην αἰτίαν· πάλαι γὰρ ταῦτα, καὶ οὐκ ἐπ' Αἰλιανοῦ, ἱστόρηται τὰ περὶ Ἰλλυριῶν. — Στ. 12, Ἢ ἂν βούληται.] Οὕτω γράφειν δεῖν ἔγνων, ἀντὶ τοῦ Ἐὰν βούληται· δῆλον δὲ καὶ ἐκ τῶν ἑξῆς. Ἀθήναιος δὲ (σελ. 443) τἀναντία ἱστόρηκε, λέγων ὅτι ταῖς γυναιξὶν ἐφεῖτο προπίνειν οἷς ἂν τύχοιεν τῶν παρόντων.

ΚΕΦ. ιζ. σελ. 47, στ. 22, Ἐφ' ἡσυχίας κατεβίωσαν;] Παρεμυθησάμεθα μικρὸν τῇ ἐρωτηματικῇ στίξει τὸ τοῦ χωρίου γριφῶδες. παράβαλλε δὲ τοῖς ἑξῆς (Ζ, ιδ). — ΣΕΛ. 48, στ. 16, Οὖσαν· καὶ διὰ ταῦτα οὔτε ἐπεψήφισεν Ἀθηναίοις τὸν κ. τ. λ.] Ἐξ ἑτέρων διορθώσεως ἀντὶ τοῦ Οὖσαν Ἀθηναίοις· καὶ διὰ ταῦτα οὔτε ἐψήφισε τόν. Ἐπιψηφίζειν γὰρ ἐλέγετο παρὰ τοῖς Ἀττικοῖς, τὸ ψήφους προβάλλοντα τῷ δήμῳ ἐρωτᾷν, ὅτῳ δοκεῖ, ἢ μὴ δοκεῖ καταγνῶναί τινος· ὅπερ οἱ Γάλλοι διὰ τοῦ Mettre aux voix ἐκφράζειν εἰώθασι. μαρτυρεῖ δὲ καὶ Ξενοφῶν (Α. Ἀπομνημ. α, 18), αὐτὸ τοῦτο περὶ Σωκράτους λέγων, ὅτι, « Ἐπιστάτης ἐν τῷ δήμῳ γενόμενος, ἐπιθυμήσαντος » τοῦ δήμου παρὰ τοὺς νόμους ἐννέα στρατηγοὺς μιᾷ ψήφῳ ἀποκτεῖναι πάν» τας, οὐκ ἠθέλησεν ἐπιψηφίσαι ». καὶ σημείωσαι ὅτι δέκα λέγει τοὺς στρατηγοὺς Αἰλιανὸς, καθὰ καὶ Οὐαλέριος Μάξιμος, καὶ πολὺ πρότερον Πλάτων· Ξενοφῶν δὲ ἐννέα· περὶ ἧς διαφορᾶς ἔπιθι τὰ σημειωθέντα ὑπὸ τῶν κριτικῶν εἰς τὸν Διόδωρον τὸν Σικελιώτην (ΙΓ, ρά). — Στ. 23, Ἐπὶ ςόμα.] Ἔσωσε τοῦτο ἡ συνήθεια εἰς ἐπίῤῥημα τρέψασα τὸ, Ἐπίστομα, ὅπερ οἱ εἰς τὸ χυδαιέστερον καταφερόμενοι, Πίστομα, καὶ Πίστουμα λέγουσιν. — Στ. 32. Ἀφίκοντο καὶ ἐκεῖνοι.] Διαγραπτέος ὁ Καί. — ΣΕΛ. 49, στ. 1,

Ἐνέτρεψαν τὴν σύγκλητον.] Εἰς αἰδῶ καὶ σέβας ἐκίνησαν. οὐ πολὺ παρὰ τοῖς ἀρχαίοις τὸ Ἐντρέπω καὶ ἡ ἐντροπή, κατακορέστερον τούτοις χρησαμένων τῶν μεταγενεστέρων, καὶ μάλιστα τῶν κατὰ τοὺς Πτολεμαϊκοὺς καὶ τοὺς ἑξῆς χρόνους. ἡ δὲ συνήθεια τὸ μὲν ἐντροπὴ οἶδε· τοῦ δὲ ῥήματος τὴν μέσην ἐφύλαξε διάθεσιν, Ἐντρέπομαι ἐπὶ μεταβατικῆς ἐννοίας χρησαμένη τῷ Ἐντροπιάζω, ὃ ταὐτὸ δύναται τῷ Καταισχύνω. Πλούταρχος δὲ καὶ Διατρέπω ἀντὶ τοῦ Ἐντρέπω εἴρηκε· καὶ ἴσως ἦν ὅτε ἦν ἐν χρήσει καὶ τὸ μετὰ διπλῆς προθέσεως Διεντρέπω, ὅθεν τὸ τῆς συνηθείας Ἀδιέντροπος, ὁ ἀναίσχυντος, ὃν ἡ χυδαΐζουσα φωνὴ Ἀδιάντροπον ὀνομάζει· ἐνδέχεται μέντοι μὴ τῷ ᾱ, ἀλλὰ τῷ πλεονασμῷ τοῦ ν̄ γεγονέναι τὸν χυδαϊσμόν, ἀντὶ τοῦ Ἀδιάτροπος, ὃν ὁ Σειρὰχ (Κϛ, ιά) Ἀδιάτρεπτον εἴρηκεν « Ἐπὶ θυγατρὶ ἀδιατρέπτῳ » στερέωσον φυλακήν, ἵνα μή, εὑροῦσα ἄνεσιν, ἑαυτῇ χρήσηται ». — Στ. 3, Ἐγὼ δὲ πολιτείαν φαίην ἄν.] Ὁ μὲν Δὲ ἐξ ἀντιγράφου· προσέθηκα δὲ καὶ τὸν Ἄν, διὰ τὸ ἀσόλοικον· ἐγέγραπτο γάρ, Ἐγὼ καὶ πολιτείαν φαίην. — Στ. 11, Κἂν ἁρπάσαιμι.] Ἔτρεψα τὸ Καὶ εἰς τὸ Κἄν, ἵν' ᾖ ὁ νοῦς ἐμφατικῶς, Οὐχ ὅπως ἂν λάβοιμι διδομένην ὑφ' ἑτέρου, ἀλλὰ καὶ ἁρπάσαιμι ἂν ἐπιδραμὼν αὐτός, ἥν μή τις διδῷ.

ΚΕΦ. ιή, σελ. 49, στ. 15, Καὶ ὑπὲρ τούτων ὁ Σειληνὸς ἔλεγε.] Οὐκ ἔῤῥωται τὸ χωρίον· ὤφειλε γὰρ εἶναι, Ἀτὰρ οὖν καὶ ὑπὲρ κ. τ. λ. (ὡς Β, μδ, Γ, κ, Δ, ιθ') ἤ, Καὶ οὖν καὶ ὑπὲρ (ὡς Β, ιζ), ἢ ἄλλο τι τοιοῦτον, ἵν' εἶχε συνάπτεσθαι τοῖς προηγουμένοις. — ΣΕΛ. 50, στ. 1, Καὶ διατελοῦσιν (ἢ δ' ὃς) ὑγιεῖς καὶ ἄνοσοι.] Παρείληφα τὸ Ὑγιεῖς ἐξ ἀντιγράφων. — Στ. 9, Διακοσίων μυριάδων . . . . . καὶ διαπλεύσαντάς γε τὸν ὠκεανὸν μυριάσι χιλίαις ἀνθρώπων.] Ἀνάρθρως, Ἀνθρώπων, γραπτέον εἶναι ὑπείληφα, ἀντὶ τοῦ παρ' ἅπασι, Τῶν ἀνθρώπων· ἴσως δὲ καὶ ἀντὶ τοῦ, Διακοσίων μυριάδων, γραπτέον, Δισχιλίων μυριάδων, ἵνα μὴ μάχοιτο ἀλλήλοις τὰ λεγόμενα· εἰ γὰρ διακοσίων ἦν μυριάδων ὁ τῶν οἰκητόρων ἀριθμός, πῶς δισχιλίαις μυριάσι διαπλεῦσαι τὸν ὠκεανὸν ἠδύναντο; ἐφεῖται μὲν γὰρ τῷ μυθολογοῦντι ἀπίθανα, οὔ γε μὴν καὶ ἀδύνατα τερατεύεσθαι. — Στ. 18, Ὡς φαύλως.] Ἐξ ἀντιγράφου, ἀντὶ τοῦ, Ὡς φαύλους. — Στ. 24, Κατειλῆφθαι δὲ οὔτε ὑπὸ σκότους κ. τ. λ.] Ἔοικέ πως ταῦτα τοῖς τῷ Πυθέᾳ τερατολογηθεῖσι περὶ Θούλης τῆς νήσου, ἐν ᾗ οὔτε γῆ, κατ' ἐκεῖνον, ὑπῆρχεν ἔτι, οὔτε θάλασσα, οὔτ' ἀήρ, ἀλλὰ σύγκριμά τι ἐκ τούτων ἁπάντων πλεύμονι θαλαττίῳ ἐοικὸς (Στράβ. Γεωγρ. Β, σελ. 104). — ΣΕΛ. 51, στ. 8, Ὁ Χῖος.] Θεόπομπος δηλονότι ὁ ἐκ Χίου, Ἰσοκράτους μαθητής, ὁ ταῦτα μυθολογήσας.

ΚΕΦ. ιθ, σελ. 51, στ. 11, Ἠρέσκετο.] Προειλόμην τὸν ἐν ἀντιγράφοις παρατατικὸν τοῦ παρ' ἄλλοις Ἠρέσατο. — Στ. 27, Ὀγδοήκοντα ἐτῶν ἐγεγόνει ὁμοῦ τι, καὶ διὰ τὴν ἡλικίαν κ. τ. λ.] Σύναπτε τό, Ὁμοῦ τι τῷ Ὀγδοήκοντα, ἵν' ᾖ ὁ νοῦς, Σχεδὸν ὀγδοήκοντα, ὥς φαμεν ἐν τῇ συνηθείᾳ. οἱ δὲ πρὸ ἡμῶν ἅπαντες, τῇ κακῇ στίξει τοῖς ἑπομένοις συνάψαντες (ἐγράφετο γάρ, Ὀγδοήκοντα ἐτῶν ἐγεγόνει, ὁμοῦ τι καὶ διὰ τὴν ἡλικίαν), ἀντὶ τοῦ Ἅμα ἐξεδέξαντο· εἰσὶ δ' οἳ καὶ εἰς τὸ Ὁμοῦ τε μεταβαλεῖν ὥρμησαν. — ΣΕΛ. 52, στ. 22, Εἰς τοσοῦτον προῆλθε φιλοτιμίας.] Ἐπηνώρθωκα τὸ κακῶς γεγραμμένον Περιῆλθε.

ΚΕΦ. κ', σελ. 52, στ. 30, Κατεσκεύασται.] Ἐν ἑτέροις γρ. Διεσκεύασται.

ΚΕΦ. κϐ', ΣΕΛ. 53, στ. 17, Ἀναθέμενος τοῖς ὤμοις.] Προσέθηκα τὸ ἄρθρον, διά τε τὸ ἀσόλοικον, καὶ ὅτι αὐτὸς Αἰλιανὸς ἐχρήσατο, αὐτὸ τοῦτο τὸ κατὰ τὸν Αἰνείαν καὶ ἀλλαχοῦ (Σουΐδ. λέξ. Εὐάγκαλον) διηγούμενος.

ΚΕΦ. κγ', ΣΕΛ. 54, στ. 2, Καλὰ δὲ καὶ τὰ τῆς ἄλλης.] Προσέθηκα τὸ ἄρθρον, Τὰ, ἐπίσης ὂν ἀναγκαῖον, ὥσπερ δὴ καὶ τὰ προηγούμενα καὶ τὰ ἑπόμενα. — Στ. 11, Παρ' Εὐμαίῳ.] Οἱ μὲν, παρ' Εὐμένει, ἕτεροι δὲ, Παρὰ Μηδίῳ, γραπτέον εἶναι διατείνονται ἐνταῦθα. — Στ, 18, Ἀπεῖχε τῶν βασιλείων.] Γράφε, Ἀπεῖχε δὲ τῶν βασιλείων· εἰκὸς γὰρ παρῶφθαι τὸν σύνδεσμον ἁμαρτίᾳ τῶν γραψάντων. — Στ. 22, Ἀναγράψαντες.] Ἐξ ἀντιγράφου, ἀντὶ τοῦ ἁπλοῦ, Γράψαντες. — Στ. 24, Καὶ ἐκεῖνός ἐςι.] Καίπερ εὐεπιφόρου εἰς τοὺς ἀκαίρους πλεονασμοὺς ὄντος τοῦ Αἰλιανοῦ, εἰκὸς ὅμως ἐνταῦθα ἡμαρτῆσθαι τὴν γραφὴν ἀντὶ τοῦ, Καὶ Διόδοτός ἐςι· παρὰ γὰρ τῷ Ἀθηναίῳ (σελ. 434) ἐξ οὗ ταῦτα ἠρανίσατο ὁ Αἰλιανὸς, διαῤῥήδην ὁ Διόδοτος μνημονεύεται· « Ἔπινε δὲ ὁ Ἀλέξανδρος πλεῖςον. . . . δηλοῦται » δὲ τοῦτο ἐν ταῖς ἐφημερίσιν αὐτοῦ, ἃς ἀνέγραψαν Εὐμένης τε ὁ Καρδια- » νὸς, καὶ Διόδοτος ὁ Ἐρυθραῖος. »

ΚΕΦ. κδ', σελ. 54, στ. 25, Τῶν τε ἄλλων σπουδαίων.] Προσέθηκα τὸν, Τε, διὰ τὸ ἐπαγόμενον, Καὶ οὖν καί. — Στ. 27, Ἀποθνήσκοντι.] Μεταμέλει μοι ἐπὶ τοῦ παρόντος ἀποκαταστήσαντι τὸ ἐν τοῖς ἀντιγράφοις φερόμενον Ἀποθνήσκοντι, ἀντὶ τοῦ, Ἀποθνήσκοντα.

ΚΕΦ. κς', ΣΕΛ. 55, στ. 13, Φιλόπατρις.] Προειλόμην τὴν τῶν κριτικῶν διόρθωσιν τῆς ἡμαρτημένης γραφῆς Φιλόπαις. — Στ. 18, Ὡς δ' οὐκ ἐπίσθη.] Ἀσυνάρτητον τοῦτο πρὸς τὰ ἄνω· ὅθεν οὐκ ἀπιθάνως διορθοῦνταί τινες, Ὁ δ' οὐκ ἐπείσθη. ἔγνων μέντοι κατὰ χώραν ἐᾶν τὴν γραφὴν διὰ τὸ εὐκατάφορον τοῦ Αἰλιανοῦ ἐπὶ τὰς τοιαύτας ἀσυνταξίας. — Στ. 25, Ὁ δὲ συνεϐούλευε.] Ὁ Πίνδαρος δηλονότι, μετὰ τὸ συνάψαι τὰ τείχη τῷ νεῷ διὰ τῶν θωμίγγων. ἴσως δὲ γραπτέον, ὥς τινες παρῄνεσαν, Τότε δὲ συνεϐούλευε. ἱστορεῖ τοῦτο καὶ Ἡρόδοτος (Α, κς'), παρεὶς τὸ Πινδάρου ὄνομα. Θῶμιγξ δὲ, τὸ λεπτὸν σχοινίον, κατὰ τοὺς Λεξικογράφους — ΣΕΛ. 56, στ. 3, Τὴν μετ' ἐλευθερίας ἀσφάλειαν. Οὕτω διορθωτέον ᾠήθην εἶναι τὸ παρ' ἅπασι κακῶς γραφόμενον, Τὴν μετ' ἐλευθερίας φυγήν.

ΚΕΦ. λ', ΣΕΛ. 57, στ. 8, Ὁ τῆς τραγῳδίας ὑποκριτής.] Εἰκὸς παραλελεῖφθαί τι τῶν περὶ Διογένους ἐνταῦθα ἀϐλεψίᾳ τῶν ἀντιγραφέων, ὅπερ ἀναπληροῦν ἔξεστιν ἐκ τοῦ περὶ ζώων ἰδιότητος (ς', α') « Ἀκόλαστον κοίτην » ἀπείπατο παντελῶς πᾶσαν ».

ΚΕΦ. λϐ', σελ. 57, στ. 19, Οὐκ ἐπὶ τέχνῃ κιθαρίζειν μέλλοντι.] Οὐ μέλλοντι τῷ κιθαρίζειν ὡς ἐπιτηδεύματι καὶ τέχνῃ χρήσεσθαι, οὐκ ἐσομένῳ κιθαριστῇ· τοῦτο γὰρ ἐνταῦθα τὸ, Ἐπὶ τέχνῃ, βούλεται, πρὸς ὃ ἀντιδιέσταλται τὸ, Ἐπὶ παιδείᾳ τι μανθάνειν· ἢ δῆλον ἐκ τῶν εἰρημένων τῷ Πλάτωνι (Πρωταγόρ. σελ. 312) « Τούτων γὰρ σὺ ἑκάστην οὐκ ἐπὶ τέχνῃ ἔμαθες, » ὡς δημιουργὸς ἐσόμενος, ἀλλ' ἐπὶ παιδείᾳ, ὡς τὸν ἰδιώτην καὶ τὸν ἐλεύ- » θερον πρέπει ». περιττὴ δὲ ἡ ἐπανάληψις τῆς μετοχῆς, Μέλλοντι. —

Στ. 20, Μὴ ὢν ἀπαίδευτος.] Ἱστορίας δηλονότι. ὁ νοῦς, ἐφοβήθη τὴν τύχην τοῦ Λίνου, εἰδὼς ἐξ ἱστορίας ἃ Λίνος ἐπεπόνθει ὑφ' Ἡρακλέους.

ΚΕΦ. λγ' ΣΕΛ. 58, στ. 7, Εἰ μὴ ἐγὼ κ. τ. λ.] ἐκ τῆς Ἰλιάδος (Ε, 215)· τὸ δὲ πλῆρες,

Αὐτίκ' ἔπειτ' ἀπ' ἐμεῖο κάρη τάμοι ἀλλότριος φὼς,
Εἰ μὴ ἐγὼ τάδε τόξα φαεινῷ ἐν πυρὶ θείην.

ΚΕΦ. λέ, σελ. 58, στ. 16, Ῥαθυμία.] Ῥαθυμίαν ἐνταῦθα λέγει τὴν διάχυσιν καὶ περιχάρειαν τῆς ψυχῆς· ἢ δῆλον καὶ ἐκ τοῦ Ἐκραθυμῶ, καὶ τοῦ Ἐκραθύμησις, ἅπερ ἡ χυδαία συνήθεια μετεποίησεν εἰς τὸ Ξεραθυμῶ, καὶ Ξεραθύμησις. — Φυλάττειν.] Ἐξ ἀντιγράφων, ἀντὶ τοῦ παρὰ τοῖς ἄλλοις, Φυλαχθῆναι.

ΚΕΦ. λστ', σελ. 58, στ. 20, Ὄχνη ἐπ' ὄχνῃ κ. τ. λ.] Ἐν ἄλλοις, Ὄγχνη ἐπ' ὄγχνῃ, ὡς καὶ παρ' Ὁμήρῳ (Ὀδυσσ. Η, 120), ἐξ οὗ καὶ παρῴδησεν αὐτὰ ὁ Σταγειρίτης. μνημονεύει δὲ τῆς παρῳδίας καὶ Εὐστάθιος, ἐξηγούμενος τὸ Σῦκον ἐπὶ σύκῳ, « Ὅπου τὰ τῆς συκοφαντίας διηνεκῆ καὶ ἀδιά» δοχα, καὶ τῷ μακρῷ τοῦ χρόνου συμπαρεκτεινόμενα ». — ΣΕΛ. 59, στ. 4, Τὸν καθ' ἑαυτὸν.] Ἐξ ἀντιγράφου, ἀντὶ τοῦ Τὸν κατ' αὐτόν.

ΚΕΦ. λζ', σελ. 59, στ. 5, Ὥσπερ ἐπὶ ξενίᾳ παρακαλοῦντες ἑαυτοὺς, ἢ ἐπί τινα ἑορταστικὴν θυσίαν, συνελθόντες καὶ στεφανωσάμενοι.] Καὶ τῇ γραφῇ καὶ τῇ στίξει ἡμάρτητο τὸ χωρίον, Ὥσπερ ἐπὶ ξενίᾳ.... ἑορταστικὴν θυσίαν ἀνελθόντες, καὶ στεφανωσάμενοι. διώρθωκα οὖν, τρέψας τὸ παρ' ἅπασιν Ἀνελθόντες εἰς τὸ Συνελθόντες, καὶ διαστείλας τοῦ προηγουμένου, Θυσίαν. ἴσως δὲ διά γε τοῦτο τὸ Θυσίαν, καὶ τοῦ, Ξενίᾳ, τὸ ἔν τινι τῶν ἀντιγράφων φερόμενον, Ξενίαν, προελέσθαι ὤφειλον.

ΚΕΦ. λθ', σελ. 59, στ. 17, Ἀχράδας.] Τὰς ἀγρίας ἀπίους, ἅσπερ ἡ συνήθεια Ἀχλάδας, καὶ οὐδετέρως. Ἀχλάδια, καλεῖ, τρέψασα τὸ ρ εἰς τὸ λ, καθὰ καὶ ἐν ἄλλοις, ὧν ἐποιησάμεθα μνείαν ἐν ταῖς εἰς τὸν Ἡλιόδωρον σημειώσεσι (σελ 218). — Καλάμους.] Τὰ ἐν τῇ συνηθείᾳ Σακχαροκάλαμα. Στ. 19, Τέρμινθον.] Λέγεται καὶ Τερέβινθος ἡ δ' ἐξ αὐτῆς ῥέουσα ῥητίνη καλεῖται Τερεβινθίνη, ὅθεν τὸ τῶν Γάλλων Térébenthine, καὶ τὸ τῶν Ἰταλῶν Trementina. ἡ συνήθεια τὸ μὲν δένδρον ἐκάλεσε Τζικουδίαν, τὸν δὲ καρπὸν, Τζίκουδον, οὐδετέρως· καὶ ἔοικεν ἁμαρτηθείσης πρῶτον τῆς τοῦ καρποῦ γραφῆς Τζίκουδον, παρὰ τὸ ὑποκοριστικὸν τοῦ Κόκκου Κοκκίδιον (ὅπερ ἐπ' ἄλλων καὶ Κούκουδον κοινῶς λέγεται), ἔπειτα καὶ τὴν κλῆσιν τοῦ δένδρου εἰς τὸ Τζικουδία μεταπεσεῖν, ὥσπερ ἂν εἰ φαίη τις Κοκκιδία, τουτέστιν ἡ τοὺς κόκκους φέρουσα..

ΚΕΦ. μ', ΣΕΛ. 60, στ. 1, Σάτυροι. Σάτυροι δέ.] Διαγραπτέον τὸ πρῶτον, Σάτυροι· λείπει δὲ καὶ ἔν τινι τῶν ἀντιγράφων. — Στ. 2, Τὸν δὲ Σίλλον ψόγον κ. τ. λ.] Οὕτω γραπτέον παροξυτόνως ἀντὶ τοῦ παρὰ τοῖς ἄλλοις Σιλλόν· Σίλλος μὲν γὰρ οὐσιαστικῶς ἐστιν ὁ ψόγος καὶ διασυρμὸς, ὅθεν καὶ τὸ Σιλλαίνειν, ἤγουν τὸ σκώπτειν καὶ διασύρειν, καὶ ὁ Σιλλογράφος ἐπονομασθεὶς Τίμων, διὰ τὸ ἐμμέτρως σκῶψαι πολλοὺς τῶν ἀρχαίων. Σιλλὸς δὲ, ἐπιθετικῶς, ἢ Σιλλὰς (γράφεται γὰρ καὶ οὕτως), ταὐτὸ δύναται

τῷ Σιμός. καὶ ἔοικεν ἐντεῦθεν καὶ ὁ Σίλλος πεποιῆσθαι, διὰ τὸ σιμοῦν ἀμηγέπη τὴν ῥῖνα τοὺς σκώπτοντας. — Στ. 5. Οἰνάδων. ] Διορθοῦσί τινες Οἰνάρων, ἔστι δὲ Οἴναρα τὰ τῆς ἀμπέλου φύλλα· Οἰνὰς δὲ αδος, ἢ καὶ Οἴνη, αὐτὴ ἡ ἄμπελος· Οἰνάνθη δὲ ἡ πρώτη ἔκφυσις τῆς ἀμπέλου.

ΚΕΦ. μά. σελ. 60, Μετωνυμίαι.] Ἐπωνυμίαι, ὤφειλεν εἰπεῖν, οὐ γὰρ μετωνομάζετο, ἀλλ' ἐπωνομάζετο παρ' ἄλλοις ἄλλως ὁ Διόνυσος. — Στ. 7, Φλεῶνα] Οἱ δὲ Χῖοι καὶ Φλέα ἀπὸ τῆς Φλεὺς εὐθείας, ἤ φησιν ὁ Ἐτυμολόγος (σελ. 796). εὕρηται δὲ καὶ Φλυοῦς, ουντος, ὁ αὐτὸς καλούμενος (Σχολ. Ἀπολλών. Ἀργον. Α, 115).

ΚΕΦ. μϐ', σελ. 60, στ. 9, Ἐλέγη καὶ Κελαινὴ]. Ἄλλως ταύτας ὀνομάζει Ἀπολλόδωρος (Β, ϐ'), καὶ τρεῖς γεγονέναι φησὶ, Λυσίππην, Ἰφινόην καὶ Ἰφιάνασσαν. — Στ. 15, Ὡς ἐνθεώτατοι.] Γραπτέον, Ὡς ἐνθεώτατα, τουτέστιν ἄγαν ἐνθουσιαστικῶς καὶ μετὰ πάσης ἀκοσμίας. — στ. 16. Ἡ τραγῳδία.] Οἷα ἐστὶν ἡ καλουμένη τοῦ Εὐριπίδου Βάκχαι. — Στ. 17, Λευκίππην κ. τ. λ.] Καὶ αὗται ἄλλως παρ' ἄλλοις ὀνομάζονται. — Στ. 21, Ἐργάνην.] Οὐσιαστικῶς ἐνταῦθα, οὐκ ἐπιθετως ὡς ἐν τοῖς πρόσθεν (Α, β), ἐκδεκτέον τὸ Ἐργάνην.

ΚΕΦ. μγ', ΣΕΛ. 61, στ. 17, Οὐκ ἀλεείνας. ] Οὐκ εὐλαβηθεὶς, οὐ ζητήσας ἐκκλίναι, ὡς ἐξηγεῖται Ἡσύχιος (λέξ. Ἀλεείνων). ἐνδέχεται μέντοι τὴν γραφὴν ὑπάρξαι πάλαι, Οὐκ ἀλεγύνας, τουτέστιν, οὐ φροντίσας, οὐδένα λόγον ποιησάμενος· καὶ ἔστι πολὺ παρ' Ὁμήρῳ τὸ Ἀλεγύνειν, καὶ τὸ θεματικώτερον Ἀλέγειν, ἀντὶ τοῦ Φροντίζειν, οἷον (Ἰλιάδ. Π, 388),

Ἐκ δὲ δίκην ἐλάσωσι, θεῶν ὄπιν οὐκ ἀλέγοντες.

Στ. 19, Οὐδὲ παραιτητόν. ] Παρείληφα ἐξ ἑτέρων διορθώσεως ἀντὶ τῆς γραφῆς, Οὐδ' ἀπαραίτητον. — Στ. 20, Ἀλλ' αὐτῶν κεφαλῆσι.] Παρὰ τὸ Ὁμηρικὸν (Ἰλιάδ. Δ, 162),

Σὺν σφῇσι κεφαλῇσι, γυναιξί τε καὶ τεκέεσσιν.

ΚΕΦ. μδ', Σελ. 61, στ. 26, Συμπεριτυγχάνουσιν. ] Ἐξαλειπτέα δοκεῖ ἡ ἑτέρα τῶν προθέσεων, ἡ πρώτη. — ΣΕΛ. 62, στ. 1, Ὁ δὲ δεύτερος ] Ἐξ ἀντιγράφων ἀντὶ τοῦ, Ὁ δὲ ἕτερος. — Στ. 7, Καὶ τῷ ἑτέρῳ δέ.] Περιττὸς ὁ Καί.

ΚΕΦ. μζ', ΣΕΛ. 63, στ. 3, Κλέπτων. ] Κρύπτων. — Στ. 7, Ἐκαινούργει.] Ἐνεωτέριζε. — Στ. 12, Ἀντιπάτρῳ τὸν Πειραιᾶ προδιδόναι.] Μᾶλλον μὲν οὖν Κασσάνδρῳ τῷ τοῦ Ἀντιπάτρου, ὡς ἱστορεῖ Πλούταρχος (ἐν Φωκίωνι). ἀντὶ δὲ τοῦ Προδιδόναι, ἔν τισι τῶν ἀντιγράφων φέρεται Παραδοῦναι.

## ΒΙΒΛΙΟΝ ΤΕΤΑΡΤΟΝ.

ΚΕΦ. ά, ΣΕΛ. 64, στ. 11, Παρακαταθήκην. ] Ἐπὶ τῆς ὑποθήκης, ἤγουν τοῦ ἐνεχύρου, ἐνταῦθα. — Στ. 14, Ὡς πολλὰ ἁμαρτάνοντα, τοῦ σώματος διὰ τὸ γῆρας πεπονηκότος. ] Διωρθωσάμην τὸ κακῶς γεγραμμένον, Ὡς πολλὰ ἁμαρτάνοντος τοῦ σώματος, τοῦ διὰ τὸ γῆρας πεπονηκότος.

ΚΕΦ.

ΚΕΦ. β', ΣΕΛ. 65, στ. 11, Κιθαριστήν.] Κιθαριστὴς (ὁ καὶ Ψιλοκιθαριστὴς λεγόμενος) ἐστὶν ὁ κιθαρίζων, Κιθαρῳδὸς δὲ ὁ μετὰ τοῦ κιθαρίζειν ᾄδων.

ΚΕΦ. γ', σελ. 65, στ. 22, Ἱματίων.] Ἴσως ἐγέγραπτο μετὰ τοῦ συνδέσμου, Καὶ ἱματίων.

ΚΕΦ. δ', ΣΕΛ. 66, στ. 2, Ἀπειλεῖ. . . . . ΖΗΜΙΑΝ ΤΟ ΤΙΜΗΜΑ ΔΡΑΝ.] Ἐξηγοῦνται τοῦτο ἀπιθάνως πάνυ, Ἀπειλεῖ ὁ νόμος τῷ γράψαντι ζημίαν ἐπιβαλεῖν τὸ τίμημα τῆς γραφῆς. ἡμεῖς δὲ θαῤῥοῦντες ἀποφαινόμεθα ἡμαρτῆσθαι τὸ χωρίον· εἰ δέ τις καὶ τὴν διόρθωσιν παρ' ἡμῶν αἰτοίη, ταύτην δὲ οὐκ ἔτι θαῤῥούντως ἂν ἔχοιμεν παρασχέσθαι· εἰκὸς μέντοι γεγραφέναι τὸν Αἰλιανὸν, Ἀπειλεῖ. . . . . ΖΗΜΙΑΣ ΠΡΟΣΤΙΜΗΜΑ Α ΔΡΑΧΜΩΝ, ἢ, Ἀπειλεῖ. . . . . ΖΗΜΙΑΝ ΤΙΜΗΜΑ Α ΔΡΑΧΜΩΝ, ἵνα ᾖ ὁ νοῦς (τοῦ ὑπογεγραμμένου Α τὸ Χιλίων δηλοῦντος), Ἀπειλεῖ εἰσπράξασθαι τὸν γράψαντα χιλίας δραχμάς. καὶ ὅτι μὲν οὐδὲν ἔχει βίαιον ἡ τοιαύτη διόρθωσις, αὐτόθεν ἐστὶ καταφανὲς τοῖς καὶ μικρὸν ἐπιστήσασιν· ὅτι δὲ καὶ πολὺ κέκτηται τὸ πιθανὸν, μαρτυρεῖ αὐτὸς ὁ Αἰλιανὸς, ἀλλαχοῦ (ΙΔ, ζ) εἰπὼν, «Καὶ » ἠπείλησεν αὐτῷ φυγῆς προστίμησιν, ἐὰν μὴ κ. τ. λ.» καὶ αὖθις (Ε, ιϐ), » Ζημίαν ἐτιμήσαντο τῷ Δημάδῃ ταλάντων ἑκατόν».

ΚΕΦ. έ, σελ. 66, στ. 13, Τὸν ἀγῶνα ἔθεσαν ἐπ' αὐτῷ.] Ἐξ ἑτέρων διορθώσεως, ἀντὶ τοῦ, Τὸν ἀγῶνα ἔθεσαν ἐπ' αὐτόν. — Στ. 14, Ἐξ ἀρχῆς.] Καὶ τοῦτο ἐξ ἑτέρων διορθώσεως, ἀντὶ τοῦ Ἐξάρχῳ. — Στ. 18, Οὐ μόνον δὲ ἐφείσατο.] Ἐν ἄλλοις γρ. Μόνου δὲ ἐφείσατο, κατὰ γενικὴν καὶ δίχα τοῦ ἀρνητικοῦ μορίου. — Στ. 25, Ἐπὶ τοὺς Μολιονίδας.] Ἐξ ἑτέρων διορθώσεως ἀντὶ τοῦ, Ἐπὶ τοῖς Μολιονίδαις — Στ. 27, Ἐπιχωριάζοντα αὐτοῖς.] Λείπει τὸ Αὐτοῖς ἐν ἄλλοις. — Στ. 28, Λυμαινόμενον αὐτῶν τὰ ἔργα.] Ἔργα ἐνταῦθα ἰδίως τὰ κατὰ τὴν γεωργίαν, ὡς καὶ παρ' Ὁμήρῳ (ἴδ. τὰ εἰς τὸ Ἱπποκράτ. περὶ Ἀέρων, Ὑδάτ. Τόπ. σημειωθέντα μοι, Τόμ. Β, σελ. 258)· ὅθεν παραλαβοῦσα ἡ συνήθεια Ἐργάτην ἐκάλεσε τὸν γεωργόν. — ΣΕΛ. 67, στ. 6, Χρύσεα χαλκείων.] Τουτέστι μεγάλα ἀντὶ μικρῶν· ἔστι δὲ ἡ παροιμία παρὰ τὸ Ὁμηρικὸν (Ἰλιάδ. Ζ, 236),

Χρύσεα χαλκείων, ἑκατόμβοι' ἐννεαβοίων.

ΚΕΦ. ζ', Ὅτι ἐνίοτε μήτε κ. τ. λ.] Οὕτω διορθοῦν ἔγνων δεῖν τὴν βάρβαρον ἐπιγραφὴν, Ὅτι ἐνίοτε μὴν μήτε ἐν θανάτῳ κακῶν ἐστιν ἀναπαῦσαι κ. τ. λ. — Στ. 12, Ἀναπαύονται.] Τῶν κακῶν δηλονότι· ἐκ τούτων ἴσως ἡ συνήθεια ὁρμηθεῖσα, καὶ ἁπλῶς ἐπὶ τοῦ Ἀποθνήσκειν ἐχρήσατο τῷ Ἀναπαύεσθαι· οἷον, Ἀνεπαύθη ὁ δεῖνα, ἀντὶ τοῦ Ἀπέθανε. — Στ. 17, Ἐπιτιμίδης.] Ἐξ ἀντιγράφων, ἀντὶ τοῦ, Ἐπιτιμήδης· ἄδηλον τίνα λέγει τοῦτον τὸν Ἐπιτιμίδην· εἰκάζουσι δέ τινες τὸν ἱστορικὸν Τίμαιον αἰνίττεσθαι, τὸν καὶ Ἐπιτίμαιον παρῳδικῶς ἐπονομασθέντα, διὰ τὸ πικρῶς ἐπιτιμητικὸν αὐτοῦ καὶ φιλόψογον.

ΚΕΦ. ή, ΣΕΛ. 68, στ. 19, Ἀνθ' ὧν ἐκεῖνος.] Μετὰ τὸ ἀνακτήσασθαι δηλονότι τὴν Αἴγυπτον, ἀποστᾶσαν καὶ καταφρονήσασαν αὐτοῦ.

ΚΕΦ. θ', ΣΕΛ. 69, στ. 7, Ἐπισύστησον.] Γράφεται καὶ, Ἀποσύστησον,

καὶ Ἀπόστησον, οὐδὲν ἄμεινον, εἰ μὴ καὶ χεῖρον, τῆς φερομένης γραφῆς Ἐπισύστησον· ὅπερ οὐκ ἀλόγως εἰς τὸ, Ἔτι σύστησον, τρέπειν παραινοῦσί τινες. — Στ. 10, Ἀτύφως.] Πῶς γὰρ οὐκ ἀτύφως, ὁ τὸ ἄτυφον παρ' αὐτοῦ μαθὼν τοῦ διδασκάλου Σωκράτους; περὶ οὗ ταῦτα λέγει Ἐπίκτητος (τῶν ἀτύφων καὶ οὗτος φιλοσόφων εἷς γεγονώς), « Ἤρχοντο πρὸς αὐτὸν βουλόμενοι » φιλοσόφοις ὑπ' αὐτοῦ συσταθῆναι, κἀκεῖνος ἀπῆγεν αὐτούς ». — Στ. 14, Τί δὲ ἐβούλετο αὐτῷ. ] Ἐξ ἀντιγράφου· ἐν ἄλλοις γράφεται, Τί δὲ ἐβούλετο αὐτοῦ. — Στ. 21, Ἀντιπαρεξήγαγεν. ] Γραπτέον οἶμαι, Ἀντιπαρεξῆγεν.

ΚΕΦ. ιά, ΣΕΛ. 70, στ. 2, Σκιμποδίῳ. ] Κραββατίῳ· σημαίνει δὲ ἄλλως καὶ τὸ ἐν τῇ συνηθείᾳ Σκαμνίον, τὸ παρὰ τὸ τῶν Λατίνων Scamnum. — Στ. 3, Βλαύταις. ] Ὑποδήματος εἶδος αἱ Βλαῦται.

ΚΕΦ. ιγ', σελ. 70, στ. 13, Ἐπῄνει τὴν ἡδονήν. ] Ἐν ἄλλ. Ἐπαινεῖ τὴν ἡδονήν. ἡδονὴν δὲ ἐνόει Ἐπίκουρος, ὡς αὐτὸς περὶ αὐτοῦ λέγει (παρὰ Διογένει τῷ Λαερτίῳ) οὐ τὴν ἐν ἀπολαύσει, ἀλλ' ἣν Καταστηματικὴν ἡδονὴν εἰώθει λέγειν, τουτέστι τὴν ἀταραξίαν τῆς ψυχῆς· προσετίθει δὲ καὶ τὴν χρυσῆν ταύτην γνώμην, καθά φησι Κάσσιος (παρὰ τῷ Κικέρωνι) ὡς « Οὐκ » ἔστιν ἡδέως ζῆν ἄνευ τοῦ καλῶς καὶ δικαίως ζῆν ».

ΚΕΦ. ιέ, ΣΕΛ. 71, στ. 20, Ἐλύπησε . . . . . κατέστρεψε. ] Ἀνακόλουθον πρὸς τὰ ἄνω· ὤφειλε γὰρ εἰπεῖν Λυπήσῃ . . . . . καταστρέψῃ. — Στ. 23. Καμὼν δὲ τὸν σπλῆνα. ] Καὶ Λαομέδοντα τὸν Ὀρχομένιον ὡσαύτως διὰ σπληνὸς καχεξίαν δρόμοις μακροῖς, τῶν ἰατρῶν κελευσάντων, τὴν ἕξιν διαπονήσαντα, ἐπιθέσθαι τοῖς στεφανίταις ἀγῶσιν ἔπειτα, καὶ τῶν ἄκρων γενέσθαι δολιχοδρόμων, ἱστόρηκε Πλούταρχος (Δημοσθ. §. 6) — Στ. 28, Καὶ τῇ ἑξῆς ΟΛΥΜΠΙΑΔΙ. ] Οὐκ ἔρρωται τὸ χωρίον· οὐδὲ πιθανοὶ οἱ διορθούμενοι, ἐπὶ ρϛη Ὀλυμπιάδι· ἴσως ἐγέγραπτο, Καὶ τῇ ἑξῆς (ἤγουν Ἡμέρᾳ) ἍΛΜΑ ΤΕ ΚΑῚ ΔΊΣΚΟΝ, ἢ κατὰ δοτικὴν, Ἅλματι καὶ δίσκῳ, ἤ τι τοιοῦτον. — ΣΕΛ. 72, στ. 4, Εὖ διαβάς. ] Ἰσχυρῶς ἐνστηριξάμενος τοῖς ποσὶ διαβεβηκόσι, κατὰ τὸ τοῦ Τυρταίου (Β, κά)·

Ἀλλά τις εὖ διαβὰς μενέτω, ποσὶν ἀμφοτέροισι
Στηριχθεὶς ἐπὶ γῆς. . . . . . . . . . . . . . . . . . . .

ΚΕΦ. ιζ', σελ. 72, στ. 19, Ὑπὸ τοῦ Κώσα τοῦ ποταμοῦ. ] Ἔπιθι τὰ πρόσθεν (Β, κϛ') σημειωθέντα. — Στ. 22, Σοφώτατον ὁ ἀριθμός. ] Ἐξ ἀντιγράφου (προσυπακουομένου τοῦ Εὕρημα)· ἐν τοῖς λοιποῖς φέρεται, Σοφώτατός ἐστιν ὁ ἀριθμός. — Στ. 25, Ὡς αὐγὴ τοῦ ἡλίου ἐστί. ] Ἐξ ἑτέρων διορθώσεως, ἀντὶ τοῦ προφανῶς ἡμαρτημένου, Ὡς ἡ γῆ τοῦ Νείλου ἐστί· καὶ Ἀναξιμένης γὰρ, ὁ κατὰ τοὺς αὐτοὺς Πυθαγόρᾳ χρόνους ἀκμάσας, ἔλεγε, » τὴν ἶριν γίνεσθαι κατ' αὐγασμὸν ἡλίου πρὸς νέφει πυκνῷ καὶ παχεῖ καὶ » μέλανι, κ. τ. λ. » (Πλούταρ. περὶ τῶν Ἀρεσ. τοῖς φιλοσόφ. Γ, έ). — ΣΕΛ. 73, στ. 2, Ἐπιστρεφομένου. ] Περιερχομένου· παρὰ τὸ (Ὀδυσσ. Ρ, 486),

Παντοῖοι τελέθοντες, ἐπιστρωφῶσι πόληας·

ταύτῃ δὲ τῇ Ὁμηρικῇ συντάξει καταλλήλως μάλα προσήρμοσται τὸ τῆς συν-

ηθείας, Γυρίζουσι τας πόλεις· — Στ. 6, Βαλανείῳ.] Δημοσίῳ δηλαδὴ βαλανείῳ μὴ χρῆσθαι παραινεῖ, οὐ τὸ λουτρῶν ὅλως ἀπέχεσθαι.

ΚΕΦ. ιή, σελ. 73, στ. 10, Παραιβάτην.] Οὕτως ἐκαλεῖτο ὁ κύριος τοῦ ἅρματος, ὁ ἐπὶ τοῦ δίφρου ἑστὼς καὶ μαχόμενος· ἡνίοχος δὲ ὁ τοὺς ἵππους ἐλαύνων (Ἰλιάδ. Ψ, 132),

Ἂν δ' ἔβαν ἐν δίφροισι παραιβάται, ἡνίοχοί τε,

Στ. 12, Χαρίεντα.] Λόγιον. — Στ. 13, Παρατρέψαντα.] Παρῳδήσαντα· Ὅμηρος γὰρ περὶ τῆς Ἀθηνᾶς τοῦτο πεποίηκε, φήσας (Ἰλιάδ. Ε, 839) » Δεινὴν γὰρ ἄγειν θεόν ». — 18, Ἔσχεν αἰδῶ.] Ἐξ ἀντιγράφων, ἀντὶ τοῦ Εἶχεν αἰδῶ.

ΚΕΦ. ιθ', σελ. 73, στ. 26, Διὰ τὴν ἐκ Φιλίππου.] Ἐξ ἀντιγράφου, ἀντὶ τοῦ, Διὰ τὴν τοῦ Φιλίππου.

ΚΕΦ. κ, ΣΕΛ. 74, στ. 4, Εἰς Βαβυλῶνα.] Ἐγράφετο, Καὶ εἰς Βαβυλῶνα· ἀλλὰ περιττὸς καὶ ὑφ' ἑτέρων ἐκρίθη ὁ σύνδεσμος, διὰ τὸ τοὺς Χαλδαίους ἐν Βαβυλῶνι μάλιστα γενέσθαι. — Στ. 7, Τοῖς ἀδελφοῖς τοῖς τρισί.] Ἐξ ἀντιγράφου, ἀντὶ τοῦ, Τοῖς ἀδελφοῖς δὲ αὐτοῦ τοῖς τρισί. — Τ' ἀργύριον.] Ἢ περιγραπτέον τὸ ἄρθρον, ἵνα ᾖ, Ἀργύριον μόνον λαβὼν, ὅσου ἔδει εἰς τὴν ὁδὸν, ἢ ἐκδεκτέον, Τῆς αὐτῷ ἐπιβαλλούσης τρίτης μερίδος τὸ ἀργύριον μόνον λαβών. — Στ. 9, Κρείττονα ἀγερμὸν κ. τ. λ.] Αἰνίττεται τὰ ἐν Ὀδυσσείᾳ (Γ, 301 καὶ Δ, 90). — Στ. 14, Τὸν Δημόκριτον Φιλοσοφίαν.] Ἴσως κἀνταῦθα γραπτέον Σοφίαν, ὡς παρ' ἑτέροις εὕρηται τοῖς περὶ τούτων ἱστορηκόσι. — Στ. 20, Δωριέα.] Ἐπεὶ ἡ Κῶς, ὅθεν Ἱπποκράτης, Δωριέων ἄποικος ἦν. — Στ. 21, Ἀλλ' οὖν τὴν τοῦ Δημοκρίτου χάριν.] Γράφεται καὶ, Καὶ τοῦ Δημοκρίτου χάριν, καὶ, Τὴν Δημοκρίτου χάριν. καὶ ταῦτα μὲν περὶ τῆς γραφῆς· ψεῦδος δὲ τὸ λεγόμενον· οὐ γὰρ Δημοκρίτῳ χαριζόμενος Ἰαστὶ συνέγραψεν Ἱπποκράτης, ἀλλ' ὅτι, ἤκμαζεν ἔτι τὸ τηνικαῦτα ἡ Ἰὰς, καὶ ἐσπουδάζετο τοῖς χαριεστέροις· ἢ τίνι φήσομεν χαριζόμενον τὸν ἐξ Ἁλικαρνασσοῦ (Δωρικῆς ἀποικίας καὶ ταύτης) Ἡρόδοτον, Ἰαστὶ καὶ αὐτὸν συγγράψαι;

ΚΕΦ. κγ', ΣΕΛ. 75, στ. 12, Οἱ τρεῖς κώνειον, κ. τ. λ.] Συνέχεε ταῦτα μνήμης ἁμαρτίᾳ ὁ Αἰλιανὸς, ἐκ τοῦ Ἀθηναίου παραλαβών· περὶ μὲν γὰρ Περικλέους ἐκεῖνος (Ἀθην. σελ. 533) τοῦτο μόνον φησὶν, ὅτι τὸ πολὺ μέρος τῆς οὐσίας εἰς Ἀσπασίαν κατανάλωσε· προϊὼν δὲ (σελ. 537), Καλλίαν μὲν, καταναλώσαντα τὰ πατρῷα χρήματα, εἰς τοσοῦτον περιστῆναι, ὥστε καὶ τῶν καθ' ἡμέραν ἀναγκαίων ἐνδεῆ γενόμενον οὕτω τελευτῆσαι τὸν βίον λέγει· Αὐτοκλέα δὲ καὶ Ἐπικλέα, καταναλώσαντας τὸν Νικίου καὶ τὸν Ἰσχομάχου πλοῦτον, καὶ μετ' ἀλλήλων ζῶντας, ἅμα καὶ τὸν βίον τελευτῆσαι πιόντας κώνειον.

ΚΕΦ. κδ', σελ. 75, στ. 14, Λεωπρέπης.] Οὕτω παροξυτόνως γραπτέον, ἵνα ᾖ κύριον ὄνομα· τὸ γὰρ παρὰ τοῖς ἄλλοις, Λεωπρεπὴς, ἐπιθέτου ἔμφασιν ἔχει. ὡσαύτως δὲ, καὶ ἐν τοῖς ἑξῆς (Δ, κζ), Παμφάους καὶ Παμφάης οὐκ ὤκνησα γράψαι, ἀντὶ τοῦ παρὰ τοῖς λοιποῖς Παμφαοῦς καὶ Παμφαής· τοῦτο μὲν γὰρ ἐπίθετον, οἷον εἴ τις Παμφαῆ τὸν Ἥλιον ἐπονομάζοι, ὁ δὲ

Παμφάης, ὄνομα κύριον, ὡς γράφεται καὶ παρὰ Νικολάῳ τῷ Δαμασκηνῷ (σελ. 243 τῆς παρούσ. ἐκδ.). καὶ ὅλως τὰ ἐπίθετα εἰς κύρια μεταλαμβανόμενα ἀναβιβάζει τὸν τόνον, οὐ μόνον παρὰ τοῖς Ἀρχαίοις, οἷόν ἐστι τὸ μετ' ὀλίγα (Δ, κς) Ξάνθος παρὰ τὸ Ξανθὸς, ἀλλὰ καὶ παρὰ τοῖς νῦν Ἕλλησι· Λάμπρος γὰρ φαμὲν, κυριωνυμοῦντες, καὶ Χρῖστος, παρὰ τὰ ἐπίθετα, Λαμπρὸς, καὶ Χριστὸς, κ. τ. λ. εὕρηται δὲ καὶ οὐσιαστικὰ τῷ αὐτῷ στοιχοῦντα κανόνι, οἷόν ἐστι τὸ κύριον Σταῦρος παρὰ τὸ Σταυρός.

ΚΕΦ. κέ, ΣΕΛ. 76, στ. 3, Συνοικῶν τῷ ἀῤῥωστήματι.] Ἀντὶ τοῦ Συνοικῶν, παραινοῦσί τινες (Πρακτ. Ῥηνοπερ. Ἀκαδημ. τεχν. καὶ ἐπιστ. Τομ. Γ, σελ. 122) γράφειν Εὐδοκῶν, οὐκ ἀναγκαίως, ἐμοί γε δοκεῖν. — Στ. 5, Ἐπαύσατο τῆς νόσου οὕτως.] Ἀντὶ τοῦ, Οὕτως, ἐν ἄλλοις φέρεται, Οὗτος.

ΚΕΦ. κς. σελ. 76, στ. 9, Πρεσβύτερος.] Διωρθωσάμεθα, καθὰ καὶ πρὸ ἡμῶν ἕτεροι, ἐκ τοῦ Ἀθηναίου (ΙΒ, σελ. 513), τὸ κακῶς γραφόμενον Πρεσβευτής. — Στ. 11, Λαοδίκην.] Οὕτω δὲ καὶ Ὅμηρος (Ἰλιάδ. Ι, 145) αὐτὴν ὠνόμακε.

ΚΕΦ. κζ', Περὶ Παμφάους . . . . . Παμφάης-] Ἐπιθι τὰ ἀνωτέρω σημειωθέντα (Δ, κδ). — Στ. 17, Τριάκοντα μνᾶς.] Διακοσίας μνᾶς εἰκάζουσί τινες γεγραφέναι τὸν Αἰλιανὸν, ὡς ἂν ἔχοιέν πως συμβάλλεσθαι αἱ διακόσιαι μναῖ τοῖς χιλίοις στατῆρσιν, οὓς δωρήσασθαι τῷ Κροίσῳ τὸν Παμφάη ἱστορεῖ Νικόλαος ὁ Δαμασκηνός· ἐλοίμην δ' ἂν ἔγωγε μᾶλλον γράφειν, Τριακοσίας. Στ. 21, Σοὶ δὲ θεοὶ κ. τ. λ.] Ἐκ τῆς Ὀδυσσείας (Ζ, 180)· ὁ δὲ λέγων, Ὀδυσσεὺς πρὸς οὔπω γημαμένην τὴν Ναυσικάαν· διὸ εἰκὸς καὶ τὸν Διογένην κακεμφάτως παρῳδήσαντα, πρὸς τὸν Διότιμον, κίναιδον ἴσως ὄντα, εἰπεῖν αὐτὰ ταῦτα· ἐμφαίνει γὰρ καί τι τοιοῦτον ὁ μαλθακός.

ΚΕΦ. κή, σελ. 76, στ. 24, Σύριος.] Οὐκ ἐκ τῆς Συρίας, ἀλλ' ἐκ τῆς Σύρου νήσου. ἦν δὲ Πυθαγόρου Διδάσκαλος ὁ Φερεκύδης (Ε, β), καὶ πρῶτος τὸν περὶ μετεμψυχώσεως λόγον εἰσήνεγκεν. — Ἀλγεινότατον.] Γράφε, Ἀλγεινότατα, ὃ μάλιστα βούλεται τῶν χαριεστέρων ἡ χρῆσις.

ΚΕΦ. κθ', ΣΕΛ. 77, στ. 17, Κοινοῦ.] Τοῦ πᾶσι γνωστοῦ. — Πόσον δὲ . . . . . ἐγέλασεν ἄν.] Ἐγράφετο, Πόσον δὲ . . . . . ἐγέλασε καὶ, κακῶς· ἔτρεψα οὖν τὸν οὐκ ἀναγκαῖον, ἄλλως τε καὶ λείποντα ἔντινι τῶν ἀντιγράφων, Καὶ, εἰς τὸν, Ἄν. οὐ γὰρ ἐγέλασεν ὁ Δημόκριτος ἐπ' Ἀλεξάνδρῳ τῷ μηδέπω γεννηθέντι κατ' αὐτόν· ἀλλ' ἐγέλασεν ἄν, εἰ συνήκμαζεν αὐτῷ.

## ΒΙΒΛΙΟΝ ΠΕΜΠΤΟΝ.

ΚΕΦ. β', ΣΕΛ. 78, στ. 6, Εἰς τὴν ἀῤῥωστίαν.] Ἐνάρθρως, εἰς ἐκείνην δηλαδὴ τὴν ἀῤῥωστίαν, ἧς ἐμνημόνευσεν ἀνωτέρω (Δ, κή). — Στ. 7, Ὅμοιον ὡς μύξαις] πλεονάζει τὸ Ὡς. ἔοικε δ' οὐ γραφέων, ἀλλὰ παρακμάζοντος ἑλληνισμοῦ ἁμάρτημα εἶναι. — Στ. 8, Θηριώδη.] Θηριώδης ἱδρὼς εἴη ἂν ὁ κακοήθης· τοῦτο γὰρ ἔσθ' ὅτε καὶ παρ' Ἱπποκράτει σημαίνει ἡ λέξις, παρ' ᾧ καὶ Βῆχα θηριώδη ἐστὶν εὑρεῖν. Τινὲς δὲ ἀντὶ τοῦ Θηριώδη, ῥηματικῶς γράφειν παραινοῦσιν, Ἐθηριώθη, οὐκ ἂν ἀπιθάνως διορθούμενοι, εἴγε πιθανῶς ἐξηγοῦντο· σημαίνει γὰρ ἂν τηνικαῦτα τὸ Ἐθηριώθη, οὐ τὸ Ἐφθειρίασεν,

ὅπερ ἀμέσως ἐπιφέρει, ἀλλὰ τὸ Εὐλαῖς, τουτέστι σκώληξιν, ἄλλοις παρὰ τοὺς φθεῖρας, ἐξέζεσεν (Ζήτ. Σουΐδ. λέξ. Ἀπώνατο, καὶ Εὐλαί)· ἢ καὶ τὸ, Φθισικὸς ἐγένετο· καθὰ καὶ παρ' Ἱπποκράτει τὸ Θηριῶδες ἀντὶ τοῦ Φθινῶδες ἐξεδέξαντο οἱ τὰ ἐκείνου ἐξηγησάμενοι. — Στ. 10, Τὸν βίον κατήλλαξεν. ] Γραπτέον, Τὸν βίον μετήλλαξεν, ἢ κατέστρεψεν· οὐ γὰρ τετάχασιν ἐπὶ τοῦ τελευτᾷν Ἕλληνες τὸ Καταλλάττειν τὸν βίον.

ΚΕΦ. ἑ, ΣΕΛ. 79, Στ. 8, Εἴ τι ἐγὼ νοῶ. ] Ἐν ἄλλοις φέρεται, Εἴ γε τι ἐγὼ νοῶ.

ΚΕΦ. ϛ', σελ. 75, στ. 11, Ἀγασθῆναι. ] Ζηλῶσαι· ἀλλὰ τὸ ζηλοῦν τὰ τοιαῦτα μωροῦ τινος ἂν εἴη· ὦ Αἰλιανέ. — Στ. 14, Ἐνένηστο. | Εἰς τοῦτο θαῤῥούντως ἔτρεψα τὸ Ἐγεγένητο· Ἔστι δὲ τὸ Ἐνένηστο τὸ ἐν τῇ συνηθείᾳ, Ἐστοιβάσθη. — Στ. 16, Θύου. ] Ἔπιθι τὰ εἰς τὸν Ἡλιόδωρον (σελ. 352), σημειωθέντα περὶ τοῦ Θύου.. — Στ. 22, Ὑπὸ τῆς φλογός. ] Λείπει παρ' ἅπασιν ἡ πρόθεσις. — Στ. 23, Ἀτρέπτως. ] Ἐξ ἀντιγράφου ἀντὶ τοῦ Ἀτρέστως. — ΣΕΛ. 80, στ. 2, Ταξίλην. | Μνήμης φασὶν ἁμαρτίᾳ τὸν Ταξίλην ἐν τοῖς ὑπ' Ἀλεξάνδρου ἡττηθεῖσι καταλέγεσθαι πρὸς τοῦ Αἰλιανοῦ· ὁ γὰρ Ταξίλης φέρων ἑαυτὸν ὑπόσπονδον καὶ φίλον παρέδωκεν Ἀλεξάνδρῳ.

ΚΕΦ. θ', σελ. 80, στ. 16, Εἶτα ἕξιν περιεβάλετο. ] Γράφε παρατατικῶς, Περιεβάλλετο, ἵν' ᾖ, Ἐπορίζετο τὴν ἕξιν, ἣν μετὰ ταῦτα τελείως ἐκτήσατο. ἠρανίσατο δὲ ταῦτα ὁ Αἰλιανὸς ἐξ Ἐπικούρου· ὅθεν ἴσως διορθοῦν οἷόν τε καὶ τὸν Ἀθήναιον (Η, σελ. 354), τὸν πολλὰ τοῖς κριτικοῖς παρασχόντα πράγματα. παρ' ἐκείνῳ τοίνυν ταῦτά φησιν ἐπὶ λέξεως Ἐπίκουρος περὶ τοῦ Σταγειρίτου, « Ὅτι καταφαγὼν τὰ πατρῷα ἐπὶ στρατείαν ὥρμησε· καὶ ὅτι ἐν » ταύτῃ κακῶς πράττων ἐπὶ τὸ φαρμακοπωλεῖον ἦλθεν· εἶτα ἀναπεπταμένου » τοῦ Πλάτωνος περιπάτου, φησί, παραβαλὼν ἑαυτὸν προσεκάθισε τοῖς λό» γοις, οὐκ ὢν ἀφυής· καὶ κατὰ μικρὸν εἰς τὴν θεωρουμένην ΕΞΗΛΘΕΝ ». τὴν τελευταίαν οὖν ταύτην λέξιν μεταβλητέαν εἶναί φαμεν εἰς δύο ταύτας ΕΞΙΝ ΗΛΘΕΝ. Τὸ δὲ Θεωρουμένην, εἰ μή τις ἡμαρτῆσθαι κἀκεῖνο ἰσχυρίζοιτο, ἀντὶ τοῦ Θεωρητικὴν (ἢ Θεωρηματικὴν), ὡς ταυτό γε πάντως σημαίνουσαν τῇ Θεωρητικῇ ἐκδεκτέον· ἔστι δὲ τοῦτο τεκμηριώσασθαι καὶ ἐξ ὧν ὁ τῶν Τακτικῶν συγγραφεὺς Αἰλιανὸς (ἕτερος τοῦ ἡμετέρου Αἰλιανοῦ) ἐν αὐτῷ τῷ προοιμίῳ εἴρηκε « Τὴν παρὰ τοῖς Ἕλλησι τακτικὴν ΘΕΩΡΙΑΝ, » πολλοὶ τῶν πρὸ ἡμῶν συνέγραψαν, οὐκ ἔχοντες ἣν ἡμεῖς ἐν τοῖς μαθήμασιν » ἐπιστεύθημεν ΕΞΙΝ ἔχειν » καὶ μετ' ὀλίγα, « Εὗρον οὐκ ἐλάττονα σπουδὴν » ἔχοντα εἰς τὴν παρὰ τοῖς Ἕλλησι ΤΕΘΕΩΡΗΜΕΝΗΝ ΜΑΘΗΣΙΝ ».

ΚΕΦ. ί, ΣΕΛ. 81, στ. 3, Ὁπλῖται. . . . . μυριάδες τέσσαρες. ] Ἀντὶ τοῦ, Ὁπλιτῶν μυριάδες τέσσαρες· καθὰ καὶ ἐν τῇ συνηθείᾳ φαμὲν, Τέσσαρες χιλιάδες ἄνδρες, γυναῖκες, παιδία, κ. τ. λ. ὀνομαστικῇ ἀντὶ γενικῆς χρώμενοι.

ΚΕΦ. ιά, σελ. 81, στ. 9, Ἐξετύφλωσε. ] Ἐν δὲ τῇ συνηθείᾳ πᾶν τοὐναντίον σημαίνει τὸ Ἐξετύφλωσε, τουτέστι βλέπειν ἐποίησε· χρώμεθα δὲ τῇ λέξει μεταφορικῶς, ἀντὶ τοῦ ἐπαίδευσεν, ἐδίδαξε. τοιαύτη δέ τις σημασίας μετάπτωσις ἐναντία συνέβη καὶ περὶ τὸ Ἐξομματοῦν· παρὰ μὲν γὰρ τῷ Κωμικῷ δηλοῖ τὸ ἀναβλέπειν ποιεῖν (Πλοῦτ. 634),

. . . . . . . . . . . . . . Ἀντὶ γὰρ τυφλοῦ,
Ἐξωμμάτωται καὶ λελάμπρυνται κόρας.

παρὰ δὲ τοῖς ὕστερον, τοῖς Βυζαντινοῖς μάλιστα συγγραφεῦσιν, ἐπὶ τοῦ ἐξορύττειν τοὺς ὀφθαλμοὺς τέθειται ἡ λέξις. ἡ δὲ νῦν συνήθεια τὸ Ἐξομματίζω (χυδ. Ξεματίζω) ἐπὶ τοῦ καθαίρειν τοὺς κυάμους, τὴν προστετηκυῖαν μέλαιναν οὐλὴν, οἷον ὀφθαλμὸν, ἐκκόπτοντας, καταχρηστικῶς τέταχεν· ὅθεν καὶ Ἐξωμματισμένα κοκκία τοὺς οὕτω καθαρθέντας κυάμους λέγομεν.

ΚΕΦ. ιγ', σελ. 81, στ. 21, Ἀριστοκρατίᾳ δὲ ἐχρήσαντο μέχρι τῶν τετρακοσίων.] Τετρακοσίους ἐνταῦθα ἐκδεκτέον διατείνονταί τινες, οὐ τοὺς τετράμηνον ἄρξαντας τετρακοσίους ὀλίγοις ἔτεσι πρὸ τῶν τριάκοντα, ἀλλὰ τὴν ὑπὸ Σόλωνος κατασταθεῖσαν τῶν τετρακοσίων βουλὴν, αὐξηθεῖσα μετέπειτα εἰς πεντακοσίους, καὶ τελευταῖον, ὑπὸ Ῥωμαίοις, εἰς ἑξακοσίους. ἐνδέχεται μέντοι καὶ ἡμαρτῆσθαι τὸ Ἀριστοκρατίᾳ, ἢ μνήμης τοῦ Αἰλιανοῦ πλάνῃ, ἢ καὶ τῶν γραψάντων ἀβλεψίᾳ, ἀντὶ τοῦ Δημοκρατίᾳ· οὗ τεθέντος, οὐχ ἕτεροι ἔσονται οἱ Τετρακόσιοι παρὰ τοὺς μικρὸν πρὸ τῶν τριάκοντα τυραννήσαντας. Στ. 22, Δέκα τῶν πολιτῶν.] Τοὺς κατ' ἔτος χειροτονουμένους δέκα στρατηγοὺς λέγειν οἴονται τὸν Αἰλιανόν.

ΚΕΦ. ιέ, ΣΕΛ. 82, στ. 10, Ἐπὶ Παλλαδίῳ.] Κλαυερίου διορθώσαντος, οὐκ ὤκνησα παραλαβεῖν ἀντὶ τῆς ἡμαρτημένης γραφῆς, Ἐν Παλλαδίῳ (Ἔπιθι Παυσαν. Α, κη, σελ. 69).

ΚΕΦ. ις', σελ· 82, στ. 13, Πέταλον.] Πέταλον (παρὰ τὸ Πετάω) λέγεται πᾶν τὸ εἰς πλάτος λεπτὸν ἐληλασμένον σῶμα· ἡ δὲ συνήθεια Πέταλον μὲν ἰδίως καλεῖ τὸ ταῖς ὁπλαῖς τῶν ἵππων προσηλούμενον σιδηροῦν ἔλασμα, Πετάλιον δὲ, τὸ δίκην χρυσοῦ ἀποστίλβον λεπτότατον χαλκοῦ ἔλασμα· καὶ αἱ Πεταλίδες δὲ, εἶδος ὀστρακοδέρμων μονοθύρων (ἃς ἔνιοι Πατελίδας, εἴτε μεταθέσει τῶν στοιχείων, εἴτε καὶ παρὰ τὸ τῆς Ἰταλῶν φωνῆς Patella, καλοῦσι) διὰ τὸ φύσει ἐκπέταλον τοῦ ζώου, ἐσχηκέναι τοὔνομα δοκοῦσι. ταύτας οἱ Ἀρχαῖοι Λεπάδας ὠνόμαζον, ὡς ὀνομάζουσιν ἔτι καὶ νῦν (Lepadas) οἱ πολλὰ τῆς Φωκαϊκῆς τῶν προγόνων φωνῆς διασώσαντες Μασσαλιῶται. Στ. 17, Θεοσύλην.] σημείωσαι τὸ καινῶς ἐσχηματισμένον, Θεοσύλης· ὤφειλε γὰρ εἰπεῖν Θεόσυλος, ὡς Ἱερόσυλος. περὶ δὲ τοῦ τοιούτου σχηματισμοῦ ἔπιθι καὶ τὸν Σουΐδαν (λέξ. Ἀλώμενος, καὶ Ἀνόστεος).

ΚΕΦ. ιζ', σελ. 82, στ. 19, Εἴ τις.] Διορθοῦνταί τινες, Ὡς εἴ τις, διὰ τὸ προηγησάμενον Τοσοῦτον. ἐχρήσατο μέν τοι καὶ ἀλλαχοῦ (Θ, κδ) ἀνανταποδότως ὁ Αἰλιανὸς τῷ Τοσοῦτον. — Στ. 20, Ἀπέκτεινεν αὐτόν.] Ἐγράφετο κακῶς κατὰ τὸν ἀόριστον, Ἀπέκτειναν· χωρὶς εἰ μή τις ὑπολάβοι τοῦ παρακμάζοντος ἑλληνισμοῦ εἶναι καὶ τοῦτο· καὶ γὰρ ἡ συνήθεια τὰ τρία τῶν πληθυντικῶν παρατατικῶν ὁμοιοτέλευτα τοῖς τρίτοις τῶν ἀορίστων φιλεῖ προφέρειν. — ΣΕΛ. 83, στ. 3, Ἀγνοίας.] Ἐν ἄλλοις, Ἀνοίας· διορθοῦνται δέ τινες, Ἀβουλίας, εἰς οὐδὲν δέον.

ΚΕΦ. κ', σελ. 83, στ. 19, Ὑπὸ Ἀθηναίων.] Ἐξ ἀντιγράφων, ἀντὶ τοῦ, Ὑπὸ Ῥωμαίων.

ΚΕΦ. κά, ΣΕΛ. 84, στ. 4, Δεηθέντων Κορινθίων.] Καὶ τὸ πάντων αἴ-

σχιστον, καὶ πέντε τάλαντα παρ' αὐτῶν λαβὼν Εὐριπίδης, μισθὸν τοῦ ψεύδους, εἰ χρὴ Παρμενίσκῳ πιστεύειν (παρὰ τῷ σχολ. Εὐριπ. Μήδ. 9). — Στ. 6, Ὑπὲρ δὲ τοῦ τολμήματος κ. τ. λ.] Διὰ δὲ τὸ περὶ τοὺς παῖδας τῆς Μηδείας τολμηθὲν κ. τ. λ. ὡς ἑρμηνεύει ὁ Λατῖνος μεταφραστής· ἐνδέχεται μέν τοι τὴν ἀρχαίαν γραφὴν ὡδί πως ἐσχηκέναι, « Ὑπὲρ δὲ τοῦ τολμήματός, » φασι, τὰς τρίχας τῶν παίδων μέχρι τοῦ νῦν ἐναγίζουσι τοῖς παισὶ Κορίνθιοι ». τῶν ἰδίων δηλονότι παίδων τὰς τρίχας ἐναγίζουσι ταῖς παισὶ τῆς Μηδείας· τοῦτο καὶ γὰρ ἐποίουν κατ' ἔτος οἱ Κορινθίων παῖδες, ἀποκειρόμενοι ἐπὶ τοῦ μνήματος τῶν Μηδείας παίδων, καθάπερ ἱστόρηκε Παυσανίας (Β, γ).

## ΒΙΒΛΙΟΝ ΕΚΤΟΝ.

ΚΕΦ. ά, ΣΕΛ. 85, στ. 2, Δισχιλίους.] Ἐξ ἀντιγράφων, ἀντὶ τοῦ, Τεσσαράκοντα· καὶ τοῦτο μὲν ὅτι ἡμάρτηται πᾶσι δῆλον· ἀλλ' οὐδὲ τὸ, Δισχιλίους, ὀρθῶς ἔχειν ἔοικεν, Ἡροδότου (Ε, οζ) διαῤῥήδην λέγοντος τετρακισχιλίους γεγονέναι τοὺς τῆς Χαλκιδέων χώρας κληρούχους. — Στ. 3, Ἐν τῷ Διλάντῳ ὀνομαζομένῳ τόπῳ.] Διορθωτέον ἴσως, ἐκ τοῦ Στράβωνος, Ἐν τῷ Δηλάντῳ ὀνομαζομένῳ πεδίῳ· οὕτω γὰρ ἐκεῖνος πολλαχοῦ ὀνομάζει Δήλαντον πεδίον, διὰ τοῦ η καὶ οὐδετερογενῶς, καθὰ καὶ Ὅμηρος (Ὕμν. Ἀπόλλ. 220). — Στ. 4, Κατὰ τὰς στήλας.] Παρείληφα τὴν ἑτέρων διόρθωσιν, ἀντὶ τοῦ κακῶς πρότερον γραφομένου, Καὶ τὰς στήλας. Κασωβὼν δ' ἑτέρως διώρθου τὸ χωρίον, γράφων, Καὶ τὰς στήλας ἔστησαν. — Στ. 7, Ἔσβεσαν τὸν... θυμόν.] Καθὰ καὶ ἐν τῇ συνηθείᾳ φαμέν. — Στ. 10, Εἰς τὰ πένθη βαδίζειν ἠνάγκαζον.] Εἰς ἅπερ δηλονότι ἔθος ἦν παραλαμβάνειν οὐκ ἐλευθέρας, ἀλλὰ δούλας ἐπὶ μισθῷ, καὶ ταύτας ὡς ἐπὶ τὸ πολὺ ἀπὸ Καρίας· ὅθεν καὶ Καρίναι ἁπλῶς ἐλέγοντο αἱ τοὺς νεκροὺς τῷ θρήνῳ παραπέμπουσαι πρὸς τὰς ταφὰς, ἅσπερ ἡ συνήθεια Μυρολογίστριας καλεῖ. — Στ. 18, Τοὺς δὲ ἄνδρας.] Διορθοῦσθαί τινες ἐπεβάλοντο, » Τοὺς δὲ ἄνδρας τοῖς ἀνδράσι. » Στ. 20, Ἐπ' οἰκήματος.] Ἐπὶ πορνείου. — ΣΕΛ. 86, στ. 2, Κατά γε τὴν ἐμὴν μνείαν.] Ἡμαρτῆσθαι τὴν γραφὴν θαῤῥούντως ἂν ἀπεφηνάμην, εἰ μὴ καὶ ἀλλαχοῦ (Περὶ ζώων ἰδιότ. ΙΒ, λβ) κεχρῆσθαι τὸν Αἰλιανὸν τῇ καινῇ ταύτῃ φράσει ἐμεμνήμην. — Στ. 8, Καὶ οἱ ἐν τῇ Ἀκτῇ πάντες.] Προσέθηκα τὸν σύνδεσμον ἐξ ἑτέρων διορθώσεως. Ἀκτὴν δὲ λέγειν οἱ ἐξηγηταὶ ἐνταῦθα ὑπέλαβον τὴν Ἀττικὴν, οὕτω καλουμένην τὸ πάλαι· οὐκ εἰκὸς μέντοι τὸν Αἰλιανὸν τοῖς διὰ τὴν ἐν Χαιρωνείᾳ μάχην καταπτήξασι τὸν Φίλιππον Ἕλλησι τοὺς Ἀθηναίους ἐγκαταλέξαι· οὐδὲ γὰρ ἄξιον ἐπισημασίας ἦν τοῦτο, ἐπεὶ αὐτοὶ ἦσαν οἱ ἐν Χαιρωνείᾳ ἡττηθέντες ὑπὸ Φιλίππου· εὐλογώτερον τοίνυν ἔμοι γε δοκεῖ Ἀκτὴν ἐνταῦθα ἀκούειν τὸ πρὸς ἕω τῆς Πελοποννήσου μέρος τὸ ὑπὸ Ἐπιδαυρίων, Τροιζηνίων καὶ ἄλλων κατεχόμενον, καὶ Ἀκτὴν ἁπλῶς (Διοδ. Σικ. ΙΗ, ια), ἢ καὶ μετὰ προσθήκης, Ἀργολίδα Ἀκτὴν (Παυσαν. Β, η), καλούμενον. τούτων δ' οὕτως ἐχόντων, ὑποληπτέον συγκεχύσθαι τὴν τάξιν τοῦ χωρίου, εἴτε αὐτοῦ Αἰλιανοῦ, οἷα πολλάκις φιλεῖ, εἴτε καὶ τῶν ἀντιγραψάντων ἀβλεψίᾳ· ὤφειλε γὰρ ἐσχάτους τοὺς Εὐβοέας τάξαι, οἷον, Καὶ Ἠλεῖοι, καὶ οἱ ἐν τῇ Ἀκτῇ πάντες, καὶ Εὐβοεῖς.

ΚΕΦ. β, σελ. 86, στ. 11, Ὁ Ἀρματίδου.] Παρ' ἅπασιν ἡμαρτημένως γέγραπται, Ὁ Ἀρματιδίου· οὐ γὰρ παρὰ τὴν ὀνομαστικὴν Ἀρματίδιος, ἀλλὰ παρὰ τὴν Ἀρματίδης, οὗ τὴν γενικὴν Ἀρματίδου, Ἰωνικῶς Ἀρματίδεω ἐξήνεγκεν Ἡρόδοτος (κατὰ τὸν τύπον τοῦ, Λεωνίδης, Λεωνίδεω), ὃς καὶ τοὺς Θεσπιέας οὐ τοῖς Ἀθηναίοις, ἀλλὰ τῷ Λεωνίδῃ φησὶν (Ζ, σκϐ' καὶ σκζ') εἰς Θερμοπύλας παραγενέσθαι συμμάχους. — Στ. 12, Ἀθηναίοις.] Γραπτέον ἴσως Λακεδαιμονίοις, δι' ἅπερ εἰπόντες ἔφθημεν. — Στ. 15, Κυδαίνων αὐτὸν Ὁμηρικῶς.] Παρὰ τὸ (Ἰλιάδ. Κ, 68),

Πατρόθεν ἐκ γενεῆς ὀνομάζων ἄνδρα ἕκαστον,
Πάντας κυδαίνων. . . . . . . . . . . . .

ΚΕΦ. ς, ΣΕΛ, 87, στ. 10, Ἢ γὰρ οὐ κ. τ. λ.] Μετέϐαλον τὸν παρὰ τοῖς ἄλλοις διαζευκτικὸν, Ἤ, εἰς τὸν ἀπορηματικὸν, Ἠ. — Στ. 12, Τὸν δὲ πέντε.] Ἴσως γραπτέον, Τὸν δὲ τέτταρας, ὃ καὶ ἄλλοι πρὸ ἡμῶν εἴκασαν· καὶ γὰρ τοσούτους λέγει Ἀριστοτέλης (Πολιτ. Β, θ'), τοῦ νόμου τούτου μνημονεύων. — Στ. 15, Ἔχειν δὲ τὴν χρόαν καὶ κ. τ. λ.] Ἄμεινον γράφειν, Ἔχειν γὰρ τὴν χρόαν, ἢ, Ἔχειν μὲν γὰρ τὴν χρόαν· ὁ δὲ ἐπιφερόμενος Καὶ λείπει ἐν ἄλλοις. — Στ. 17, Ἔτι γε μᾶλλον.] Ἐν ἄλλοις, Ἔτι δὲ μᾶλλον· μακρῷ δ' ἄμεινον γράφειν ἄνευ συνδέσμου, Ἔτι μᾶλλον. — Βαθυτέρας τῆς ὄψεως.] Σημείωσαι το Βαθὺ, ἐπὶ χρώματος, ὡς καὶ ἐν τῇ συνηθείᾳ τεταγμένον, ὃ μὴ νοήσαντές τινες, τὸ Βαθυτέρας εἰς τὸ Βαρυτέρας μεταποιεῖν παρῄνουν· προσσημειωτέον δὲ καὶ τὸ Ὄψεως ἀντὶ τοῦ Χρώματος τεθειμένον, ὡς καὶ παρὰ τῷ Ἀπολλοδώρῳ τὸ συνώνυμον Θέα, ἐν οἷς φησι (Γ, 3) «Τρι» χρώματον ἐν ταῖς ἀγέλαις ἔχειν βοῦν· τὸν δὲ τὴν ταύτης ΘΕΑΝ ἄριστα » εἰκάσαι δυνηθέντα, κ. τ. λ.» οὐκοῦν ἁμαρτάνει καὶ ἡ συνήθεια Θεωρίαν (χυδ. Θωριὰν) ὀνομάζουσα τὸ χρῶμα. — Στ. 20, Θαλλοῖς.] Θαλλὸς κυρίως ὁ τῆς ἐλαίας κλάδος.

ΦΕΦ. ή, ΣΕΛ. 88, στ. 10, Ἐκ τῶν μηρῶν.] Τοῖς τῶν μηρῶν ὀστέοις χρησάμενος ἀντ' ἐλέφαντος.

ΚΕΦ. θ', σελ. 88, στ. 17, Οὐδ' ὅσα λάϊνος κ. τ. λ.] Ἐκ τῆς Ἰλιάδος (Ι, 404 καὶ 405).

ΚΕΦ. ι, ΣΕΛ. 89, στ. 5, Οὐ μετέσχον τῆς πολιτείας.] Ἐξ ἀντιγράφου, ἀντὶ τοῦ, Οὐ μετέσχον τῶν τῆς πολιτείας.

ΚΕΦ. ιά, σελ. 89, στ. 10, Καὶ δημοτικωτέρου.] Περιττὸς ὁ σύνδεσμος, εἰ μή τι ἕτερον ἐπίθετον παρελείφθη ἀβλεψίᾳ τῶν γραψάντων.

ΚΕΦ. ιϐ', σελ. 89, στ. 14, Πεφραγμένην.] Ἐν ἄλλοις, Περιπεφραγμένην. — Στ. 22, Καὶ δόρασι, καὶ κνημῖσι περιτταῖς, καὶ θώραξι, καὶ καταπέλταις· ὁ δὲ καταπέλτης εὕρημα ἦν αὐτοῦ Διονυσίου. εἶχε δὲ καὶ κ. τ. λ.] Πολλαχῶς διορθωσάντων, ἔγνωμεν ἄλλην ταύτην διόρθωσιν καὶ ἡμεῖς εἰσενέγκασθαι, ἀμείνω μὲν οὐκ ἴσως, σαφέστερόν γε μὴν ἑρμηνεύουσαν τὸν νοῦν τοῦ χωρίου· ἐγράφετο δὲ πρότερον, «Καὶ δόρασι. καὶ κνημῖδας περιττὰς, » καὶ θώρακας, καὶ καταπέλτας, ὁ δὲ καταπέλτης εὕρημα ἦν αὐτοῦ Διονυ» σίου, εἶχε δὲ καὶ κ. τ. λ.» — ΣΕΛ. 90, στ. 1, Τὰς θυγατέρας καταισχυνθείσας.] Τουτέστι καταπορνευθείσας. καθάπερ καὶ ἐν τῇ συνηθείᾳ τὸ

Ἐντροπιασθείσας· εὕρηται δὲ ἡ χρῆσις αὕτη τοῦ, Καταισχύνειν, καὶ παρὰ τοῖς ἐνδεξεστέροις τῶν ἀρχαίων.

ΚΕΦ. ιγ, σελ. 90, στ. 15, Πίτυος δίκην.] Τουτέστιν, ἄρδην καὶ πανωλέθρως. ἔστι παροιμιακὸν τὸ λεγόμενον, ἐκ τούτου λαβὸν τὴν ἀρχὴν, ὅτι ἐπίστευον τὴν πίτυν ἐκκοπεῖσαν μηκέτι βλαστάνειν, ἀλλὰ πανώλεθρον ἐξαπόλλυσθαι. ἐχρήσατο δὲ πρῶτος Ἡρόδοτος (ς΄, λζ΄). Πίτυς δέ ἐστιν ἡ ἐν τῇ συνηθείᾳ λεγομένη Κουκκουναρία, παρὰ τὸν καρπὸν Κουκκουνάριον, ὃν ἐκάλουν Στρόβιλον, οἱ δὲ ἀρχαιότεροι καὶ Κόκκωνα ὠνόμαζον, ὥς φησι Φρύνιχος (σελ. 176). — Στ. 16, Παίδων ἐξισχύον.] Διορθοῦν ἐπεχείρησάν τινες, Παῖδας ἐξισχύον· ἕτεροι δὲ, Τῆς παρὰ τῶν παίδων ἰσχύος ἀποστεροῦν τοὺς τυράννους, ἐξεδέξαντο. ὁ μὲν νοῦς πρόδηλος, Ἡ παραυτίκα τοὺς τυράννους ἐξολοθρεῦον, πρὶν ἢ πατέρας γενέσθαι, ἢ γενομένων τοὺς παῖδας ἀπολλύον· τὸ δὲ χωρίον, εἰ μὴ ἡμάρτηται τῇ γραφῇ, ἀκύρως γε πάντως ἐκπέφρασται· καθὰ καὶ παρὰ τοῖς Ἑβδομήκοντα (Δ, Βασιλ. κδ, 2), τὸ Κατισχύειν ἀντὶ τοῦ Ἀπολλύειν. — Στ. 17, Γέλωνος.] Ἱέρωνος γραπτέον εἶναι, οὐκ ἀπιθάνως διατείνονταί τινες. — Στ. 18, Λευκωνιδῶν.] Ἐξ ἑτέρων διορθώσεως, ἀντὶ τοῦ Λευκανίων· ὁ τύπος πατρωνυμικὸς, παρὰ τὸ Λεύκων, ὡς παρὰ τὸ Σίμων, Σιμωνίδης.

ΚΕΦ. ιδ΄, σελ. 90, στ. 22, Τῶν ἐν Πέρσαις.] Περιττὸν τὸ ἄρθρον. — Στ. 25, Τὰ παλτά.] Εἶδος ἀκοντίου μηδικοῦ τὸ Παλτόν. — ΣΕΛ. 91, στ. 9, Ἀφάλασθαι.] Ἐγράφετο Ἀφαλέσθαι· ἔπιθι τὰ εἰς τὸν Ἡλιόδωρον (σελ. 20) διὰ μακρῶν περὶ τῆς τῶν χρόνων συγχύσεως τούτου τοῦ ῥήματος σημειωθέντα μοι.

## ΒΙΒΛΙΟΝ ΕΒΔΟΜΟΝ.

ΚΕΦ. ά, ΣΕΛ. 92, στ. 3, Ἀφικομένη. . . . . κλητή.] Ἴσως γραπτέον κατὰ δοτικὴν, Ἀφικομένῃ κλητῇ· ἀλλ' ὅμως χαίρει ὁ Αἰλιανὸς ταῖς τοιαύταις ἀσυνταξίαις. — Στ. 6, Καὶ τὰ ἀπὸ ταύτης προσταττόμενα κ. τ. λ.] Τοὺς ἄλλους δηλαδὴ δρᾶν ἃ ἂν αὐτὴ προστάξῃ· ἡ δὲ σύνταξις ἠμελημένη. — Στ. 7, Καὶ οὐδὲ τῆς αἰτήσεως ἠτύχησεν.] Διαγραπτέος ὁ Καί.

ΚΕΦ. β΄, σελ. 92, στ. 16, Ἐξετραγῴδησεν.] Ἐν οἷς λέγει (Ὀδυσσ. Θ, 248),

> Αἰεὶ δ' ἡμῖν δαίς τε φίλη, κίθαρίς τε, χοροί τε,
> Εἵματα τ' ἐξημοιβά, λοετρά τε θερμά, καὶ εὐναί.

ΚΕΦ. γ΄, ΣΕΛ. 93, στ. 10, Ἐν προοιμίοις.] Ἐξ ἀντιγράφου, ἀντὶ τῆς παρ' ἄλλοις γραφῆς, Ἐν προοιμίῳ.

ΚΕΦ. δ΄, σελ. 93, στ. 13, Διάφορα.] Ἐξ ἀντιγράφων, ἀντὶ τοῦ, Διαφόροις. ἴσως δὲ γρ. Διαφόρως. — Στ. 14, Ἆσμα ἐπιμύλιον.] Σώζεται τοῦτο παρὰ Πλουτάρχῳ (Ἑπτ. σοφ. συμπόσ. §. 14), οὕτως ἔχον, «Ἄλει μύλα, » ἄλει· καὶ γὰρ Πιττακὸς ἀλεῖ, μεγάλας Μιτυλάνας βασιλεύων»· ὅπερ ὡδί πως ἄν τις ἐντείνειεν εἰς τοὺς παρ' ἡμῖν καλουμένους πολιτικοὺς στίχους,

> Ἄλεθε μύλε, ἄλεθε· κ' ὁ Πιττακὸς ἀλέθει,
> Νήσου μεγάλης βασιλεὺς μέγας τῆς Μιτυλήνης.

ΚΕΦ, ἐ, σελ. 93, στ. 16, Φυτὸν ξύων.] Αἰνίττεται τὸ Ὁμηρικὸν (Ὀδυσσ. Ω, 225),

Τὸν δ' οἶον πατέρ' εὗρεν ἐϋκτιμένῃ ἐν ἀλωῇ
Λιστρεύοντα φυτόν. . . . . . . . . . .

ὅπου τὸ Λιστρεύοντα διὰ τοῦ Περιξύοντα ἐξηγοῦνται οἱ τὰ Ὁμήρου ἑρμηνεύσαντες. — Στ. 18, Δρηστοσύνῃ δ' οὐκ ἂν κ. τ. λ.] Ἐκ τῆς Ὀδυσσείας (Ο, 320) καὶ ταῦτα. λείπει δὲ ἐκεῖ ὁ, Δὲ, σύνδεσμος, καὶ γράφεται, Ξύλα δανὰ κεάσσαι, οὐχ ὡς παρὰ τῷ Αἰλιανῷ, Ξύλα πολλὰ κεάσαι· ξύλα δὲ δανὰ εἰσὶ τὰ ξηρὰ καὶ καύσιμα. — Στ. 20, Σχεδίαν], Περὶ ἧς ἐν τῇ Ὀδυσσείᾳ (Ε, 243 — 257)· ἡ δὲ συνήθεια τὴν Σχεδίαν, Πλωτὴν (οἱονεὶ κινουμένην καὶ πλέουσαν γέφυραν), καὶ Σκυβίαν ὠνόμακεν, εἴτ' αὐτὸ τοῦτο τὸ Σχεδία παραφθείρασα (καθὰ καὶ τὰ παρ' Ἱπποκράτει Ἱδρῶα, ἅπερ εἰσὶ θερινὰ ἐξανθήματα, πρῶτον εἰς τὰ Ἱδρωτίδια, ἔπειτα εἰς τὰ Βρωτίδια, καὶ τὴν θηλυκῶς Βρωτίδα, μετεποίησεν), εἴτε καὶ παρὰ τὸ Κύμβη, Κυμβίαν, ἀφαιρέσει τοῦ μ, καὶ προσθήκῃ τοῦ σ Σκυβίαν, εἰποῦσα, καθὰ καὶ παρὰ τὸ Κύπτω, πεποίηκε τὸ Σκύπτω· ἔστι δὲ ἡ Κύμβη, νεὼς εἶδος καθ' Ἡσύχιον. — Στ. 21, Τρίτος ὢν ἀπὸ τοῦ Διός.] Ἤγουν δισέγγονος τοῦ Διός· εἴγε τούτου ὁ Αἰακὸς, οὗ Πηλεὺς, οὗ Ἀχιλλεύς. τοῦτον οὖν διακόπτοντα τὰ κρέα Ὅμηρος παρίστησι (Ἰλιάδ. Ι, 209),

. . . . . . . . . Τάμνεν δ' ἄρα δῖος Ἀχιλλεύς.

ΚΕΦ. ζ', ΣΕΛ. 94, στ. 6, Αὐτοῦ τὰ ἐνθυμήματα ἐλλυχνίων ἀποζειν.] Ἐξ ἀντιγράφων, ἀντὶ τοῦ, Αὐτῷ. . . . . ὄζειν.

ΚΕΦ. ή, σελ. 94, στ. 12, Ὁμηρικὸν πάθος.] Αἰνίττεται τὰ ἐπὶ τῷ Πατρόκλῳ (Ἰλιάδ. Ψ, 135—152). — Στ. 14, Θερμότερον ἐκείνου.] Δεινότερον ἐκείνου, τοῦ Ἀχιλλέως δηλαδὴ (σημ. Γ, ιϐ')· πῶς δὲ δεινότερον; ὅπου Ἀχιλλεὺς δώδεκα Τρωϊκοὺς νεανίσκους, ἀνηλεῶς καὶ βαρβάρως ἐπέσφαξε τῷ Πατρόκλῳ· πλὴν εἰ μὴ ἐκεῖνο ἐξεῤῥύη τοῦ χωρίου τὸ μανιῶδες Ἀλεξάνδρου ἔργον, τὸ ἀνασταυρῶσαι δηλονότι τὸν ἰατρὸν Ἡφαιστίωνος (Πλούταρχ. Ἀλεξ. §. 72). — Στ. 20, Ὅτι Ἡφαιστίων εἰς Ἐκϐάτανα ἀπέθανε.] Ταῦτα οἱ μὲν ὅλως περιγραπτέα φασὶ τοῦ χωρίου, οἱ δὲ σώζειν παραινοῦσιν, ἀντὶ τοῦ, Ὅτι, γράφοντες, Ὁ μὲν, ἢ Ὁ δέ· σημείωσαι δὲ καὶ τὸ, Εἰς Ἐκϐάτανα, τοῦ παρακμάζοντος Ἑλληνισμοῦ, περὶ οὗ ἀρκούντως εἰρήκαμεν ἐν ταῖς εἰς τὸν Ἡλιόδωρον σημειώσεσι (σελ. 41 καὶ 42).

ΚΕΦ. θ', ΣΕΛ. 95, στ. 3, Κροκωτοῦ.] Οἱ μὲν ἀπὸ τοῦ χρώματος οὕτως εἰρῆσθαι τὸν Κροκωτὸν, ἕτεροι δὲ παρὰ τὴν Κρόκην, πλείονα οὖσαν τοῦ στήμονος ἐν τοῖς Κροκωτοῖς, φασί. — Στ. 4, Εγκύκλου.] Κακῶς ἐγράφετο Ἐγκυκλίου, ὃ καὶ ἄλλοις πρὸ ἡμῶν σεσημείωται. τὸ δὲ Ἔγκυκλον ἱμάτιον ἦν ἐπιϐαλλόμενον τῷ Κροκωτῷ.

ΚΕΦ. ιά, σελ. 95, στ. 11, Τὰ ὑποδήματα αὐτά.] Ἀντὶ τοῦ, Τὰ αὐτὰ ὑποδήματα.

ΚΕΦ. ιϐ', σελ. 95, στ. 16, Γνώμην,] Ἐν ἄλλ. Κρίσιν.

ΚΕΦ. ιδ', ΣΕΛ. 96, στ. 17, Εἴ τε τις.] Ἐξ ἑτέρων διορθώσεως, ἀντὶ τοῦ, Εἴ τις· ἐν δέ τισι τῶν ἀντιγράφων φέρεται, Οὔτε εἴ τις,

ΚΕΦ. ιέ, σελ. 96, στ. 22, Πασῶν κολάσεων ἡγησάμενοι βαρυτάτην κ. τ. λ.] Σημειούσθων ἀκριβῶς οἱ νέοι τὸ βιωφελέστατον τοῦτο παράδειγμα, καὶ τοὺς παιδείας αὐτοὺς ἀπείργοντας οὐδὲν ἧττον ἢ τοὺς αἰκιζομένους καὶ μαστιγοῦντας τυράννους ἀποστρεφέσθωσαν.

ΚΕΦ. ις', ΣΕΛ. 97, στ. 2, Σερβίας.] Σιλβίας, γραπτέον εἶναι διατείνονταί τινες.

ΚΕΦ. κ', ΣΕΛ. 98, στ. 5, Κεῖος.] Ἐκ τῆς Νήσου Κέω, ἣν ὁ Πτολεμαῖος Κίαν καλεῖ· τοῦτο δὲ ἡ χυδαΐζουσα συνήθεια παρέτρεψεν εἰς τὸ Τζία, καθὰ καὶ ἕτερα τῶν ἀπὸ τοῦ κ ἀρχομένων, περὶ ὧν ἔπιθι τὰ εἰς τὸν Ἡλιόδωρον (Μερ. Β, σελ. 21).

## ΒΙΒΛΙΟΝ ΟΓΔΟΟΝ.

ΚΕΦ. ά. ΣΕΛ. 99, στ. 3, Φωνὴν πολλάκις ἔφασκε, θείᾳ πομπῇ συγκεκληρωμένην αὐτῷ.] Τὸ μὲν Εγκεκληρωμένην ἔτρεψα εἰς τὸ Συγκεκληρωμένην, ᾗ λέξει χρήσεται κἀν τοῖς ἑξῆς (ΙΑ, θ)· προσείληφα δὲ (ἑτέρων τοῦτο διορθωσαμένων) καὶ τὸ Θείᾳ πομπῇ, ἀντὶ τοῦ Ὁσίαν πομπῆς· μετήγαγε γὰρ ταῦτα ὁ Αἰλιανὸς ἐκ τοῦ Πλατωνικοῦ διαλόγου τοῦ ἐπιγραφομένου, Θεάγης (σελ. 128), ὅπου Σωκράτης περὶ ἑαυτοῦ λέγει « Ἔστι γάρ τι θείᾳ μοίρᾳ » παρεπόμενον ἐμοὶ ἐκ παιδὸς ἀρξάμενον δαιμόνιον· ἔστι δὲ τοῦτο φωνή ». Στ. 6, Ἐάν τίς μοι.] Προσέθηκα τὴν ἀντωνυμίαν ἐκ τοῦ Πλατωνικοῦ Θεάγους· οὐ δὲ γὰρ οἷόν τε ἀμεταβάτως ἐνταῦθα λέγεσθαι τὸ Ἀνακοινῶται. Ὑπέρ του.] Τουτέστιν Ὑπέρ τινος, ὃ καὶ ἄλλοι πρὸ ἡμῶν εἴκασαν· ἐγράφετο ἡμαρτημένως, Ὑπὲρ τῶν, καὶ ἐν ἄλλ. Ὑπὲρ τούτου. — Στ. 14, Ἀπήντησεν αὐτῷ ἡ σπουδή.] Ἐξ ἀντιγράφου· ἐν ἄλλ. Ἀπήντησεν αὐτοῦ ἡ σπουδή.

ΚΕΦ. β', σελ. 99, στ. 16, Τὰ Ὁμήρου ἔπη ἐκόμισε.] Ἐναντία ταῦτα τοῖς ὑπὸ τῶν ἄλλων ἱστορημένοις, καὶ οἷς αὐτὸς Αἰλιανὸς ἐν τοῖς ἑξῆς (ΙΓ, ιδ) ἐρεῖ· Πεισίστρατος γὰρ ὁ Ἱππάρχου πατὴρ, καὶ οὐχ Ἵππαρχος ἦν ὁ συναθροίσας τὴν Ὁμήρου ποίησιν. διορθούσθω δὲ ἐν παρέργῳ καὶ Παυσανίας οὑτωσὶ λέγων περὶ αὐτοῦ (Ζ, κς)· « Πεισίστρατον δὲ, ἡνίκα ἔπη τὰ Ὁμήρου » διεσπαρμένα τε καὶ ἈΛΛΑΧΟΥ͂ μνημονευόμενα ἠθροίζετο κ. τ. λ. » καὶ τυφλῷ γὰρ δῆλον ὅτι τῇ ἡμαρτημένῃ ταύτῃ γραφῇ ἀνθυποβλητέον τὸ ἌΛΛΑ ἈΛΛΑΧΟΥ͂. — ΣΕΛ. 100, στ. 9, Εἰ δὴ ὁ Ἵππαρχος Πλάτωνός ἐστι τῷ ὄντι ] Τουτέστιν ὁ διάλογος ὁ ἐπιγραφόμενος, Ἵππαρχος, εἰ τῷ ὄντι συγγέγραπται Πλάτωνι· ἐξ ὧν δῆλον ὅτι περιγραπτέον, ὥς φασιν οἱ κριτικοί, τὸ ἐμφερόμενον ἐν πολλοῖς, Μαθητὴς, μετὰ τὸ, Τῷ ὄντι.

ΚΕΦ. γ, σελ. 100, στ. 14, Διιπόλια.] Ἔπιθι περὶ τούτων τὸν Παυσανίαν (Α, κδ, καὶ κθ), καὶ τὸν σχολιάσαντα τὰ Ἀριστοφάνους (Νεφελ. 985)

ΚΕΦ. δ, σελ. 100, στ. 19, Επιστήματα.] Στήλας ἐπιταφίους.

ΚΕΦ. έ, σελ. 100, Καὶ τῶν ἐν Ἰωνίᾳ.] Προσέθηκα τὸ ἄρθρον, ὅπερ ἀσολοίκως ἐλλείπειν ἐνταῦθα γε οὐκ ἐνδέχεται. — ΣΕΛ. 101, στ. 9, Ὤκισαν.] Ἐξ ἑτέρων διορθώσεως ἀντὶ τοῦ, Ὤκησαν. — Στ. 10, Καὶ πρῶτον μὲν ᾤκισε.] Ἐξ ἀντιγράφου, ἀντὶ τοῦ, ᾤκησε. — Στ. 12, Ἀφ' ὧν αἱ δώδεκα.]

οὐκ ἔρρωται τὸ χωρίον· ὁ γὰρ νοῦς τοιοῦτος ὀφείλει εἶναι, Μετὰ τὸ ἐξελαθῆναι τοὺς προειρημένους βαρβάρους, ἐκλήθησαν αἱ δώδεκα πόλεις τοῖς ἐχομένοις ὀνόμασι, Μίλητος, Ἔφεσος κ. τ. λ. τέως ὑπ' ἐκείνων κατεχόμεναι, καὶ ἄλλοις ὡς εἰκὸς ὀνόμασι καλούμεναι.

ΚΕΦ. ζ', ΣΕΛ. 102, στ. 5, Ἰδιοξένους.] Ἰδιόξενον ἐξηγεῖται Ἡσύχιος τὸν ἴδιον φίλον. — Στ. 9, Πρὸς Σάλπιγγα.] Ὡς γράφεται παρὰ τῷ Ἀθηναίῳ (ΙΒ, σελ. 538) ἐξ οὗ ταῦτα παρείληφεν, ἀντὶ τοῦ, Προσαλπιστά. — Στ. 10, ᾀδούσης.] Τῆς σάλπιγγος δηλονότι· παρείληφα δὲ ἐξ ἀντιγράφων, ἀντὶ τῆς ἑτέρας γραφῆς ᾆδον, ἣν εἰς τὸ ᾖδον ἔτρεψαν ἐξ ἑτέρων διορθώσεως οἱ πρὸ ἡμῶν. Στ. 11, Ἐσήμαινεν.] Ἡ σάλπιγξ δηλονότι, οὕτω διορθωσαμένου μου ἀντὶ τοῦ Ἐσήμαινον. — Στ. 14, Ἦσαν δὲ καὶ ἐκ τῆς Ἰνδικῆς κ. τ. λ.] Συγκεχυμένα ταῦτα, καὶ πολὺ τῆς ἀκριβείας λειπόμενα, εὑρήσεις παραβαλὼν τοῖς παρὰ τῷ Ἀθηναίῳ (σελ. 538), ὃς θεράποντας ἀπὸ τῆς Ἰνδικῆς, οὐ θαυματοποιοὺς παραγεγονέναι φησίν· ἡ δὲ σύγχυσις ἀπ' αὐτοῦ τοῦ τὸν Ἀθήναιον ἐπιτεμόντος· κἀκεῖνος γὰρ, « Καὶ οἱ ἀπὸ τῆς Ἰνδικῆς θαυματοποιοὶ ἦσαν » διαπρέποντες » ἔγραψε, μὴ συνεὶς τὰ τοῦ Ἀθηναίου.

ΚΕΦ. ή, σελ. 102, στ. 17, Κόνων.] Κίμων γραπτέον εἶναι φασί τινες οὐκ ἀπιθάνως, ὡς γράφεται παρὰ τῷ Πλινίῳ (ΛΕ, ή)· πλὴν εἰ μή τις ἀντισχυρίζοιτο Πλίνιον ἐξ Αἰλιανοῦ διορθωτέον εἶναι. — Στ. 19, Εν σπαργάνοις καὶ γάλαξιν οὖσαν.] Ενταῦθά τε κἀν τοῖς ἑξῆς (1, ι)· περιεργότερον ἐξέφρασεν ὅπερ ἀφελέστερον εἴρηκεν Εὐριπίδης (Ἡρ. μαινομ. 1266),

Ἔτ' ἐν γάλακτί τ' ὄντι. . . . . . . .

ΚΕΦ. θ', σελ. 102, στ. 27, Κατασχών.] Ἐξ ἀντιγράφου, ἀντὶ τοῦ παρ' ἄλλοις Κατασχόν. — ΣΕΛ. 103, στ. 2, Εἴη δ' ἄν.] Διώρθωκα τὸν σολοικισμὸν τῇ προσθήκῃ τοῦ Ἄν, καίπερ ἐνδεχόμενον ἄλλως αὐτὸν τὸν Αἰλιανὸν σολοικίσαι. — Στ. 4, Τεύχων ὡς ἑτέρῳ κ. τ. λ.] Εὕρηται καὶ ἐν τῇ Ἀνθολογίᾳ τὸ ἔπος μικρὸν παραλλάττον (ἐν τοῖς Ἀναλέκτ. Βρυγκ. Β, σελ. 327),

Ὃς δ' ἄλλῳ κακὰ τεύχει, ἑῷ κακὸν ἥπατι τεύχει.

καὶ σημειούσθω ἡ τοῦ ἥπατος κάκωσις, ἐκ τούτου ἴσως λαβοῦσα τὴν ἀρχὴν, ὅτι ἐν τῷ ἥπατι ἐπιθυμίαν τε καὶ ἡδονὴν τὴν κατὰ ἄνθρωπον ἱδρύσθαι ἐνόμιζον οἱ ἀρχαῖοι, καθὰ τὸν θυμὸν ἐν τῇ καρδίᾳ, καὶ τὸ λογιστικὸν τῆς ψυχῆς μέρος ἐν τῷ ἐγκεφάλῳ· διὸ καὶ ὁ Προμηθεὺς τὸ ἧπαρ ἐσθίεσθαι ὑπὸ ἀετοῦ μεμύθευται, ὡς ἡδονὴν ἅπασαν ἁπλῶς ἀφαιρουμένου τοῦ κολαζομένου. καὶ ἐν τῇ συνηθείᾳ δὲ περὶ τοῦ λυποῦντος ἄγαν, εἴτε πράγματος, εἴτε προσώπου, « Μοῦ τρώγει τὸ συκώτιον » ἢ, « τὰ συκώτια » φαμὲν, οὕτως ὀνομάζοντες, ὅπερ ὁ παρακμάζων ἑλληνισμὸς, Συκωτὸν ἧπαρ, οἱ δὲ ἀρχαιότεροι, Σεσυκασμένον ἧπαρ, ἔλεγον. ἔλαβε δὲ τὴν ἀρχὴν ἡ τοιαύτη κλῆσις ἀπὸ τῆς τινῶν λιχνείας· ἐσύκαζον γὰρ, τουτέστι σύκοις ξηροῖς ἔτρεφον τὰ ζῶα, οἷον σύας τε καὶ χῆνας, ὧν ἡδίω τε καὶ παχύτερα παρασκευάζειν ἐβούλοντο τὰ ἥπατα (Γαλην. περὶ τροφ. δυνάμ. Γ, σελ. 339). παραπλησίως δὲ καὶ ὁ παρακμάζων λατινισμὸς Ficatum ὠνόμασε τὸ σεσυκασμένον, ἢ συκωτὸν ἧπαρ, παρὰ τὸ Ficus, ὅ ἐστι σῦκον, ὅθεν καὶ τὸ παρ' Ἰταλοῖς Fegato. τό γε μὴν

ἧπαρ ἐπὶ μὲν τοῦ ἑνικοῦ ἀριθμοῦ ἀγνοεῖ ὅλως ἡ παρ' ἡμῖν συνήθεια· κέχρηται μέντοι τῷ πληθυντικῷ μεταφορικῶς ἐπὶ τῆς σωματικῆς ἰσχύος τε καὶ δυνάμεως, οἷον ἐν ταύταις ταῖς φράσεσι, « Δὲν ἔχω ἥπατα » καί, « Ἐκόπησαν τὰ » ἥπατά μου » αἳ ταυτό πως σημαίνουσι τοῖς παρ' Ὁμήρῳ (Ἰλιάδ. Η, 6), Γυῖα λέλυνται, καὶ (Θ, 103) Βίη λέλυται. ὡρμήθη δὲ ἴσως ἐπὶ τοῦτο ἐκ τῆς ὡς ἐπὶ τὸ πολὺ παρακολουθούσης τοῖς ἡπατικοῖς ἐκλύσεώς τε καὶ ἀτονίας. Ἡπατικοὺς γὰρ ἐκάλουν οἱ Ἰατροί, ὥς φησι Γαληνὸς (Περὶ συνθ. φαρμ. τῶν κατὰ τόπους Η, σελ. 286) τοὺς ἄνευ φανεροῦ τινος ἐν τῷ σπλάγχνῳ κακοῦ περὶ τὰς οἰκείας ἐνεργείας ἀτονοῦντας. Παρῳδήθη δ' ἀμφότερα τὰ ἔπη ἐκ τῶν Ἡσιόδου (Ἔργ. καὶ Ἡμέρ. 263),

Οἷ αὐτῷ κακὰ τεύχει ἀνήρ, ἄλλῳ κακὰ τεύχων.

Στ, 5, Ὅτι διεψεύσατο κ. τ. λ.] Οὐκ ἔῤῥωται τὸ χωρίον· ἴσως γραπτέον, Οἱ δὲ, ὅτι διεψεύσατο, τουτέστιν. Ἄλλοι δέ φασι ταῦτα ποιῆσαι τὸν Κρατεύαν, ὅτι ψευδῶς ἐπηγγείλατο δώσειν αὐτῷ μίαν τῶν θυγατέρων Ἀρχέλαος.

ΚΕΦ. ιά. σελ. 103, στ. 14, Οὐδὲν ἔτι θαυμάζωμεν.] Διωρθωσάμην τὸ Θαυμάζομεν τρέψας εἰς τὸ ὑποθετικὸν Θαυμάζωμεν· ὤφειλον δὲ καὶ τὸ, Οὐδὲν ἔτι, μεταβαλεῖν εἰς τὸ, Μηδὲν ἔτι, ἢ Μηκέτι· τοιοῦτον γάρ τι βούλεται ἡ ἀπόδοσις, Ὅπου καὶ τοὺς ποταμοὺς κ. τ. λ.

ΚΕΦ. ιϐ', ΣΕΛ. 104, στ. 1, Οὐ γάρ; ἀλλ' ἀληθές.] Προσέθηκα τὸν Ἀλλὰ σύνδεσμον, δόξαν τοῦτο καὶ ἄλλοις τῶν πρὸ ἡμῶν, στίξας μέντοι διαφόρως τὸ χωρίον. — Στ. 2, Αἰσχίνης.] Ἐγράφετο, Αἰσχίνης δέ. ἀλλὰ περιγραπτέον εἶναι τὸν σύνδεσμον, καὶ ἕτεροι πρὸ ἡμῶν ἀπεφήναντο, ἵν' ἔχῃ συνάπτεσθαι τὸ λεγόμενον τῇ γενικῇ, Ἐκπεσόντος. — Στ. 7, Τὴν ἐξ αὐτοῦ εὔνοιαν.] Οὕτω διώρθωκα ἀντὶ τοῦ, Ἐξ αὐτοῦ τὴν εὔνοιαν. — Στ. 8, Ἐφολκά.] Τουτέστιν Ἐπαγωγά· ἐξ ἑτέρων διορθώσεως, ἀντὶ τοῦ, Ἐφόλκια.

ΚΕΦ, ιδ', σελ. 104, στ. 22, Μόνον.] Διορθοῦνταί τινες, Μόλις· ἕτεροι δὲ, Μόνος. — Γεφυρίου.] Ὑποκοριστικὸν τῷ τύπῳ, ἀλλ' οὐ καὶ τῷ σημαινομένῳ, καθὰ καὶ τὸ τοῦ Ἐπικτήτου (Ἐγχειρ. ιϐ') Ἐλάδιον καὶ Οἰνάριον, καὶ ἄλλα πολλὰ παρὰ τοῖς κατ' ἐκείνους τοὺς χρόνους ἀκμάσασι συγγραφεῦσι, τὴν ἀρχὴν ἐκ τῶν ἀρχαίων Κωμικῶν λαβόντα· παρὰ γὰρ τῷ Ἀριστοφάνει ἔστιν εὑρεῖν Βοΐδιον (Ἀχαρν. 1036), καὶ Βοϊδάριον (Ὄρν. 585), ἀντὶ τοῦ Βοός. ἔνθεν καὶ ἡ συνήθεια λαβοῦσα καὶ καταχρησαμένη πλεῖστα τῶν ὀνομάτων εἰς οὐδέτερα ὑποκοριστικὰ ταυτόσημα τοῖς πρωτοτύποις μετεποίησεν· Ἐλάδιον (χυδ. Λάδι) γὰρ φαμὲν, Τυρίον, Θηκάριον, Σφογγάριον, Κλειδίον, Βώδιον κ. τ. λ. οὐδὲν πλέον σημαίνειν βουλόμενοι τῶν πρωτοτύπων, Ἔλαιον, Τυρὸς, Θήκη, Σπόγγος, Κλεῖς, Βοῦς. — ΣΕΛ. 105, στ. 1, Ἰλισσόν.] Ὁ μὲν Ἰλισσὸς τῆς Ἀττικῆς ἐστὶ ποταμὸς, Διογένης δὲ ἐν Κερίνθῳ ἀπέθανε· διὸ καὶ φασί τινες τῶν κριτικῶν, οὔτ' Ἰλισσὸν, οὔθ', ὡς γράφεται παρὰ Διογένει τῷ Λαερτίῳ (ἐν Διογέν.), Ἐλισσὸν, ἀλλ' Ἐλισσῶνα δεῖν γράφειν· ἔστι δ' ὁ Ἐλισσὼν ποταμὸς οὐ μακρὰν ἀφεστηκὼς τῆς Κορίνθου (Παυσαν. Β, ιϐ').

ΚΕΦ. ιέ, σελ. 105, στ. 4, Λογισμῷ.] Οὕτω δεῖν γράφειν ὑπέλαβον ἐκ τοῦ Στοβαίου· ὁ δὲ νοῦς, Διὰ τοῦ λογισμοῦ ἐκράτησε τῆς ἐπάρσεως. ἔστι δὲ τοῦτο πιστώσασθαι καὶ ἐξ Ἀριστοτέλους, παρ' ᾧ (περὶ ἀρετ. καὶ κακ. Τόμ.

Β, σελ. 375) οὐχ ἅπαξ εἴρηται τὸ «Κατασχεῖν τῷ λογισμῷ τὴν ἐπιθυμίαν » ὁρμῶσαν ».

ΚΕΦ. ιϛ', σελ. 105, στ. 19, Ὑποσιωπῶσι.] Ἐν ἄλλ. Ἀποσιωπῶσι. — Στ. 26, Αὐτῷ παιδικὰ γενέσθαι.] Τῷ Σόλωνι παιδικὰ γενέσθαι ὁ Πεισίστρατος. ἐγράφετο, Αὐτὸν, ὃ παραινεσάντων ἑτέρων τρέπειν εἰς τὸ Αὐτοῦ, ἢ Αὐτῷ, προειλόμην τὴν δευτέραν διόρθωσιν.

ΚΕΦ. ιζ', ΣΕΛ. 106, στ. 6, Ὁ Ἰνύκινος.] Ὁ ἐξ Ἴνυκος, ἢ Ἰνύκου, πόλεως Σικελικῆς. ἡ ἱστορία παρ' Ἡροδότῳ (ϛ', κγ' καὶ κδ'), ᾧ οὐκ ἀκριβῶς ἐπέστησε τὸν νοῦν ὁ Αἰλιανός. — Μονάρχης.] Κατὰ τὸν ἐν τῇ συνηθείᾳ τύπον· οἱ γὰρ ἀρχαῖοι τῷ Μόναρχος ὡς ἐπὶ τὸ πολὺ κέχρηνται.

ΚΕΦ. ιή, σελ. 106, στ. 18, Φόρους πραττόμενον.] Ἀστείως πάνυ τῶν τις κριτικῶν τὸν ἐν Τεμέσῃ ἥρωα, τῶν ἱερέων τινὰ γεγονέναι ὑπονοεῖ, ὃς ῥώμῃ σώματος πεποιθὼς, καὶ τὸν τιμώμενον δαίμονα ὑποκρινάμενος ἐπὶ τὸ φορολογεῖν ἐτράπετο. — Στ. 23, Ὅτι αὐτοῖς ἀφίξεται ὁ ἐν Τεμέσῃ Ἥρως.] Ἄδηλον τὸ εἰρημένον, καὶ ἡ παροιμία δὲ ἄλλως παρ' ἄλλοις ἐκπέφρασται· ὤφειλε γὰρ ὁ νοῦς εἶναι, Ἀφίξεται αὐτοῖς ὁ τὸν ἐν Τεμέσῃ ἥρωα νικήσας, οὐκ αὐτὸς ὁ ἥρως· ἡ ἱστορία παρὰ Παυσανίᾳ (ϛ', ϛ') καὶ Στράβωνι (ϛτ', σελ. 255). — Στ. 25, Καικινόν.] Γράφεται παρὰ τῷ Θουκυδίδῃ, Καϊκινὸς, καὶ Καικῖνος, παρὰ δὲ τῷ Παυσανίᾳ Καικίνης, ὁ ποταμὸς οὗτος.

ΚΕΦ. ιθ', ΣΕΛ. 107, στ. 2, Ἐνθάδ' ὁ πλεῖστον.] Φέρεται καὶ παρὰ Διογένει τῷ Λαερτίῳ τὸ ἐπίγραμμα. — Στ. 4, Βωμὸς αὐτῷ ἵσταται.] Διορθοῦσθαί τινες ἐπεχείρησαν, Βωμὼ αὐτῷ ἵστατον, ἕτεροι δὲ, Βωμοὶ αὐτῷ ἵστανται, διὰ τὸν ἐχόμενον ἐπιμερισμὸν, ὁ μὲν, νοῦ, ὁ δὲ, ἀληθείας· ἀλλ' ὡς οὐ χρεία τῶν τοιούτων διορθώσεων, δῆλον αὐτίκα γενήσεται ἐκ τῶν ἐχομένων. Οἱ μὲν, νοῦ, οἱ δὲ, ἀληθείας.] Ἐγράφετο, Ὁ μὲν νοῦ, ὁ δὲ ἀληθείας, ὃ δὴ καὶ δύο τοὺς βωμοὺς εἶναι παρεῖχεν ὑπόνοιαν· λέγει δὲ οὐ τοῦτο Αἰλιανὸς, ἀλλ' ὅτι τὸν Ἀναξαγόρᾳ ἱστάμενον βωμὸν, οἱ μέν φασι, Νοῦ, οἱ δὲ, Ἀληθείας, ἐπιγεγράφθαι, ἐλλειπτικῶς τοῦ, Φασὶ, προσυπακουομένου· καὶ μαρτυρεῖ τῇ ἡμετέρᾳ διορθώσει, αὐτὸς Αἰλιανὸς, τῇ αὐτῇ ἀλλαχοῦ (παρὰ Σουίδ. λέξ. Ἀπώνατο) ἐλλείψει (Κομψῶς, ὡς ἂν φαῖεν οἱ τὰ τοιαῦτα ζηλοῦντες, ἡμῖν γε μὴν λεγέσθω, Σοφιστικῶς) χρησάμενος, « Οὐ μὴν ἀπώνητο οὐδὲν, » ἀλλὰ ἐξέζεσε ζῶν κακοῖς θηρίοις, οἱ μὲν, εὐλαῖς, οἱ δὲ, ὅτι οὐ ταύταις, » φθειρσί γε μήν ».

## ΒΙΒΛΙΟΝ ΕΝΝΑΤΟΝ.

ΚΕΦ. ά, ΣΕΛ. 108, Συνεβίου.] Εἰς τοῦτο ἔτρεψα τὸ Τῆς ἐπιγραφῆς Εβίου. — Στ. 5, Ἀβασανίστως.] Τουτέστιν ἄνευ ἐξετάσεως, διὰ τὸ εἰς αὐτοὺς ἀνύποπτον· τινὲς δὲ, Ἀβασκάντως δεῖν γράφειν φασὶν, οὐκ ἀπιθάνως. Στ. 7, Καὶ Σιμωνίδης.] Λείπει ταῦτα ἔν τισι τῶν ἀντιγράφων.

ΚΕΦ. γ, ΣΕΛ. 109, στ. 4, Εἱμάτων·] Τοὺς τάπητας ἐνταῦθα λέγει, ὧν εἰσι καὶ τὰ κατὰ παραφθορὰν καλούμενα Πεύκια, παρὰ τὸ Επεύχια· ἐπ' αὐτοῖς γὰρ γονυκλιτοῦντες εὔχονται οἱ βάρβαροι. — Στ. 5, Διφθέραι.] Δέρματα ζώων ἐξ ὧν ἐσκηνοποίουν· Διφθέραι δ' ἐκαλοῦντο καὶ τὰ βιβλία, διὰ τὸ ἐπὶ δερμάτων γράφειν τοὺς πάλαι (Ἡροδότ. Ε, νη)· ἔνθεν ἡ

συνήθεια παραλαβοῦσα ἔτι καὶ νῦν Τεφτέρια καλεῖ τὰ καὶ ἑτέρως λεγόμενα Κατάστιχα. — Στ. 6, Ὑφ' ὧν περιλαμβάνοντες.] Ἐγράφετο, Ἀφ' ὧν· παρὰ δὲ Ἀθηναίῳ (ΙΒ, σελ. 539), ἐξ οὗ ταῦτα παρελήφθη, Ὑφ' αἷς. — Στ. 9. Λεοννάτῳ δὲ καὶ Μενελάῳ φιλοθηροῦσιν.] Προσέθηκα τὸν Δὲ ἐκ τοῦ Ἀθηναίου· ἀποκατέστησα δὲ καὶ τὴν ἀρχαίαν γραφὴν, Φιλοθηροῦσιν (παρὰ τὸ Φιλοθηρέω), μακρὰν χαίρειν φράσας τῷ Φιλοθηρῶσιν (παρὰ τὸ Φιλοθηράω), ὃ διορθούμενοι ἔγραψάν τινες τῶν πρὸ ἡμῶν· καὶ γὰρ τὰ τοιαῦτα σύνθετα ἀπὸ τῆς δευτέρας λεγομένης τῶν περισπωμένων εἰς τὴν πρώτην μεταπίπτειν φιλοῦσιν· οἷον Φιλονικέω, παρὰ τὸ Νικάω, καὶ Φιλοτιμέω, παρὰ τὸ Τιμάω. Φιλώτα δέ φησι Πλούταρχος (Ἀλεξάνδρ. §. 40] γεγονέναι, ἃς Αἰλιανὸς Λεοννάτῳ καὶ Μενελάῳ αὐλαίας ἀκολουθεῖν ἱστορεῖ. — Στ. 15, Ἐκτὸς εἱστήκεσαν.] Οὕτω γράφειν προῆγμαι, Εἱστήκεσαν, ἀντὶ τοῦ Εἱστήκεισαν· ὅτι καὶ Διειλήφεσαν μικρὸν ἀνωτέρω γέγραπται, οὐ Διειλήφεισαν (ἴδ. τὰ εἰς τὸν Ἡλιόδωρ. σημ. σελ. 173.) Ἐκτὸς δὲ, ἀντὶ τοῦ Ἐντὸς, ἀκολουθήσας τῷ Λατίνῳ τοῦ Ἀθηναίου μεταφραστῇ. — Στ. 16, Φλόγινα. . . . . καὶ ὑσγινοβαφῆ.] Φλόγινον μὲν χρῶμά ἐστι τὸ ὑπέρυθρον, καὶ οἷον λαμπυρίζον ὡς φλόξ· Ὕσγινον δὲ, ἢ Ὑσγινοβαφὲς, παρὰ τὴν Ὕσγην τὸ φυτόν. Ὕς δὲ, ἢ Ὕσγη, ἐκαλεῖτο, τῇ τῶν ἐν Ἀσίᾳ Γαλατῶν φωνῇ, καθά φησι Παυσανίας (Ι, λϛ'.), ὁ παρὰ τοῖς Ἕλλησι λεγόμενος Κόκκος, ὃν ἡ συνήθεια Πρινοκόκκιον ὀνομάζει, ἐξ οὗ καὶ τὸ Κόκκινον οὕτω λεγόμενον χρῶμα. ἄλλοι δ' ἑτέραν τοῦ Κόκκου τὴν Ὕσγην ἀποδεδώκασι, περὶ ὧν ἔπιθι τὸν Σαλμάσιον (Πλιν. Γυμν. σελ. 193).

ΚΕΦ. δ, ΣΕΛ. 110, στ. 13, Τὸ δὲ ᾆσμα.] Τὸ μὲν ἐπὶ τῷ Σμερδίῃ ᾆσμα οὐκέτι σώζεται· λείψανον δὲ μικρὸν αὐτοῦ ἐστὶ τὸ τοῦ Φαυωρίνου παρὰ τῷ Στοβαίῳ (ξδ'),

Ἀπέκειρας δ' Ἁπαλῆς
Κόμης ἄμωμον ἄνθος.

ἔοικε δὲ καὶ τὸ παρὰ τῷ Ἐτυμολόγῳ (σελ. 714),

Θρηΐκίην σίοντα χαίτην,

τοῦ αὐτοῦ τούτου ᾄσματος ἀποσπασμάτιον εἶναι· καὶ γὰρ ὁ Σμερδίης Θρᾷξ ἦν, ὡς δηλοῖ τὰ εἰς Ἀνακρέοντα ἐν τῇ Ἀνθολογίᾳ ἐπιγράμματα.

ΚΕΦ. έ, Σελ. 110, στ. 16, Εἰς Ὀλυμπίαν.] Οὕτω γέγραφα, δόξαν τοῦτο καὶ ἄλλοις, ἀντὶ τοῦ, Εἰς Ὀλύμπια. — 18, Τοῦ μεγίστου τῶν κινδύνων.] Τοῦ κατὰ τῶν Περσῶν πολέμου, ᾧ οὐ παρεγένετο ὁ Ἱέρων.

ΚΕΦ. ή, ΣΕΛ. 111, στ. 6, Τοὺς οἴκους τῶν μεγίστων τῶν ἐν τῇ πόλει.] Ἐξήλλακται ταῦτα τῶν παρὰ τῷ Ἀθηναίῳ (ΙΒ, σελ. 541), ὅς φησι, « Στρώσας οἶκον τῶν ἐν τῇ πόλει τὸν μέγιστον ἑρπύλλοις καὶ ῥόδοις ». — Στ. 9, Συνῆν αὐταῖς ἀκολαστότερον.] Ἐγράφετο, Ἀκολαστότατος, ἐν ἄλλοις δὲ, Ἀκολαστότερος, ὃ δὴ εἰς τὸ ἐπιῤῥηματικὸν, Ἀκολαστότερον, τρέψαι δεῖν ἔγνων.

ΚΕΦ. θ, Σελ. 111, στ. 23, Δημήτριος ὁ πολιορκητής.] Μνήμης ἁμαρτίᾳ τὰ περὶ Δημητρίου τοῦ Φαληρέως ἱστορημένα τοῖς ἄλλοις (Ἀθην. σελ.

542) εἰς τὸν Πολιορκητὴν Δημήτριον μετήνεγκεν ὁ Αἰλιανός. — Στ. 27, Ἐῤῥαίνετο αὐτῷ.] Τῷ Δημητρίῳ δηλονότι· ἐξ ἡμετέρας διορθώσεως, ἀνθ' οὗ ἐγράφετο ἔν τισι μὲν, Ἐῤῥαίνετο καὶ αὐτὸ, ἐν ἑτέροις δὲ, Ἐῤῥαίνετο καὶ αὐτῷ. — ΣΕΛ. 112, στ. 1, Τὰ ἐνακμάζοντα τῶν ἀνθῶν πάντα.] Ἔτρεψα εἰς τὸ Πάντα τὸ παρ' ἅπασι Ταῦτα. — Στ. 5, Παιδέρωτι.] Εἶδος μύρου ὁ Παιδέρως, ᾧ ἐνετρίβοντο τὰ πρόσωπα εἰς τὸ ῥοδοειδέστερα φαίνεσθαι· οἷόν ἐστι τὸ παρ' ἡμῖν νῦν ὀνομαζόμενον Κοκκινάδιον. — Στ. 6, Καὶ τοῖς ἄλλοις δὲ ἐχρίετο ἀλείμμασι.] Ἔτρεψα τὸ Ἐχρῆτο εἰς τὸ Ἐχρίετο, ἐξ Ἀθηναίου παραλαβών· οὕτω γὰρ ἐκεῖνος (σελ. 542) περὶ τοῦ Δημητρίου, « Καὶ παιδέρωτι τὸ πρόσωπον ὑπαλειφόμενος, καὶ τοῖς ἄλλοις » ἀλείμμασιν ἐγχρίων ἑαυτόν ».

ΚΕΦ. ί, Σελ. 112, στ. 10, Τὰ ἄκρα τὰ τοῦ Ἄθω.] Μακροβίους γὰρ ἐπιστεύετο τοὺς ἐνοικοῦντας ποιεῖν ὁ Ἄθως, καὶ ἐξαιρέτως *μία τῶν ἐν αὐτῷ πόλεων*, Ἀκρόθωον, οὐδετέρως (Ἡροδοτ. Ζ, κϐ), ἢ Ἀκρόθωοι, ἀρσενικῶς καὶ πληθυντικῶς (Θουκυδ. Δ, ρθ) καλουμένη· ἣν εἰκὸς ἐνταῦθα αἰνίττεσθαι τὸν Αἰλιανόν. Ἀκρόαθων αὐτὴν ὁ Ῥωμαϊκὸς Γεωγράφος Μέλας (Β, β), τῇ παραγωγῇ καταλληλότερον ὀνομάζει. ἔχει δὲ τοῦτο κοινὸν ὁ Ἄθως πρὸς ἅπανθ', ὡς εἰπεῖν, τὰ ὀρεινά τε καὶ μετέωρα τῶν χωρίων, περὶ ὧν ἔπιθι τὰ σημειωθέντα μοι (σελ. 58) εἰς τὸ Περὶ Ἀέρων, ὑδάτων, τόπων, τοῦ Ἱπποκράτους. — Στ. 11, Μετῴκησα ἄν.] Πλεονάζει ὁ Ἂν, εἴτε τῶν γραψάντων ἁμαρτίᾳ, εἴτε καὶ αὐτοῦ τοῦ Αἰλιανοῦ ὑπεραττικίσαι προελομένου· διπλασιάζειν γὰρ πολλάκις φιλοῦσιν οὗτοι τὸν μετ' ἀρνήσεως δυνητικὸν, εἰς πλείονα τῆς ἀποφάσεως ἔμφασιν (Ἀριστοφάν. Σφ. 506),

. . . . . Ἐγὼ γὰρ οὐδ' ἊΝ ὀρνίθων γάλα
Ἀντὶ τοῦ βίου λάβοιμ' ἊΝ. . . . . . . .

Μακροβιώτερος.] Ἐξ ἀντιγράφων, ἀντὶ τοῦ, Μακροβιώτατος.

ΚΕΦ. ιά, Σελ. 112, στ. 17, Εἶτα ἡττήθη.] Λείπουσι ταῦτα ἔν τισι τῶν ἀντιγράφων. — Τὸ δὲ ἐπίγραμμα.] Ἐπίγραμμα ἐνταῦθα λέγει τὴν εἰκόνα, οὐκ ἀκριβῶς· εἰ γὰρ καὶ τοῦτο ἔσθ' ὅτε σημαίνει, ᾗ δῆλον ἐκ τοῦ παρ' Ἡσυχίῳ « Ἐπιγραφεὺς, ζωγράφος », ἀλλὰ μικρῷ πρόσθεν, τὸ Ἐπιγράμματα ἐφ' ἑτέρας τεταχὼς διανοίας, ὤφειλεν ἐνταῦθα διαφυγεῖν τὸ παρὰ τὴν ὁμωνυμίαν ἀμφίβολον. — Στ. 24, Ἀνασπάστοις ἐπέσφιγγε τοὺς ἀναγωγέας.] Τοὺς ἱμάντας λέγει, οἷς προσδέουσι τοῖς ποσὶ τὰς βλαύτας. Ἀνάσπαστοι δὲ, ἢ Ἀνάσπαστα, αὗται ἂν εἶεν αἱ ἐπὶ τῶν ἄκρων περόναι, αἱ συσφίγγουσαι καὶ συνέχουσαι τοὺς ἱμάντας.

ΚΕΦ. ιδ, ΣΕΛ. 114, στ. 1, Φιλήταν.] Ἢ καὶ Φιλητᾶν· διφορεῖται γὰρ τὰ τοῦ τόνου· ὀρθώτερον δὲ τὸ περισπᾶν. — Στ. 3, Πέλματα.] Πέλμα ἐνταῦθα ὁ ἐν τῇ συνηθείᾳ Πάτος τοῦ ὑποδήματος, τὸ τελευταῖον δηλαδὴ σκύτος, ᾧ πατεῖται τοὔδαφος· οἱ δὲ ἀρχαιότεροι Πέλμα ἔλεγον τὸ ἄκρον τοῦ ποδὸς, τὸ καὶ Τύλωμα καλούμενον, ὅπερ ἡ συνήθεια Πατοῦσαν οὐκ ἀφυῶς ὠνόμακε, διὰ τὸ τούτῳ μάλιστα τῷ μέρει πατεῖν καὶ στηρίζεσθαι τὸν πόδα. ἡ δὲ Πατοῦσα, καθὰ καὶ ἡ Λεχοῦσα (οὐχὶ Πατοῦνα καὶ Λεχοῦνα ὡς ἐν

τοῖς

τοῖς λεξικοῖς φέρεται) μετοχαί εἰσιν εἰς ὀνόματα μεταπεσοῦσαι, ἡ μὲν παρὰ τὸ Πατέω, συνυπακουομένου τοῦ Μερὶς, ὡς ἂν εἴποι τις ἡ πατοῦσα μερὶς τοῦ ποδὸς, ἡ δὲ παρὰ τὸ Λεχόω, οὗ τὸ ἁπλούστερον Λέχω παρῆξε τὸ Λέχος, καὶ τὴν Λεχὼ, οὐδὲν οὖσαν ἄλλο ἢ τὴν παρ' ἡμῖν Λεχοῦσαν, ἣ τῷ Αἰλιανῷ (Περὶ ζώων ἰδιότ. ΙΒ, ιδ') καὶ Λεχῶσα εἴρηται, παρὰ τὸ Λεχάω, πλὴν εἰ μὴ καὶ παρ' ἐκείνῳ Λεχοῦσα, γραπτέον ἐστί· τοιοῦτόν τι καὶ ἡ Βρωμοῦσα (ἣν οἱ Γάλλοι Salope καλοῦσι) παρὰ τὸ Βρωμέω, οὗ μᾶλλον ἐν χρήσει ἦν τὸ βρωμάω, ὅθεν καὶ ὁ Βρωμολόγος, ὁ τοιαῦτα λέγων οἷα ἐνοχλεῖν ταῖς ἀκοαῖς, ὡς τὰ κακῶς ὄζοντα ταῖς ῥισί.

**ΚΕΦ.** ιστ', Σελ. **114**, στ. **17**, Ἀνθρώπῳ ὅμοια, τὰ κατόπισθεν δὲ ἵππου.] Ὤφειλεν εἰπεῖν, Ἵππῳ, ὡς εἴρηκεν, Ἀνθρώπῳ· ἀλλὰ Ῥωμαΐσαι προείλετο ἐνταῦθα ὁ Ῥωμαῖος Αἰλιανός· παρ' ἐκείνοις γὰρ τὸ Similis (ὅπερ ἐστὶν Ὅμοιος) ἡ πλείων χρῆσις γενικῇ συντάσσει. — Στ. **18**, Εἰς τὴν Ἑλλάδα φράσιν.] Τουτέστι μεταφραζόμενον Ἑλληνιστί· ἡ δὲ γραφὴ ἐξ ἑτέρων διορθώσεως, ἀντὶ τοῦ παρ' ἅπασι τοῖς πρὸ ἡμῶν ἡμαρτημένου, Φασίν. — Στ. **22**, Ἀνεβίω.] Ἐξ ἑτέρων διορθώσεως, ἀντὶ τοῦ ἁπλοῦ, Ἐβίω. Στ. **24**, Τὸ δὲ αἴτιον διὰ τὴν τῶν κ. τ. λ.] Κεχυδαΐσται ἡ φράσις· ὤφειλε γὰρ εἰπεῖν, «Τὸ δὲ αἴτιον ἡ τῶν ὡρῶν εὐκρασία, καὶ ἡ τῆς χώρας ἀρετὴ», ἢ χαίρειν ἐᾶσαι τὰς τρεῖς λέξεις ταύτας, «Τὸ δὲ αἴτιον».

**ΚΕΦ.** ιή, **ΣΕΛ. 115**, στ. **14**, Στέγην.] Ἐξ ἀντιγράφων, ἀντὶ τοῦ, Στέγειν.

**ΚΕΦ.** κ, **ΣΕΛ. 116**, στ. **5**, Εὐδαίμονος.] Ἐξ ἀντιγράφου, ἀντὶ τοῦ, Εὐδαιμονίας.

**ΚΕΦ.** κά, Σελ. **116**, στ. **6**, Ἐν οἰκίᾳ ποτέ.] Ταύτην ἐξ ἀντιγράφων προειλόμην τὴν γραφὴν ἀντὶ τῆς παρὰ τοῖς ἑτέροις, Ἐν οἰκίᾳ τινί. — Στ. **12**, Καταναγκασθείς.] Ἐν ἄλλ. Κατακριθείς, οὐ κακῶς.

**ΚΕΦ.** κδ', **ΣΕΛ. 117**, στ. **1**, Ἐς τοσοῦτον.] Ἀναντapόδοτον τὸ Τοσοῦτον, οἷα πλεῖστα παρὰ τῷ Αἰλιανῷ εὑρεῖν ἐστιν, ἠμελημένου Ἑλληνισμοῦ σημεῖα (Παράβαλλε τοῖς ἀνωτέρω Ε, ιζ). — Στ. **9**, Ὑπὸ δ' ἔστρωτο.] Ἐξ Ὁμήρου (Ἰλιάδ. Κ, 155).

**ΚΕΦ.** κέ, Σελ. **117**, στ. **12**, Τοῦ ἀλύειν αὐτούς.] Κατηκολούθηκα ταῖς ἀρχαίαις ἐκδόσεσι, πληθυντικῶς γράψας, Αὐτοὺς, ἀντὶ τοῦ Αὐτόν.

**ΚΕΦ.** κζ, Σελ. **117**, στ. **17**, Ἐπεκώμασε τῷ Ζήνωνι.] Ἐγράφετο, Ἐπεκώμασεν αὐτῷ Ζήνωνι, ὃ διωρθωσάμην τρέψας εἰς ἄρθρον τὴν ἀντωνυμίαν. — Στ. **20**, Πορευθεὶς ἔμεσον.] Σημειοῦ ὡς χρήσιμον· καὶ γὰρ οὐ μόνον τοῖς οἴνου, ἀλλὰ καὶ τοῖς ὀργῆς, λύπης, χαρᾶς, ἐλπίδος, φόβου, τύφου, ἔμβραχυ παντὸς πάθους, ἐπὶ τοσοῦτον πληρουμένοις, ὥστε τῶν φρενῶν ἐξίστασθαι καὶ παρανοεῖν ἴσα τοῖς μεθύουσιν, καιρὸς ἂν εἴη ποτὲ ἐπιλέγειν, Πορευθεὶς ἔμεσον, ἢ, ὡς ἂν ἡ συνήθεια φαίη, Ὕπαγε νὰ ἐξεράσῃς.

**ΚΕΦ.** κή, **ΣΕΛ. 118**, στ. **4**, Οὐδ' ἂν βοῦς κ. τ. λ.] Ἐκ τῶν Ἔργων καὶ ἡμερῶν Ἡσιόδου (στίχ. 348). κομψὸν δ' ἅμα καὶ τῆς Διογένους δριμύτητος ἄξιον τὸ εἰς τὴν Λακωνικὴν πλεονεξίαν καὶ τὴν κατὰ τῶν Μεσσηνίων ὠμότητα σκῶμμα.

**ΚΕΦ.** κθ, Σελ. **118**, στ. **17**, Παραταξώμεθα.] Ἐν ἄλλ. Ἀντιταξώ-

μεθα, ὅπερ οὐ χεῖρον, εἰ μὴ καὶ ἄμεινον. — Στ. 18, Ἀντιφιλοτιμησάμενοι.] Παρείληφα τὴν γραφὴν ἐκ τοῦ Στοβαίου (Λογ. ιζ), ταὐτὰ ταῦτα περὶ Σωκράτους λέγοντος, ἀντὶ τοῦ Φιλοτιμησάμενοι.

ΚΕΦ. λ', ΣΕΛ. 119, στ. 1, Ταῖς σκευοφόροις.] Ἐλλειπτικῶς τοῦ Ἀμάξαις· εἰσὶ δ' οἱ ἐκδεδώκασι Τοῖς σκευοφόροις, συνυπακουομένου τοῦ Κτήνεσιν, ἢ Ὀχήμασι. — Στ. 6, Καὶ ὧν ἐξέῤῥιψε.] Παρείληφα τὴν ἑτέρων διόρθωσιν, χαίρειν φράσας τῇ ἡμαρτημένῃ γραφῇ, Καὶ ἐξ ὧν ἔῤῥιψε. — Διπλάσιον δέδωκε.] Οὐκ ἐτόλμησα τρέψαι τὸ σόλοικον, Δέδωκε εἰς τὸ, Ἔδωκε· ἐνδέχεται γὰρ αὐτοῦ Αἰλιανοῦ εἶναι τὸ ἁμάρτημα, ὑπὸ τῆς πατρίου φωνῆς παραχθέντος, ἐν ᾗ ὁ αὐτὸς χρόνος καὶ τὸν ἀόριστον καὶ τὸν παρακείμενον σημαίνει.

ΚΕΦ. λά, Σελ. 119, Πρὸ τοῦ τὸν στέφανον.] Προσέθηκα τῇ ἐπιγραφῇ τὸ δεύτερον τῶν ἄρθρων, διὰ τὸν Ἑλληνισμόν.

ΚΕΦ. λϐ, Σελ. 118, στ. 14, Ἀκρατέστεροι.] Ἐν ἄλλ. Ἀκρατέστατοι,

ΚΕΦ. λγ, Σελ. 119, στ. 28, Τί ἄρα μάθοι σοφόν.] Ἐξ ἀντιγράφων τὸ Ἄρα, ἀντὶ τῆς ἡμαρτημένης γραφῆς, Τί ἂν μάθοι, ἣν διωρθωσάμην καὶ ἐν τῇ ἐπιγραφῇ.

ΚΕΦ. λδ, ΣΕΛ. 120, στ. 4, Ἐξωμίσι.] Χιτὼν εὐτελὴς ἑτερομάσχαλος ἡ Ἐξωμίς. — Ἄλλος, εἶπεν, οὗτος τύφος.] Τοῦ δὲ τοιούτου οὐδ' αὐτὸς ὁ τοῖς ἄλλοις ἐπιτιμῶν Διογένης ἀπήλλακτο, ὡς γοῦν ἔδοξε Πλάτωνι· καὶ γὰρ κεκληκότος φίλους τοῦ Πλάτωνος, εἰσελθὼν ὁ Κυνικὸς ἐπάτει τὰ πολυτελῆ στρώματα, λέγων, «Πατῶ τὸν Πλάτωνος τύφον»· πρὸς ὃν ὁ Πλάτων εὐφυῶς ἅμα τε καὶ κομψῶς, «Ἑτέρῳ γε τύφῳ, Διόγενες» ἀπεκρίνατο. οὕτως ἄρα καλῶς ἄγαν εἰρημένον ἐστὶ τὸ Μηδὲν ἄγαν.

ΚΕΦ. λή, ΣΕΛ. 121, στ. 3, Τὴν Ἀχιλλέως· Ὑπέρευγε τοῦτο Ἀλέξανδρος.] Ἤγουν, Ἄριστα τοῦτο εἰπὼν ὁ Μακεδὼν Ἀλέξανδρος. ἐξ ἀντιγράφων τοῦτο· ἐν ἑτέροις δὲ γράφεται καὶ στίζεται, Τὴν Ἀχιλλέως ὑπέργε τὴν Ἀλεξάνδρου, τουτέστιν Ὑπὲρ τὴν λύραν Ἀλεξάνδρου τοῦ Πάριδος. — Στ. 4, Τὰ τῶν ἀγαθῶν ἀνδρῶν κλέα.] Ἐξ Ὁμήρου, ἐν οἷς περὶ τοῦ Ἀχιλλέως πρὸς φόρμιγγα ᾄδοντος λέγει (Ἰλιάδ. Ι, 189),

Τῇ ὅγε θυμὸν ἔτερπεν, ἄειδε δ' ἄρα κλέα ἀνδρῶν.

ΚΕΦ. λθ', Σελ. 121, στ. 15, Κόσμον αὐτῷ περιϐαλών.] Ἔτρεψα εἰς τοῦτο τὸ Περιϐάλλων, διὰ τοὺς προηγησαμένους ἀορίστους. — Στ. 16, Προσκλαύσας.] Ἐν ἄλλ. Προκαύσας. εἰσὶν οἳ διορθοῦνται, Προκλαύσας.

ΚΕΦ. μϐ, ΣΕΛ. 122, στ. 13, Ὁ δεύτερος.] Ἀριάσπης οὗτος ἐκαλεῖτο· ἐξήγαγε δ' ἑαυτὸν τοῦ βίου οὐ τῷ ἀκινάκῃ, ἀλλὰ φάρμακον πιών, ὥς φησι Πλούταρχος (Ἀρτοξ. § 30), οὐδ' ἀξιοῦντος τοῦ πατρὸς, ἀλλ' Ὤχου τοῦ ἑτέρου ἀδελφοῦ ψευδῶς ἀπειλὰς αὐτῷ τοῦ πατρὸς δι' εὐνούχων ἀπαγγείλαντος.

## ΒΙΒΛΙΟΝ ΔΕΚΑΤΟΝ.

ΚΕΦ. β, ΣΕΛ. 123, στ. 11, Ἵνα μὴ δόξῃ διαφθείρας.] Ἄμεινον γράφειν, Διαφθεῖραι. — Στ. 15, Παμμέγιστον κ. τ. λ.] Ἐν ἄλλ. γράφεται, Μέγιστον· ἡ δὲ ὅλη ῥῆσις ὧδ' ἂν ἄμεινον γράφοιτο καὶ στίζοιτο, Παμμέγιστον ἀνδριάντα ἐν Κυρήνῃ ἀνέστησεν αὐτοῦ, ἀμειϐομένη τῆς σωφροσύνης.

ΚΕΦ. δ, ΣΕΛ. 124, στ. 6, Τρὶς τετρακόσια στάδια ἐφεξῆς.] Τουτέστι, τρισὶν ἐφεξῆς ἡμέραις, τετρακόσια καθ' ἑκάστην ἡμέραν ςάδια, τὸ δ' ἐν ἅπασι φερόμενον Τεσσαρακόσια, ἀντὶ τοῦ, Τετρακόσια, τῶν Ἐκδοτῶν ἔοικεν εἶναι, οὐ τῶν ἀντιγραφέων. παρὰ τούτοις γὰρ ὡς ἐπὶ τὸ πολὺ τὰ τῶν ἀριθμῶν ὀνόματα σημειωδῶς ἐκφέρεται· οἷον ἐπὶ τοῦ παρόντος, ἐγράφετο διὰ τοῦ ῦ, ὅπερ οἱ ἐκδόται ἐντελῶς γράψαι βουλόμενοι, Τεσσαράκοσια, ἔγραψαν, καταλλήλως μὲν τῷ σχηματισμῷ, οὔ γε μὴν τῇ χρήσει, ἣ προείλετο τὸ συντετμημένον, Τετρακόσια.

ΚΕΦ. στ', Σελ. 124, στ. 19, Ἐπὶ ζυγόν.] Οὕτω δεῖν γράφειν ᾠήθην, ὡς γράφεται παρ' Ἀθηναίῳ, καὶ παρὰ τῷ Εὐσταθίῳ ἐν τοῖς εἰς τὸν Ὅμηρον, καὶ οὐχ ὡς ἐγράφετο, Ὑπὸ ζυγόν. — Στ. 20, Ὀβολοῦ ὁλκήν.] Καθ' ὑπερβολὴν τοῦτο, ἔκ τινος κωμικοῦ ληφθέν. — ΣΕΛ. 125, στ. 4, Πεφιλιππιδῶσθαι.] Πεφιλιππῶσθαι ἐγράφετο κἀνταῦθα, ὡς καὶ παρὰ τῷ Ἀθηναίῳ, ἐξ οὗ ταῦτα εἴληπται, καὶ παρὰ τῷ Εὐσταθίῳ· προειλόμην μέντοι τὴν πλείστοις ὅσοις τῶν κριτικῶν ἐγκριθεῖσαν διόρθωσιν· παρὰ μὲν γὰρ τὸ Φίλιππος, Φιλιπποῦσθαί τις ἂν εἰκότως λέγοιτο, οὔ γε μὴν παρὰ τὸ Φιλιππίδης, οὗ τὸ παράγωγον, Φιλιππιδοῦσθαι ὀφείλει πάντως εἶναι.

ΚΕΦ. ζ, σελ. 125, στ. 8, Τὸν μέγαν ἐνιαυτόν.] Περὶ τοῦ μεγάλου ἐνιαυτοῦ ἔπιθι Πλούταρχον (περὶ τῶν ἀρεσκ. τοῖς φιλοσόφ. Β, λδ'.) — Στ. 10, Λευκονοιεύς.] Παρὰ τὸ Λευκόνοιον, δῆμον τῆς Ἀττικῆς οὕτω καλούμενον· ἐξ ἑτέρων διορθώσεως, ἀντὶ τοῦ, Λευκονιεύς. — Στ. 12, Ἔφατο αὐτόν.] Ἐξήλειψα τὸ μετὰ τὰς δύο ταύτας λέξεις κακῶς τεταυτολογημένον, Ὣς ἔλεγε.

ΚΕΦ. ή, Σελ. 125, στ. 13, Μὴ δεῖν εὐεργεσίαν κ. τ. λ.] Μακρῷ ἂν ἄμεινον ἐγνωμολόγησεν, εἰ ἔλεγε, Μὴ δεῖν εὐεργεσίαν προσίεσθαι, ὅτι μὴ πᾶσα ἀνάγκη, μήτε παρὰ τῶν τυχόντων, ἀλλὰ τῶν ἐν τοῖς μάλιστα φίλων, καὶ προσέμενον ἀποδιδόναι πειρᾶσθαι πάσῃ μηχανῇ.

ΚΕΦ. θ, Σελ. 125, στ. 19, Κακῆς γε οὔσης.] Ἐξ ἑτέρων διορθώσεως (Πρακτ. Ῥηνοπερ. Ἀκαδ. τεχν. καὶ ἐπιστ. Τομ. Γ, σελ. 121), ἀντὶ τοῦ Κακῆς δὲ οὔσης, ὅπερ ἕτεροι εἰς τὸ, Κακῆς δὴ οὔσης, τρέπειν παρῄνουν.

ΚΕΦ. ι, ΣΕΛ. 126, στ. 2, Καὶ σπαργάνοις.] Ἐξ ἀντιγράφων, ἀντὶ τοῦ, Καὶ ἐν σπαργάνοις· οὐδὲ γὰρ ἐν τοῖς πρόσθεν (Η, η) ἐπλεόνασε τὴν πρόσθεσιν.

ΚΕΦ. ιδ', ΣΕΛ. 127, στ. 8, Ἡ ἀργία ἀδελφὴ τῆς ἐλευθερίας ἐστί.] Τῆς μὲν οὖν δουλείας· εἴ γε ὁ μηδὲν ἐργαζόμενος, πένης μὲν ὢν ἑτέρῳ δουλεύειν ἀναγκασθήσεται, ὅπως ἔξῃ τὰ ἐπιτήδεια, ἢ κολακεύων (ὃ δὴ καὶ τῆς κυρίως λεγομένης δουλείας αἴσχιον) ὑπ' ἄλλων διατραφήσεται· εἰ δὲ τῶν εὐπαρύφων τις καὶ πλουσίων, ὑπὸ τῆς ἄγαν τρυφῆς εἰς ἀθεμίτους ἐξοκείλας ἡδονὰς, οὔτ' οὖσαν φυλάξαι, οὔτ' ἀποῦσαν ἀνακτήσασθαι τὴν ἐλευθερίαν οἷός τε· ᾗ καὶ δῆλον ὅτι μνήμης ἁμαρτίᾳ ὁ Αἰλιανὸς τῇ ἀνοήτῳ ταύτῃ γνώμῃ τὸ Σωκράτους ἐπέγραψεν ὄνομα· τεκμήριον δὲ, καὶ γὰρ καὶ Πλάτων καὶ Ξενοφῶν, καὶ πάντες ὅσοι περὶ Σωκράτους γεγράφασι, τὴν μὲν ἀργίαν ἑκάστοτε διασύροντα, τὴν ἐργασίαν δὲ περὶ πολλοῦ αὐτόν τε ποιούμενον καὶ τοῖς ἄλλοις παραινοῦντα τὸν ἄνδρα παραδεδώκασι· τοσοῦτον δ' ἄρα Σωκράτης ἀπεῖχε τοῦ τὴν ἀργίαν ἀδελφὴν ἐλευθερίας ἡγεῖσθαι,

ὥστε καὶ πονηροτάτην αὐτὴν δέσποιναν ἄντικρυς (Ξενοφ. Οἰκονομ. α, §. 18—22) ὠνόμαζε, συνεχῶς ἐπιλέγων (Ξενοφ. Ἀπομν. Β, ά) τὸ τοῦ Ἐπιχάρμου,

. . . . . . . . . . . . . Τῶν πόνων

Πωλοῦσιν ἡμῖν πάντα τἀγάθ' οἱ θεοί.

εἰ γὰρ πάντα τ' ἀγαθὰ, καὶ αὐτὸ δήπου τὸ πάντων μέγιστον ἡ ἐλευθερία πόνων ὤνιος οὖσα τυγχάνει. — Στ. 10, Πρὸς χρησματισμόν.] Χαίρειν φράσας τῇ ἡμαρτημένῃ γραφῇ, Πρὸς σχηματισμὸν, παρέλαβον τὴν ἑτέρων διόρθωσιν.

ΚΕΦ. ιέ. Σελ. 127, στ. 22, Μαθόντες γὰρ αὐτὸν εἶναι πένητα.] Διέγραψα τὸν, Καὶ· ἐγράφετο γὰρ . . . . Εἶναι καὶ πένητα. εἰ δὲ βούλοιο πάντως σώζειν αὐτὸν, τίθει μετὰ τὸν Γάρ.

ΚΕΦ. ιστ', ΣΕΛ. 128, στ. 1, Οἱ δὲ οὐδὲν αὐτῷ προσεῖχον.] Οὕτω δεῖν γράφειν ἔγνων τὸ παρὰ τοῖς ἄλλοις γραφόμενον καὶ στιζόμενον. Οἱ δὲ, οὐδεὶς αὐτῷ προσεῖχον (ἄλλ. προσεῖχε).

ΚΕΦ. ιζ', Σελ. 128, στ. 16, Ἐλεύθερον εἶναι.] Διορθοῦνταί τινες, Ἐλεύθερον ἔχειν, ἵνα ἀναφέρηται πρὸς τὸ Κλέωνα· οἱ δὲ τοῦτο μὲν κατὰ χώραν ἐῶσι, τὸ δὲ Κλέωνα εἰς τὸ Κλέωνι τρέπουσιν. ἐνδέχεται μέντοι οὐ γραφέων εἶναι τὸ ἁμάρτημα· πολλὰ γὰρ τοιαῦτα ἀνακόλουθα καὶ ἀσυνάρτητα παρὰ τῷ Αἰλιανῷ, τὰ μὲν προσοχῆς, τὰ δὲ καὶ κρίσεως ἐνδείᾳ. Πεντήκοντα ταλάντων.] Ἐν ἄλλ. Ἑκατὸν ταλάντων, ὃ καὶ μακρῷ πιθανώτερον· ἄπληστος γὰρ καὶ δωροδόκος ὁ Κλέων, ὥστε καὶ τὴν ἔκτισιν τῆς ἐπιβληθείσης αὐτῷ ὑπὸ τῶν Ἀθηναίων ζημίας ἐμέτῳ παρεικάζειν ἐπιχαρίτως πάνυ τὸν Κωμικὸν (Ἀχαρν. 6),

Τοῖς πέντε ταλάντοις, οἷς Κλέων ἐξήμεσε.

ΚΕΦ. ιή. Σελ. 128, στ. 19, Γενέσθαι μὲν αὐτόν.] Ἄμεινον γράφειν, Γενέσθαι γὰρ αὐτὸν, ἢ γοῦν, Γενέσθαι μὲν γὰρ αὐτόν. — Στ. 24, Πρῶτον ὑπηνήτη.] Οὕτω γράφειν οὐκ ὤκνησα, ἀντὶ τοῦ Πρώτῳ ὑπηνήτῃ· καθὰ γέγραπται καὶ παρ' Ὁμήρῳ (Ἰλιάδ. Ω, 348),

Πρῶτον ὑπηνήτῃ, τοῦπερ χαριεστάτη ἥβη.

Στ. 26, Συνθήκας δὲ ἐποίησε.] Ἡ νύμφη πρὸς αὐτὸν πρὸ τοῦ ὁμιλῆσαι. ταύτην προειλόμην ἐξ ἀντιγράφου τὴν γραφὴν τοῦ παρ' ἄλλοις, Ἐποιήσαντο, διὰ τὸ ἑπόμενον. Ἐπηπείλησεν· ἄλλως δὲ καὶ θεραπεύει τὴν δοκοῦσαν ταυτολογίαν, Εἶχον ὑπὲρ τούτων ῥήτραν, ἡ τοιαύτη ἀνάγνωσις, ἣν καὶ εἰς τὸ μέσον, Ἐποιήσατο, μεταβαλεῖν ἔξεστι τῷ βουλομένῳ. — ΣΕΛ. 129, στ. 7, Ὑπάρξασθαι.] Ἐξ ἀντιγράφων ἀντὶ τοῦ παρὰ τοῖς λοιποῖς Ἀπάρξασθαι· προσυπακουστέον δὲ τὸ, Φασὶ, ἢ καὶ προσθετέον, ὡς ἄλλοις ἔδοξε, παραλειφθὲν ἴσως ἀβλεψίᾳ τῶν γραψάντων.

ΚΕΦ. κά, Σελ. 129, στ. 16, Περικτιόνη.] Οὕτως ἐκαλεῖτο ἡ μήτηρ τοῦ Πλάτωνος· ὁ δὲ πατὴρ Ἀρίστων ὠνομάζετο.

## ΒΙΒΛΙΟΝ ΕΝΔΕΚΑΤΟΝ.

ΚΕΦ. γ', ΣΕΛ. 131, στ. 8, Πάλης ὑπῆρξατο κ. τ. λ.] Οὐκ ἔῤῥωται τὸ χωρίον· οὐ γὰρ τὴν πάλην, ἀλλὰ τὸ τοὺς ἀθλητὰς σωφρόνως τὸν τῆς ἀθλήσεως βιοῦν χρόνον, εἰσηγήσατο πρῶτος Ἰκκός· διὸ καί τινες, Παλαιστής, ἀντὶ τοῦ, Πάλης, γράφειν παραινοῦσιν. οὐχ ἱκανὴν μέντοι τὴν διόρθωσιν ταύτην ἡγούμενος, τὸ ὅλον χωρίον οὑτωσὶ διασκευάζειν προαιροῦμαι, « Ὅτι Ἰκκός, ὁ Ταραντῖνος παλαιστής, ὑπῆρξατο τοῦ σωφρονέστερον τὸν τῆς » ἀθλήσεως χρόνον διαζῆν, κεκολασμένῃ τροφῇ διαβιώσας, καὶ Ἀφροδίτης » ἀμαθὴς διατελέσας ». μνημονεύουσι δὲ καὶ Πλάτων καὶ ἄλλοι τοῦ γυμναστοῦ τούτου, παρ' οἷς καὶ παροξυτόνως Ἴκκος γράφεται, οὐχ, ὡς παρὰ τῷ Αἰλιανῷ ἐνταῦθά τε καὶ ἀλλαχοῦ (περὶ ζώων ἰδιότ. στ, α), Ἰκκός.

ΚΕΦ. δ', ΣΕΛ. 132, στ. 2, Μυῤῥίνης.] Οἱ πρὸ ἐμοῦ, Τὸν μυῤῥίνης. διέγραψα τὸ ἄρθρον ὡς περιττόν. — Στ. 3, Καὶ τὴν ἐς αὐτὸν τῶν τριχῶν ἐπιβουλήν.] Ἐξ ἀντιγράφων, ἀντὶ τοῦ Ἐπιβουλὴν, ὅ τινες εἰς τὸ Ἀποβολὴν τρέπειν προήχθησαν. σοφιστικὴ δὲ καὶ ψυχρὰ ἡ εἰς αὐτὸν, ἤγουν τὸν Ἀγαθοκλέα, τῶν τριχῶν ἐπιβουλή. ἴσως ἐγέγραπτο Καί τινες αὐτῶν τὴν τῶν τριχῶν ἐπιβουλὴν οὐκ » ἠγνόουν », εἰ μὴ κομψότερον, ἀλλ' οὖν ἀνεκτότερον. εἴη δ' ἂν ὁ νοῦς τῆς τοιαύτης γραφῆς, εἴγε νοῦν ὅλως ἐν τοῖς ἀνοήτοις ζητεῖν προσήκοι, « Ἠπί» σταντο μέντοι πάντες Συρακούσιοι φαλακρὸν εἶναι τὸν Ἀγαθοκλέα· τινὲς δ' » αὐτῶν καὶ τοῦτο προσηπίσταντο, ὅτι ἐπιβούλως, τουτέστι πανούργως, διὰ » τὴν ψίλωσιν τῶν τριχῶν, ἔφερε τὸν ἐκ μυῤῥίνης στέφανον ».

ΚΕΦ. ἑ, σελ. 132, στ. 9, Καὶ κατεκρήμνισαν.] Τούτων τῶν κατακρημνισθέντων εἷς ἦν καὶ ὁ μυθοποιὸς Αἴσωπος, περὶ οὗ ἔπιθι τὸν Ἡρόδοτον (Β, ρλδ), τὸν Ἡρακλείδην (ἡμετέρ. ἐκδ. σελ. 214) καὶ τὸν Πλούταρχον (περὶ τῶν ὑπὸ τοῦ θείου βραδ. τιμωρουμ. §. 12).

ΚΕΦ. ή, σελ. 132, στ. 19, Παναθηναϊκοῖς.] Ἴσως γρ. Παναθηναίοις. — Καὶ ἴσως ἀξίαν οὖσαν..] Γραπτέον, Ὡς μὴ ἀξίαν οὖσαν· ταύτην καὶ γὰρ προὔσχετο πρόφασιν τῆς ἀπελάσεως ὁ Ἵππαρχος, τὸ μὴ ἀξίαν εἶναι κανηφορεῖν τὴν κόρην, καθὰ διαῤῥήδην ἱστόρηκε Θουκυδίδης (ς. νς').

ΚΕΦ. ί, ΣΕΛ. 134, στ. 6, Ἐκαλεῖτο δὲ Ζωΐλος οὗτος, Κύων.] Ὤφειλε λέγειν, Ἐκαλεῖτο δ' ὁ Ζωΐλος οὗτος, Κύων. ἀλλὰ παραλείπει πολλάκις Αἰλιανὸς τὰ ἄρθρα, παραγόμενος ὑπὸ τῆς πατρίου φωνῆς, οὐκ ἐχούσης ἄρθρα.

ΚΕΦ. ιά, σελ. 134, στ. 13, Ἐσπούδασε καὶ αὐτὸς, καὶ ἰᾶτο.] Οἱ πρὸ ἡμῶν ἔγραφον, Ἔσπευδε, καὶ αὐτὸς ἰᾶτο· ἔν τισι δὲ τῶν ἀντιγράφων φέρεται, Ἔσπευσε καὶ αὐτὸς, καὶ ἰᾶτο· ταύτης οὖν τῆς γραφῆς τὸ Ἔσπευσε μεταβαλόντες, διαρθωσάμεθα τὸ χωρίον. καὶ Ἀλέξανδρος δὲ ὁ Μακεδὼν ἐσπούδασε καὶ αὐτὸς, καθά φησι Πλούταρχος (Ἀλεξ. §. 8), περὶ τὴν ἰατρικὴν, οὐ μόνον τὴν θεωρίαν ἠγαπηκὼς, ἀλλὰ καὶ νοσοῦσι τοῖς φίλοις βοηθῶν.

ΚΕΦ. ιβ', σελ. 134, στ. 16, Πεμφθὲν δῶρον ἐκκαυστικὸν τὸν πλακοῦντα.] Προσέθηκα ἐξ ἀντιγράφων τὸ ἄρθρον· περιγράψαι δέ μοι προσέδοξε τὸ ἕτερον ἄρθρον, Τὸ, τὸ παρὰ τοῖς ἄλλοις προηγούμενον τοῦ Δῶρον. — Στ. 22, Ὑπερφρονῶν αὐτῶν.] Γράφε, Ὑπερφρονῶν τούτων, ὡς διωρθοῦτό τις τῶν παλαιῶν ἐκδοτῶν. — Στ. 23, Δαιτὸς ἀναθήματα.] Ἐξ Ὁμήρου (Ὀδυσσ. Α, 152).

ΚΕΦ. ιγʹ, ΣΕΛ. 135, στ. 3, Ἀποδεῖξαι.] Παρείληφα τὴν ἑτέρων διόρθωσιν ἀντὶ τοῦ παρὰ τοῖς λοιποῖς, Ἀποδείξειν.

## ΒΙΒΛΙΟΝ ΔΩΔΕΚΑΤΟΝ.

ΚΕΦ. αʹ, ΣΕΛ. 136, στ. 6, Παῖς δ' ἔτι οὖσα, γίνεται αὐτῇ κατὰ τοῦ προσώπου φῦμα.] Ἀντὶ τοῦ, Παιδὶ δ' ἔτι οὔσῃ· ἐρεῖ δὲ καὶ μετ' ὀλίγα ἐν αὐτῷ τούτῳ τῷ κεφαλαίῳ, Ταῦτα ἀκούσασα ἡ παῖς καὶ δράσασα, τὸ φῦμα ἠφανίσθη· καὶ ἀλλαχοῦ δὲ εὐεπίφορός ἐστι πρὸς τὰς ἀντιπτώσεις, σολοίκως δηλονότι καταχρώμενος οἷς ἅπαξ που ὑπὸ τῶν ἀρχαίων ἐνέτυχεν εἰρημένοις. φεύγειν δὲ δεῖν τὰ τοιαῦτα ὅ,τε λόγος αἱρεῖ, καὶ ὁ σκώψας εὐφυῶς διὰ τοῦ ἑξῆς ἐπιγράμματος παραινεῖ,

Μηδὲ λαλῶν, πρώην ἐσολοίκισε Φλάκκος ὁ ῥήτωρ,
Καὶ μέλλων χαίνειν εὐθὺς ἐβαρβάρισε,
Καὶ τῇ χειρὶ τὰ λοιπὰ σολοικίζει διανεύων·
ΚἈΓΩ δ' αὐτὸν ἸΔΩΝ, τὸ στόμα ΜΟΥ δέδεται·

ἦν δ' ἄρα καὶ ὁ Φλάκκος οὗτος, ὡς γοῦν δηλοῖ τοὔνομα, Ῥωμαῖος, ὥσπερ καὶ ὁ Αἰλιανὸς, καὶ ἄλλοι· καὶ οὐ θαυμαστὸν εἰ, Ἑλληνίζειν βουλόμενοι, εἰς τὸ κακόζηλον καὶ περίεργον ἐξεῤῥύησαν, ὅπουγε καὶ αὐτοὶ οἱ κατ' ἐκεῖνο τοῦ χρόνου γράψαντες Ἕλληνες οὐ πάνυ τι κατωρθωκότες φαίνονται. — Στ. 13, Ἐχουσα ἐν τοῖς κ. τ. λ.] Διορθοῦνταί τινες, προστιθέντες σύνδεσμον, καὶ διαστίζοντες τῶν προηγουμένων, Ἔχουσα δ' ἐν τοῖς κ. τ. λ. ἴσως οὐκ ἀλόγως. — Στ. 15, Περιστερὰ παραγίνεται.] Διέγραψα τὸ πρὸ τοῦ, *Περιστερὰ*, θηλυκὸν ἄρθρον, δόξαν τοῦτο καὶ τοῖς πρὸ ἡμῶν. — ΣΕΛ. 137, στ. 6, Μιλτώ.] Τὴν ἐν τῇ συνηθείᾳ λεγομένην Ῥοδοκόκκινην, παρὰ τὴν Μίλτον, γῆν ἐρυθρὰν, ἐξ ἧς ποιεῖται τὰ ἐρυθρὰ γραφεῖα, τὰ Γαλατιστὶ καλούμενα Crayons rouges. τὸ δὲ Ἀσπασίας ὄνομα Κῦρος ἦν ὁ θέμενος αὐτῇ, ὥς φησι Πλούταρχος (Περικλ. §. 24), κατὰ κλέος τῆς ἐκ Μιλήτου Ἀσπασίας, τῆς ὑπὸ Περικλέους σπουδασθείσης. — Στ. 7, Καὶ οἵας Ὅμηρος λέγει.] Ἐξ ἀντιγράφων τὸ Οἵας, ἀντὶ τοῦ Οἵα. — ΣΕΛ. 138, στ. 2, Ἐντρίψεσι καὶ φαρμάκοις.] Τὸ μὲν Φαρμάκοις ἐνταῦθα, Χρώμασι, δύναται· αἱ δ' Ἐντρίψεις αὐτά εἰσι τὰ παρὰ τοῖς ἰδιώταις οὐκ ἰδιωτικῶς λεγόμενα, Τριψείδια, καθ' ὑποκοριστικὸν σχηματισμὸν, καθ' ὃν εἴρηται καὶ τὸ Λεξείδιον καὶ τὸ Ῥησείδιον. — Στ. 3, Ὑπὸ τῶν τροφέων.] Παρὰ τὸ Τροφεύς· ἀλλ' ἴσως ἄμεινον γράφειν, ὡς ἔδοξέ τισιν, Ὑπὸ τῶν τροφῶν, παρὰ τὴν Τροφὸν, τὴν ἐν τῇ συνηθείᾳ λεγομένην Παραμάνναν. — Στ. 7, Καὶ γυναικῶν.] Προσέθηκα τὸν σύνδεσμον ἐξ ἀντιγράφου. — Στ. 16, Ἀλγοῦσα ὅμως, ὅτι κ. τ. λ.] Προσέθηκα τὸ Ὅτι, ἐξ ἑτέρων διορθώσεως. — Στ. 21, Πεπλήρωντο.] Ἐξ ἀντιγράφων τὸ, Πεπλήρωντο, ἀντὶ τοῦ Ἐπεπλήρωντο (Ἔπιθι τὰς εἰς τὸν Ἡλιόδωρ. σημ. σελ. 2). — Στ. 24, Οὐδὲν προσεῖχεν, ἕως αὐτὴν ὁ ἀγαγών.] Ἔτρεψα τὸ παρὰ τοῖς ἄλλοις, Οὐδὲ, εἰς τὸ, Οὐδὲν, καὶ τὸ, Ἀπάγων, εἰς τὸ Ἀγαγών. — Στ. 32, Οὐ Περσικῶς.] Τουτέστιν, Οὐ βαρβάρως, ὡς οὐκ ἔθος ἐν τοῖς βαρβάροις θαυμάζειν καὶ ἀσπάζεσθαι τὰ καλά. —

Στ. 33, Πρὸς τὸν ἀγοραστήν.] Τινὲς μὲν διορθοῦνται γράφοντες, Πρὸς τὸν Σατράπην, διὰ τὸ προηγησάμενον, «Ὁ ἀγαγὼν Σατράπης»· ἕτεροι δὲ, Πρὸς τὸν ἁρμοστὴν, γεγραφέναι τὸν Αἰλιανὸν ὑπέλαβον, ἐπεὶ καὶ Ἁρμοσταὶ ἐκαλοῦντο οἱ παρὰ Πέρσαις Σατράπαι· ἄλλοι δὲ, Πρὸς τὸν ἀγαγόντα· ἐπεὶ καὶ Πλούταρχος (Ἀρτοξ. §. 26), ἐξ οὗ τόδε τὸ χωρίον ἔοικε παρειλῆφθαι, φησὶν ἐπὶ λέξεως, «Ὁ δὲ Κῦρος ἡσθεὶς ἐγέλασε, καὶ εἶπε πρὸς τὸν ἀγαγόντα τὰς » γυναῖκας, Ἆρα ἤδη συνορᾷς ὅτι μοι μόνην ταύτην ἐλευθέραν καὶ ἀδιάφθο- » ρον ἥκεις κομίζων;» ἐᾶν μέντοι κατὰ χώραν προῄρημαι τὴν γραφὴν, διότι εἰκὸς τὸν ἀγαγόντα σατράπην ἠγορακέναι παρὰ τῶν αἰχμαλωτισάντων τὰς παρθένους· ὃ δὴ καὶ τὰ πρόσθεν εἰρημένα ἀπονοεῖν ἀρκούντως παρέχει, «Ἢ » πόλεων ἁλουσῶν, ἢ τυράννων βιασαμένων κ. τ. λ.» — ΣΕΛ. 139, στ. 3, Αἷς ὡμίλησέ ποτε.] Διὰ τὸ προηγησάμενον, Πλέον, παραινοῦσί τινες (Πρακτ. Ῥηνοπερ. Ἀκαδημ. τεχν. καὶ ἐπιστ. Τομ. Γ, σελ. 122) γράφειν, Ἢ αἷς ὡμίλησέ ποτε, μετὰ τοῦ διαζευκτικοῦ μορίου· ἀλλ' ἴσως ἐλλειπτικῶς Αἰλιανὸς, κομψευόμενος δηλονότι, γράψαι προείλετο, ἀντὶ τοῦ, Πλέον. . . . . τῶν ἄλλων αἷς ὡμίλησέ ποτε. — Στ. 16, Τελεστήρια.] Οἱονεὶ τὴν ἐπὶ τῷ γάμῳ θυσίαν· Τέλος γὰρ ὁ γάμος ἐλέγετο, καὶ Τέλειοι, οἱ γεγαμηκότες, ὥς φησι Πολυδεύκης· ὅθεν καὶ Προτέλεια ἐκαλεῖτο πληθυντικῶς καὶ οὐδετέρως ἡ πρὸ τοῦ γάμου θυσία. — Στ. 22, Ἀπέφηνε.] Ἐξ ἑτέρων διορθώσεως, ἀντὶ τοῦ Ὑπέφηνε.— Στ. 24, Σκόπα τοῦ νεωτέρου· τῷ δὲ Σκόπᾳ κ. τ. λ.] Ἐγράφετο οὐκ ὀρθῶς Σκοπᾶ. . . . . Σκοπᾷ· ἔστι γὰρ ὁ Σκόπας, τοῦ Σκόπα, παροξυτόνως. — ΣΕΛ. 140, στ. 7, Περιθέσθαι αὐτή.] Ἐξ ἀντιγράφων, ἀντὶ τοῦ παρ' ἄλλοις, Αὐτῇ, ἢ τοῦ, καθά τισι γραπτέον ἔδοξεν, Αὐτῇ. — Στ. 15, Τοῖς ἐπεσταλμένοις.] Ἐξ ἑτέρων διορθώσεως, ἀντὶ τοῦ Ἀπεσταλμένοις. — ΣΕΛ. 141, στ. 2, Ἡ δὲ, ἄκουσα.] Καὶ τοῦτο διορθωσάντων ἑτέρων, ἀντὶ τοῦ, Ἡ δὲ ἀκούσασα. Στ. 9, Διδάξαι δ' αὐτόν.] Ἐξ ἀντιγράφων, ἀντὶ τοῦ Διδάξει δ' οὖν αὐτόν. — Στ. 17, Κατὰ πᾶσαν τὴν Ἀσίαν πένθος ἦν κ. τ. λ.] Οἱ γὰρ δοῦλοι καὶ συνήδεσθαι καὶ συμπενθεῖν τοῖς τυράννοις, οὐ μόνον ἐφ' οἷς ἄξιον, ἀλλὰ καὶ δι' ἅ τις ἂν ἐρυθριάσειε τῶν καλῶν κἀγαθῶν, ἀναγκάζονται· καὶ ἔστι δὴ τοῦτο τῆς δουλείας τὸ αἴσχιστον. — ΣΕΛ. 142, στ. 6, Πεισθέντος συνετῶς.] Μειρακιῶδες καὶ ἀσύνετον τὸ, Συνετῶς, ἐπὶ τυράννου λεγόμενον, λύπην αἰσχρὰν παλλακῆς ἔρωτι, καθάπερ ἥλῳ τὸν ἧλον, ἐκκρούοντος.

ΚΕΦ. β', σελ. 142, στ. 9, Καὶ πρᾷον εἶναι.] Οὐ μόνον πρᾷον, ἀλλὰ καὶ ἄτυφον, καὶ ἐλεύθερον, καὶ ἀληθείας φίλον, καὶ ὅλως τοῦ καλοῦ μηδὲν προαιρούμενον.

ΚΕΦ. γ', σελ. 142, στ. 13, Διὰ ταχέος.] Ἐξέωσα τὸ κακῶς οὐ μόνον παρὰ τῷ Αἰλιανῷ, ἀλλὰ καὶ παρὰ πλείστοις ἄλλοις γραφόμενον. Διὰ ταχέως. προσυπακουστέον δὲ τὸ Χρόνου· εἰ δὲ πληθυντικῶς, Διὰ ταχέων, ὡς ἀνωτέρω (Α, ή,) τηνικαῦτα συνυπακουόμενον ἔχει τὸ Χρόνων. λέγεται δὲ καὶ Διὰ τάχους, παρὰ τὸ οὐσιαστικὸν Τάχος.

ΚΕΦ. στ', ΣΕΛ. 143, στ. 3, Κάτωνος δὲ τοῦ πρεσβυτέρου.] Γράφεται παρ' ἅπασι κακῶς, Πρεσβύτου, ὅπερ ἔτρεψα εἰς τὸ Πρεσβυτέρου, πρὸς ἀντιδιαστολὴν τοῦ Νεωτέρου ἐπονομασθέντος Κάτωνος.

ΚΕΦ. ζ', σελ. 143, στ. 7, Τοῦ Ἀλεξάνδρου, ὥσπερ Ἀχιλλέως.] Ἐν

ἄλλ. γράφεται, Τῷ Ἀλεξάνδρῳ, ὥσπερ Ἀχιλλεῖ, οὐ χεῖρον, εἰ μή γε καὶ ἄμεινον.

ΚΕΦ. η', σελ. 143, στ. 14, Λέγων μὴ παρασπονδεῖν, μηδὲ ἐπιορκεῖν. κ. τ. λ.] Οὐκ ἔστιν ὅστις, ἐπερχόμενος τὰ περὶ Κλεομένους τῷ Αἰλιανῷ ἱστορούμενα, οὐκ ἀναμνησθήσεται παραυτίκα ἃ τὴν Ἀνδρομάχην ὁ χρυσοῦς Εὐριπίδης (Ἀνδρομ. 445) παράγει λέγουσαν περὶ τῶν Σπαρτιατῶν·

Ὦ πᾶσιν ἀνθρώποισιν ἔχθιστοι βροτῶν,
Σπάρτης ἔνοικοι, δόλια βουλεύματα,
Ψευδῶν ἄνακτες, μηχανοῤῥάφοι κακῶν,
Ἑλικτὰ, κοὐδὲν ὑγιὲς, ἀλλὰ πάντα πέριξ
Φρονοῦντες, ἀδίκως εὐτυχεῖτ' ἀν' Ἑλλάδα.
Τί δ' οὐκ ἐν ὑμῖν ἐστιν; οὐ πλεῖστοι φόνοι;
Οὐκ αἰσχροκερδεῖς; οὐ λέγοντες ἄλλα μὲν
Γλώσσῃ, φρονοῦντες δ' ἄλλ' ἐφευρίσκεσθ' ἀεί;

ΚΕΦ. θ', ΣΕΛ. 144, στ. 1, Ὑπὲρ γραμμῆς.] Παιδιᾶς εἶδος ἔοικεν εἶναι ἡ γραμμὴ, ἴσως ἡ παρὰ τῷ Πολυδεύκει καλουμένη Διελκυστίνδα. διαφέρει δὲ μικρὸν ταύτῃ γε τὰ τοῦ Αἰλιανοῦ τῶν ἱστορηθέντων Πλουτάρχῳ (Πολιτ. παραγγελμ. § 15) περὶ τοῦ Τιμησίου.

ΚΕΦ. ι', σελ 144, στ. 10, Νόμισμα ἔκοψαν τὸ καὶ ἐξ αὐτῶν κληθὲν κ. τ. λ.] Εἰς τοῦτο δεῖν ἔγνων μεταβαλεῖν τὴν παρὰ πᾶσι φερομένην γραφὴν, «Νόμισμα ἐκόψαντο, καὶ ἐξ αὐτῶν ἐκλήθη», διὰ τὸ ἀνοίκειον τοῦ κατὰ μέσην διάθεσιν, Ἐκόψαντο, ἐλεγχόμενον ἄλλως καὶ ἐκ τῆς ἐπιγραφῆς. Κόπτειν γὰρ νόμισμα λέγουσιν οἱ ἑλληνίζοντες· Κόπτεσθαι δὲ νόμισμα, οὐδὲν ἄλλο σημῆναι δύναται, ἢ ὀδύρεσθαι καὶ θρηνεῖν ἀπολεσθέντος ἕνεκα νομίσματος.

ΚΕΦ. ιβ', σελ. 144, στ. 15, Ἐστεφανοῦτο ἐρίῳ ἐλεγχθείς.] Μῶν, Ἑλιχθείς; περιττὸν γάρ πως τὸ Ἐλεγχθεὶς, προηγησαμένου ἤδη τοῦ, Ἁλούς. Πλούταρχος δὲ καὶ ἐπὶ μέσης διαθέσεως ἐχρήσατό που (Δημοσθ. §. 25), «Ἐρίοις καὶ ταινίαις κατὰ τοῦ τραχήλου καθελιξάμενος». — Στ. 17, Εἰσεπράσσετο.] Ἐξ ἑτέρων διορθώσεως, ἀντὶ τοῦ Ἐπιπράσκετο.

ΚΕΦ. ιδ', ΣΕΛ. 145, στ. 11, Ἀναπεφύρθαι.] Ἀναμὶξ συμπεπλέχθαι, οἷα φιλεῖ γίνεσθαι ἡ ἀτημέλητος κόμη. οὕτω διορθωτέον ὑπέλαβον εἶναι τὸ κακῶς γραφόμενον, Ἀνασεσύρθαι· τὸ δ' ἔν τινι τῶν ἀντιγράφων φερόμενον, Οὐκ εὐθέσθαι (γρ. Οὐκ ηὐθετίσθαι) ἐξήγησίς ἐστι τοῦ Ἀναπεφύρθαι. οἶδε δὲ καὶ ἡ συνήθεια τὰ Φυρμένα μαλλία, τὴν ἀκτένιστον καὶ συγκεχυμένην κόμην οὕτω καλοῦσα· πολὺ δὲ παρ' αὐτῇ καὶ τὸ Φύρω, ἐπὶ τοῦ Συγχέω, ὃ καὶ, εἰς τὸ χυδαιέστερον ὑποῤῥέουσα, Φύρνω, λέγει, καθὰ καὶ τὸ Σύρω, Σύρνω καὶ Σέρνω, καὶ τὸ Γύρω, Γύρνω καὶ Γέρνω, ὅθεν τὸ παρὰ τοῖς Κρησὶ Διαγέρνω καὶ Γιαγέρνω, ἐπὶ τοῦ, Ἐπανέρχομαι, Ἐπιστρέφω. — Στ. 15, Ὁ δ' ἀνέδραμεν ἔρνεϊ ἶσος.] Ἐκ τῆς Ἰλιάδος (Σ, 56).

ΚΕΦ. ιε', σελ. 145, στ. 20, Παίζω· μεταβολὰς γὰρ πόνων ἀεὶ φιλῶ.] Ἐξ

ἀδήλου δράματος Εὐριπίδου. — Στ. 25, Πρὸς τοὺς πατέρας.] Διάγραφε τὰς τρεῖς ταύτας φωνάς· οὔτε γὰρ παρὰ τῷ Πλουτάρχῳ (Λακ. ἀποφθ.), εὕρηνται, οὔτε παρ' αὐτῷ τῷ Αἰλιανῷ, ἐν τῷ τέλει τῆς Ποικίλης ἱστορίας, ὅπου (ἔν τισι τῶν ἀντιγράφων, πρὸ τοῦ τεσσαρακοστοῦ ἑβδόμου κεφαλαίου τοῦ τεσσαρεσκαιδεκάτου βιβλίου) καὶ αὖθις τὰ περὶ Ἀγησιλάου ταῦτα φέρεται.

ΚΕΦ. ιζ, ΣΕΛ. 146, στ. 12, Θεόδωρον ἂν τὸν αὐλητὴν προτιμήσαιμι.] Προσέθηκα τὸν δυνητικὸν, διὰ τὸ ἀσόλοικον.

ΚΕΦ. ιή, σελ. 146, στ. 17, Ἀφίκετο.] Εἰς τοῦτο ἔτρεψα τὸ, Ἀφικνεῖτο, παράτασιν ἐμφαῖνον, ἣν ἀποστρέφεται τῶν λεγομένων ὁ νοῦς. ἐνδέχεται δὲ καὶ, Ἀφικνεῖται, γεγράφθαι τὴν ἀρχήν· καὶ οἱ ἐνεστῶτες γὰρ πολλάκις, ἀορίστων ἔννοιαν παριστᾶσιν.

ΚΕΦ. κ', ΣΕΛ. 147, στ. 5, Ἀμελεῖν.] Ἀμοιρεῖν, τινὲς γράφειν παραινοῦσιν· ὀρθῶς μὲν ἴσως, οὔ γε μὴν ἀναγκαίως, φίλης οὔσης τῷ Αἰλιανῷ τῆς ἀκυρολογίας. — Στ. 7, Καὶ ταύτην δὲ ἀπολωλεκέναι τοῦ ὕπνου τὸ ἥμισυ.] Ἢ ταύτην ἀποδέχου μου τὴν διόρθωσιν, ἢ γράφε κατὰ δοτικὴν, Καὶ ταύτῃ δὲ ἀπολωλέναι τοῦ ὕπνου τὸ ἥμισυ· τὸ γὰρ, Ἀπολωλέναι, ᾧπερ ὀρθῶς ἀλλαχοῦ (ΙΔ, ς) ἐχρήσατο, μέσης ὂν διαθέσεως, οὐκ ἔχει μεταβατικῶς πρὸς τὸ, Ἥμισυ, φέρεσθαι.

ΚΕΦ. κά, σελ. 147, στ. 13, Αἱ δὲ γαυρούμεναι.] Ἐπαιρόμεναι καὶ μεγαλαυχοῦσαι. ἐντεῦθεν ἡ συνήθεια ὁρμηθεῖσα, καὶ ἐπὶ τοῦ ἐρωτικοῦ οἴστρου ἐχρήσατο τῇ λέξει Γαυριῶ, Γαυριάζω, καὶ Γαυρόνω (παρὰ τὸ Γαυρόω)· Γαυρωμένας γὰρ ὀνομάζει γυναῖκας τὰς οἱονεὶ βεβακευμένας ὑπ' ἔρωτος, καὶ διά τε λόγων καὶ πράξεων ἀσέμνων προκαλουμένας τοὺς ἄνδρας. — Στ. 14, Σεμνόν τε ἅμα καὶ βλοσυρόν.] Ἔτρεψα τὸ, Ἄρα, εἰς τὸ Ἅμα· ἐχρήσατο δὲ καὶ ἀλλαχοῦ (ΙΓ, α, σελ. 166) φήσας, « Σεμνότατόν τε ἅμα » καὶ σώφρονα ».

ΚΕΦ. κβ, ΣΕΛ. 148, στ. 6, Ἕως εἰς τὰ γόνατα.] Ἀπαραλλάκτως ὡς καὶ ἐν τῇ συνηθείᾳ φαμὲν, ἀντὶ τοῦ Ἑλληνικωτέρου, Μέχρι τῶν γονάτων· — Στ. 7, Ἐπ' ὀργυιὰς ὀκτώ.] Ἐν ἄλλοις γράφεται, Πεντήκοντα. — Στ. 8, Ἐκίνησεν.] Ἐξ ἀντιγράφων, ἀντὶ τοῦ, Ἐκύλισεν. — Στ. 9, Τοῦ Τιτόρμου.] Ἐν ἄλλοις, Τῷ Τιτόρμῳ, κατὰ δοτικήν. — Στ. 15, Ἐντεῦθεν.] Ἐξ ἑτέρων διορθώσεως, ἢ μᾶλλον ἐξ ἀντιγράφων· ἡ γὰρ αὐτὴ ἱστορία εὕρηται ἐν τῷ τέλει τῆς Ποικίλης ἱστορίας (ἔν τισι τῶν ἀντιγράφων, μετὰ τὸ τεσσαρακοστὸν ἕβδομον κεφάλαιον τοῦ τελευταίου βιβλίου), ὅπου γράφεται, Ἐντεῦθεν.

ΚΕΦ. κγ, σελ. 148, στ. 25, Περιλαμβανομένους ὑπὸ τοῦ πυρός.] Ἐξ ἑτέρων διορθώσεως, ἀντὶ τοῦ Παραλαμβανομένους κ. τ. λ. — Στ. 26, Εἰσὶ δὲ καὶ οἵ.] Ἄμεινον ἂν γράφοις, εἰ μεταθεὶς λέγοις, Εἰσὶ δὲ οἳ καί.

ΚΕΦ. κδ, ΣΕΛ. 149, Σημείωσαι τὸ βάρβαρον, ἢ γοῦν ἄχρηστον σύνθετον, Ἁβροδιαίτης, τῆς ἐπιγραφῆς· Ἁβροδίαιτος γὰρ ἐπιθετικῶς καὶ κοινῶς τῷ γένει, λέγεται κατὰ δόκιμον χρῆσιν, ὁ ἁβρῶς διαιτώμενος, Ἁβροδίαιταν δὲ οὐσιαστικῶς οὐδεὶς εἴρηκεν, ἀλλὰ διαλελυμένως, Ἁβρὰν δίαιταν. — Στ. 1, Ἐπὶ τοσοῦτον. . . . . ὡς εἰς Σικυῶνα ἀφικέσθαι κ. τ. λ.] Κεχυδαΐσται ἡ ὅλη σύνταξις καὶ συνάρτησις τοῦ λόγου· οὐ γὰρ τὸ εἰς Σικυῶνα ἀφικέσθαι τρυφῆς

Φ*

ἦν δεῖγμα, ἀλλὰ τὸ τοσούτους ἐπάγεσθαι θεράποντας. ὤφειλεν οὖν εἰπεῖν, Ὡς, εἰς Σικυῶνα αὐτὸν ἀφικόμενον, μνηστῆρα Ἀγαρίστης τῆς Κλεισθένους, ἐπάγεσθαι κ. τ. λ. — Στ. 3, Χιλίους μὲν μαγείρους..... καὶ ἁλιεῖς χιλίους.] Ἐκ τοῦ Ἀθηναίου ταῦτα· παρ' ἐκείνῳ μέντοι χίλιοι πάντες γενέσθαι λέγονται, οὓς συνεπήγετο Σμινδυρίδης, ἐν οἷς ἦσαν καὶ μάγειροι καὶ ὀρνιθευταί, καὶ ἁλιεῖς.

ΚΕΦ. κέ, σελ. 149, στ. 11, Εἰ ἐφιλοσόφουν.] Τὰς δύο ταύτας φωνὰς οἱ μὲν εἰς τὸ, Καὶ ἐφιλοσόφουν, ἕτεροι δὲ εἰς τὸ, Καὶ γὰρ ἂν ἐφιλοσόφουν, τρεπτέας εἶναι ἀπεφήναντο· εἰσὶ δ' οἳ καὶ νοθείαν ὅλως αὐτῶν κατέγνωσαν, οὐ κακῶς κρίναντες. — Στ. 14, Ἵνα δὲ καὶ τῶν ἐμοί.] Ἐξ ἑτέρων διορθώσεως, ἀντὶ τοῦ, Ἵνα δέ μοι καὶ τῶν ἐμοί. — Στ. 20, Καὶ Ζεὺς εἶχε σύμβουλον.] Τὸν Προμηθέα δηλονότι, ὥσπερ εὐφυῶς τις ἡρμήνευσεν ἔκ τε τῆς πρὸς Διονύσιον ἐπιστολῆς τοῦ Πλάτωνος, καὶ ἐκ τῆς Αἰσχύλου τραγῳδίας, τῆς ἐπιγραφομένης, Προμηθεὺς δεσμώτης.

ΚΕΦ. κζ', ΣΕΛ. 150, στ. 6, Καὶ Ὅμηρος κ. τ. λ.] Τὰ ἐξ Ὁμήρου παρατιθέμενα (Ἰλιάδ. Α, 4, καὶ Ρ, 255) ἐοίκασιν ὑπὸ νεωτέρου τινὸς προστεθεῖσθαι τοῖς τοῦ Αἰλιανοῦ.

ΚΕΦ. κή, σελ. 150, στ. 12, Πραξιθέας.] Φασιθέαν ταύτην ὀνομάζει ὁ Σουΐδας (λεξ. Λεωνόριον)· ἕτεροι δὲ Φρασιθέαν ἐκάλεσαν. — Στ. 13, Τῆς Ἀθηνᾶς.] Ἐν ἄλλοις γρ. Τῆς Ἀθηναίων.

ΚΕΦ. κθ', σελ. 150, στ. 20, Ὡς ἀεὶ τεθνηξόμενοι.] Παρὰ δὲ τῷ Λαερτίῳ Διογένει γράφεται, Ὡς αὔριον τεθνηξόμενοι. — Στ. 21, Στλεγγίσιν.] Ἐν ἄλλοις, Ξύστραις· ἐςι δὲ τοῦτο οὐ διάφορος γραφὴ, ἀλλ' ἑρμηνεία τοῦ Στλεγγίσιν.

ΚΕΦ. λ', ΣΕΛ. 151, στ. 5, Ἐν τῷ Μαρικᾷ.] Κωμῳδία Εὐπόλιδος ὁ Μαρικᾶς· σημαίνει δ', ὡς Ἡσύχιος ἐξηγεῖται, τὸν κίναιδον.

ΚΕΦ. λά, σελ. 151, στ. 8, Ἐν τοῖς πάλαι.] Ἐξ ἀντιγράφων, ἀντὶ τοῦ, Ἐν τοῖς παλαιοῖς. — Στ. 9, Πράμνειον.] Πολλὰ πολλοῖς εἴρηται οὐχ ὁμολογούμενα περί τε τῆς φύσεως, καὶ ἐτυμολογίας τοῦ ὀνόματος τοῦ παρ' Ὁμήρῳ (Ἰλιάδ. Λ, 638) Πραμνείου οἴνου, ἐν δὲ τοῖς, ὅτι καὶ ἀπὸ τῆς Πράμνης, ὄρους οὕτω καλουμένου ἐν Ἰκαρίᾳ τῇ νήσῳ, τὴν κλῆσιν ἔλαβε κατ' ἀρχὰς, ὅπερ ἴσως αἰνίττεται καὶ ὁ Αἰλιανὸς διὰ τῶν ἑξῆς. — Ἱερὸν δ' ἦν ἄρα τοῦτο.] Διορθοῦνταί τινες, Ἱερὸς δ' ἦν ἄρα οὗτος, ἵνα ἔχῃ ἀναφέρεσθαι πρὸς τὸν Πράμνειον οἶνον· ἴσως μέν τοι, καθάπερ ἔφθην εἰπὼν, τὸ ἐν Ἰκαρίᾳ ὄρος, τὴν Πράμνην, ἱερὸν εἶναί φησι τῆς Δημήτρας. — Στ. 18, Μυῤῥίνης.] Ἠκολούθηκα τοῖς παραινοῦσι τρέπειν τὸ Μυῤῥινίτης, εἰς τὸ Μυῤῥίνης, ὅ ἐςι μύρῳ μεμιγμένος, παρὰ τὴν Σμύρναν, ἣν οἱ Αἰολεῖς Μύῤῥαν καλοῦσιν, ἐπειδὴ τὰ πολλὰ τῶν μύρων διὰ σμύρνης ἐσκευάζετο (Ἀθην. ΙΕ, σελ. 688 καὶ 689)· τὸ δὲ, Μυῤῥινίτης, παρὰ τὴν Μυῤῥίνην, τὴν κοινότερον λεγομένην Μυρσίνην, ἐστί.

ΚΕΦ. λϐ, σελ. 151, στ. 21, Ἀναξυρίδας.] Ἀναξυρίς ἐστι τὸ ἐν τῇ συνηθείᾳ λεγόμενον Βρακίον· τοῦτο δὲ παρὰ τὸ Braca βούλονταί τινες, Κελτικὴν λέξιν, τὴν καὶ παρὰ τοῖς Ῥωμαίοις ἐν χρήσει γενομένην. καὶ γὰρ καὶ Διόδωρος ὁ Σικελιώτης (Ε, λ') οὕτω διαῤῥήδην περὶ τῶν Κελτῶν λέγει, «Καὶ » ἀναξυρίσι [χρῶνται], ἃς ἐκεῖνοι Βράκας προσαγορεύουσι». μήποτε δὲ κρεῖττον ᾖ, ὡς καὶ τισι τῶν κριτικῶν ἔδοξε, παρὰ τὸ Ῥάκος παράγειν τὴν

Βράκην, ὅπερ Αἰολεῖς Βράκος ἔλεγον (καθὰ καὶ Βρόδον, τὸ Ῥόδον, καὶ Βρυτὴρ, τὸ Ῥυτὴρ)· τεκμήριον δὲ, καὶ γὰρ τὴν ἐν τῇ συνηθείᾳ παροιμίαν « Δὲν ἐξεύρει νὰ δέσῃ τὸ βρακίον του » ἐπὶ τῶν ἀγροίκων καὶ ἀσυνέτων λεγομένην, μονονουχὶ τὴν αὐτήν ἐστιν εὑρεῖν καὶ παρὰ τῇ Αἰολίδι Σαπφοῖ (Ἀθην. σελ. 21),

Τίς δ' ἀγριῶτις θέλγει νόον,
Οὐκ ἐπισταμένη τὰ βράκεα
Ἕλκεν ἐπὶ σφυρῶν.

ΚΕΦ. λγ', ΣΕΛ. 152, στ. 1, Κινέας.] Φίλος, οὐκ ἰατρὸς, ἦν τοῦ Πύῤῥου ὁ Κυνέας (διὰ τοῦ ῦ γραφόμενος). ὅθεν οἴονταί τινες γραπτέον εἶναι ἐνταῦθα, Νικίας, ἢ Τιμοχάρης, ἢ Δημοχάρης· τριχῇ γὰρ ἀποδεδώκασιν οἱ ἱστορικοὶ τοὔνομα τοῦ ἀλιτηρίου τούτου ἰατροῦ. — Στ. 3, Ἀποκτενεῖν.] Οὕτως ἔγνων διορθώσασθαι, ἀντὶ τοῦ, Ἀποκτείνειν. — Στ. 6, Καταγωνίσασθαι.] Ἴσως γρ. Καταγωνίζεσθαι.

ΚΕΦ. λδ', σελ. 152, στ. 8, Εἰς μνήμην ἐδόθησαν.] Ὑπολατινίζει ἡ φράσις, Ad memoriam traditi, ἢ proditi sunt. — Στ. 9, Καὶ οὗτος.] Γράφε, Καὶ οὗτοι, ἀντὶ τοῦ παρ' ἅπασι γραφομένου, Καὶ οὗτος. — Ἤρα τῆς αὐτοῦ γυναικός.] Οὐκ ἔῤῥωται τὸ χωρίον, οὐδ' ἀποχρώντως ἔμοι γε δοκοῦσιν ἰᾶσθαι αὐτὸ οἱ γράφειν παραινοῦντες, Ἄγαν ἤρα τῆς αὐτοῦ γυναικός. — Στ. 10, Ἀπελλῆς δὲ καὶ τῆς.] Ἐν ἄλλοις γράφεται δίχα τοῦ Καί.

ΚΕΦ. λέ, σελ. 152, στ. 16, Ἑτέρας ἕξ.] Ἐξ ἀντιγράφων, ἀντὶ τοῦ, Ἕτεραι ἕξ. — Στ. 18, Ἐλεώνιος.] Οὕτω διωρθώσαντο, ἀντὶ τοῦ Ἕλλην, ἐκ τοῦ σχολιάσαντος τὸν Ἀριστοφάνην (Ὄρν. 963), ὅς φησιν, ὅτι τρεῖς ἐγένοντο Βάκιδες· ὁ μὲν ἐξ Ἐλεῶνος τῆς Βοιωτίας, ὁ δὲ, Ἀθηναῖος, ὁ δὲ, Ἀρκάς.

ΚΕΦ. λστ, ΣΕΛ. 153, στ. 2, Ἡσίοδος δὲ ἐννέα καὶ δέκα.] Ὤκνησα τὰς τρεῖς εἰς μίαν συνθεῖναι λέξιν τὴν μᾶλλον ἐν χρήσει, 'Εννεακαίδεκα· καὶ γὰρ ἐνδέχεται οὕτω διῃρημένως τὸν Αἰλιανὸν γεγραφέναι, ἵνα δηλώσῃ, ὅτι ἐννέα μὲν θυγατέρες, δέκα δ' υἱοὶ τῆς Νιόβης ἦσαν, οἱ ὑπὸ Ἀπόλλωνος καὶ Ἀρτέμιδος κατατοξευθέντες. ἀλλ' ὅμως οὐδὲ τοῦτο συνᾴδει τοῖς μεμυθευμένοις περὶ αὐτῶν· ἐκ γὰρ τῶν εἴκοσι, δύο περιλειφθῆναί φασιν, οἱ τοσούτους παραδεδωκότες, μίαν μὲν τῶν θηλειῶν, τὴν Χλωρίδα, ἕνα δὲ τῶν ἀῤῥένων, τὸν Ἀμφίονα.

ΚΕΦ. λζ', σελ. 153, στ. 6, 'Εν ἀπορίᾳ γενόμενος.] Ἔτρεψα τὸ βάρβαρον, Επ' ἀπορίᾳ, εἰς τὸ, 'Εν ἀπορίᾳ· δηλοῖ δὲ καὶ ἡ ἐπιγραφὴ τοῦ κεφαλαίου, τὸ ὀρθὸν φυλάξασα. — Στ. 9, Σίλφιον.] Τοῦτο ἡ συνήθεια Σκορδολάσαρον ἐκάλεσε, συνθεῖσα παρὰ τὸ Σκόροδον (διὰ τὸ βαρύοσμον), καὶ τὸ τῇ Λατίνων φωνῇ καλούμενον Laser, ὅ περ ἐκεῖνοι τὸν ὀπὸν τοῦ Σιλφίου, τὸν ἄλλως λεγόμενον Κυρηναϊκὸν ὀπὸν, ἐδήλουν. ἔστι δὲ, ὥς γε τοῖς πλείστοις τῶν φυτολόγων δοκεῖ, ἡ νῦν παρὰ τοῖς Φαρμακοπώλαις Assa-Fœtida λεγομένη, ἣν οἱ Γερμανοὶ, διὰ τὴν ἀνυπέρβλητον δυσοσμίαν, καὶ Teufelsdreck (τουτέστι Διαβόλου σκῶρ) ὠνόμασαν. ποιεῖ δὲ πρὸς δυσπεψίαν, ἄλλως τε καὶ ὁπότε σπᾶται ὁ στόμαχος διὰ νεύρων ἀταξίαν. — Στ. 11, Τὰς κώμας.] 'Εξ ἑτέρων διορθώσεως, ἀντὶ τοῦ, Αὐτὰς τὰς Κώμας.

ΚΕΦ. λή, σελ. 153, στ. 16, Αἰχμάλωτον ἄγεται.] Ἐξ ἀντιγράφων, ἀντὶ τοῦ βαρβάρου, Αἰχμάλωτον ἀγάγεται.

ΚΕΦ. μ, ΣΕΛ. 154, στ. 15, Εἰ μὴ ἐκεῖνος.] Ἐξ ἀντιγράφων, ἀντὶ τοῦ παρ' ἄλλοις, Εἰ μὴ ἐκεῖνο.

ΚΕΦ. μά, σελ. 154, στ. 17, Διαζωγραφῶν ἐξετέλεσεν.] Ἐξ ἀντιγράφων, ἀντὶ τοῦ παρὰ τοῖς ἄλλοις, Διατελῶν γράφων ἐξετέλεσεν. σημείωσαι δὲ καὶ τὸ Ἐξετέλεσε, ὅπερ ἡ συνήθεια διφθογγογραφεῖ· Τελεύω γὰρ φαμὲν τὸ Τελέω, καθὰ καὶ Στερεύω τὸ Στερέω, καὶ οὐ μόνον Τυραννῶ (ἐκ τοῦ Τυραννέω) ἀλλὰ καὶ Τυραννεύω· τούτων δὲ καὶ παρὰ τοῖς ἀρχαίοις ἔστιν εὑρεῖν παραδείγματα· αὐτίκα Ἡρόδοτος οὐ μόνον Τυραννεύειν (Δ, ρλζ) ἀλλὰ καὶ Ἀρχηγετεύειν (Β, ρκγ) εἴρηκεν. — Στ. 18, Ἐπιδών.] Οὕτω διώρθωκα τὸ παρὰ πᾶσιν Ἀπιδών, ὅπερ ἄλλως ἄλλοι διορθοῦν ἐπεχείρησαν. δύναται δ' ἐνταῦθα τὸ Ἐπιδὼν, τὸ ἀναθεωρήσας, καὶ ἀκριβέστερον ἰδὼν, ὡς καὶ τὸ παρ' Ὁμήρῳ Ἐπιόπτομαι. — Στ. 20, Ὁ πόνος αὐτοῦ τοῦ οὐρανοῦ ψαύσει.] Παρηλλαγμένως ταῦθ' ἱστόρηται τῷ Πλουτάρχῳ (Δημητρ. §. 22).

ΚΕΦ. μϐ', σελ. 154, στ. 22, Μανδάνης.] Διὰ τοῦ ν γραπτέον, οὐ Μανδάλης, ὡς ἐν ἅπασι φέρεται. — Στ. 24, Καὶ τὸν Ἀλόπης.] τὸ πλῆρες, Καὶ τὸν Ἀλύπης υἱὸν ἵππος ἔθρεψεν. ἦν δ' οὗτος Ἱπποθόων.

ΚΕΦ. μγ', ΣΕΛ. 155, στ. 4, Ὁ ὑπὸ Ἀλεξάνδρου.] Προσέθηκα τὸ ἄρθρον, τοῦ ἑλληνισμοῦ τοῦτο ἀπαιτοῦντος. — Δοῦλος ἦν.] Ἐν ἄλλοις γρ. Δούλης ἦν, Δούλιος ἦν, ἢ, Δῆμος ἦν· ἐπεχείρησαν δὲ διορθώσασθαι οἱ μὲν Δούλου υἱὸς ἦν, ἕτεροι δὲ, Δήμου ἦν. ὀρθῶς μέντοι ἔοικεν ἔχειν τὸ Δοῦλος ἦν, τὸ μὲν ὅτι καὶ Πλούταρχος, Δοῦλόν φησι γεγονέναι τὸν Δαρεῖον, τὸ δ' ὅτι καὶ τὸ Δοῦλος, ἐνταῦθα γοῦν, ἀντιδιεσταλμένως ἐκδεκτέον πρὸς τοὺς ὄντας τοῦ γένους τῶν βασιλέων, ὃ καὶ διαῤῥήδην ὁ Στράβων εἴρηκε (ΙΕ, σελ. 736) περὶ αὐτοῦ τούτου τοῦ Δαρείου τὸν λόγον ποιούμενος. « Ὃν [Νάρσην] » ἀποκτείνας. . . . . κατέστησε Δαρεῖον, οὐκ ὄντα τοῦ γένους τῶν βασιλέων ». Στ. 10, Τυμϐαύλου.] Τυμϐαύλας ἐκάλουν τοὺς ἐπὶ ταῖς ἐκφοραῖς τῶν νεκρῶν καὶ πρὸς τοῖς τύμϐοις αὐλοῦντας. ἕτεροι δ' ἁμαξέως υἱὸν γεγονέναι παραδεδώκασι τὸν Εὐμένη. — Στ. 12, Αὐτουργός.] Γεωργὸς, ὃν καὶ Χερομάχον προσέτι ἡ νῦν ὀνομάζει συνήθεια, οὐδὲ ταύτης ἀγνώστου οὔσης τῆς φωνῆς τοῖς Ἀρχαίοις· « Χειρομάχαν πληθὺν » γάρ τις εἴρηκε τῶν ποιητῶν, γενικώτερον τῇ λέξει χρησάμενος ἐπὶ πάντων τῶν ταῖς ἰδίαις χερσὶ ποριζομένων τὸν βίον (Εὐστάθ. Ὀδυσσ. Σ, 2). ἔοικε δὲ τοιαύτης τινὸς διανοίας ἔχεσθαι καὶ ἡ παρὰ Μιλησίοις τὸ πάλαι, Χειρομάχα ἑταιρεία, κληθεῖσα (Πλούταρχ. Κεφαλ. καταγρ. Ἑλλην. §. 32). — Πολυσπέρχων.] Ἐξ ἀντιγράφου, ἀντὶ τοῦ, Πολυσπέρχης. — Στ. 14, Συνιείς.] Ἄμεινον ἴσως γράφειν, Συνείς. αἰνίττεται δὲ τὸ περὶ Θεμιστοκλέους ἱστορούμενον παρ' Ἡροδότῳ (Ζ, ρμγ). — Στ. 22, Λακεδαίμονι.] Ἐξ ἀντιγράφων· παρὰ δὲ τοῖς ἄλλοις, Λακεδαιμονίᾳ. — Μόθακες.] Οἱ καὶ Μόθωνες· ἐκαλοῦντο δ' οὕτως ἐν τῇ Σπάρτῃ οἱ συνανατρεφόμενοι τοῖς υἱοῖς δοῦλοι παῖδες, καθά φησιν Ἡσύχιος. Στ. 23, Τοῖς τῶν εὐπόρων δούλοις, οὓς συνεξέπεμπον τοῖς υἱοῖς οἱ κ. τ. λ.] Γράφεται παρ' ἅπασιν ἐσφαλμένως, Τοῖς τῶν εὐπόρων, οὓς συνεισέπεμπον αὐτοῖς οἱ, ταύτην ἄλλων ἄλλως ἐπιϐαλομένων διορθοῦν τὴν γραφήν.

ἐφείσθω κἀμοὶ τήνδε τὴν διόρθωσιν εἰσενέγκασθαι. — Στ. 26, Μεταλαγχάνει.] Καὶ τοῦτο ἡμάρτηται· οὐ μέντοι τοῖς ἀντιγραφεῦσιν, ὡς ἔδοξε τοῖς κριτικοῖς, ἀλλ' αὐτῷ τῷ Αἰλιανῷ, μεταβατικῶς τῷ Μεταλαγχάνει, ἀντὶ τοῦ Μεταδίδωσι, χρησαμένῳ, διὰ τὴν πρὸς τὴν πάτριον φωνὴν, τὴν τῶν Ῥωμαίων, συνήθειαν, παρ' οἷς τὸ Participare, καὶ τὸ Μεταλαγχάνειν καὶ τὸ Μεταδιδόναι σημαίνει· οὐδὲ γὰρ ὑποληπτέον ἐνταῦθα τὸν Αἰλιανὸν κακοζήλως ἁμιλλήσασθαι πρὸς τὸν Ὅμηρον, παρ' ᾧ καὶ μόνῳ τὸ ἁπλοῦν Λαγχάνειν ἔσθ' ὅτε ἐπὶ τοῦ Μεταδιδόναι τέτακται.

ΚΕΦ. μδ', ΣΕΛ. 156, στ. 2, Ἐν αὐταῖς.] Ἐξ ἑτέρων διορθώσεως, ἀντὶ τοῦ, Ἐν αὐτῷ. — Στ. 5, Καὶ βόας ἐλαυνομένους.] Προσέθηκα ταῦτα ἐξ ἀντιγράφων· ὃ καί τινες τῶν πρὸ ἐμοῦ πεποιήκασι. — Στ. 11, Μουσουργῶν.] Ἐξ ἀντιγράφου καὶ τοῦτο, ἀντὶ τοῦ Μουσουργεῖ.

ΚΕΦ. μέ, σελ. 156, στ. 13, Φρύγιοι καὶ ταῦτα ᾄδουσι λόγοι.] Οὐ πάντα μέντοι, ὦ πάντα φύρων καὶ κυκῶν Αἰλιανὲ, Φρύγιοι ᾄδουσι ταῦτα λόγοι, ἀλλὰ τὸ περὶ Μίδου τοῦ Φρυγὸς μόνον. — Στ. 16, Καὶ Πινδάρῳ.] Ἄλλως πως ταῦτα ἱστορεῖ Φιλόστρατος ἐν Εἰκόσι (Β, ιϐ), καὶ Παυσανίας (Θ, κγ'), — Στ. 18, Ὑπὲρ τοῦ γάλακτος.] Ἡ Ὑπὲρ ἀντὶ τῆς Ἀντί. χαίρει δὲ ταῖς τοιαύταις ἐναλλαγαῖς ὁ Αἰλιανὸς, ἔστι μὲν ὅπη ἀνεκτῶς, τὰ πολλὰ δὲ καὶ κακοζήλως.

ΚΕΦ. μς', σελ 156, στ. 23, Χρεμετίσας ὑπέστρεψεν αὐτόν.] Τὸν Διονύσιον ὑποστραφῆναι ἐποίησεν ἀκούσαντα τοῦ χρεμετισμοῦ. ἐξ ἀντιγράφου δὲ τοῦτο, ἀντὶ τοῦ, Χρεμετίσαντα ὑπέστρεψεν αὐτόν. — ΣΕΛ. 157, στ. 3, Γαλεῶται.] Γένος τοῦτο μάντεων, κατοικούντων ἐν Ὕϐλαις τῆς Σικελίας.

ΚΕΦ. μζ', σελ. 157, στ. 6, Ἀρήτην.] Ἐγράφετο Ἀριστομάχην, συνέχεε δὲ τὰ τῶν γυναικῶν ὀνόματα μνήμης ἁμαρτίᾳ, ἐνταῦθά τε, καὶ ἐν τοῖς ἑξῆς (ΙΓ, ι)· ἡ μὲν γὰρ ἀδελφὴ τοῦ Δίωνος ἐκαλεῖτο Ἀριστομάχη, ἡ γυνὴ δὲ, Ἀρήτη, ἢ, ὡς ἱστορεῖ Πλούταρχος (Δίων. §. 51), Ἀρετή. — Στ. 8, Πολυκράτει.] Τιμοκράτη καλεῖ τοῦτον ὁ Πλούταρχος. — Στ. 10, Ἀριστομάχη.] Ἐγράφετο, Ἀρήτη. — Στ. 11, Ἀρήτη.] Ἐγράφετο, Ἀριστομάχη. — Στ. 14, Ἀπελογήσατο ἡ Ἀριστομάχη.] Ἐγράφετο κἀνταῦθα, Ἀρήτη.

ΚΕΦ. μή, σελ. 157, στ. 19, ᾄδουσιν οὐ μόνοι, ἀλλὰ καὶ οἱ.] Ἴσως γράφειν δεῖ καὶ στίζειν, ᾄδουσιν· οὐ μόνοι δ', ἀλλὰ καὶ οἱ.

ΚΕΦ. μθ', ΣΕΛ. 158, στ. 1, Μνησικακεῖν.] Διωρθωσάμην ἐκ τοῦ Πλουτάρχου (Φωκίων. §. 36), χαίρειν ἐάσας τὸν σόλοικον ἐνταῦθα μέλλοντα, Μνησικακήσειν.

ΚΕΦ. ν', σελ. 158, στ. 8, Οἷον ἰατρούς, ἢ καθαρτὰς, κατὰ πυθόχρηστον.] Οὐκ ἐῤῥῶσθαι τὸ χωρίον ἀποφηναμένων τῶν πρὸ ἐμοῦ, διωρθωσάμην τῇ προσθήκῃ τῆς λέξεως, Καθαρτάς. ἵνα δὲ κρίνειν ἔχοις τὴν διόρθωσιν, μὴ κατόκνει παραβαλεῖν τοῖς τοῦ Αἰσχύλου (Ἱκέτ. 278), τοῦ Σοφοκλέους (Ἠλέκτρ. 70), τοῦ Σουίδα (λέξ. Κάθαρσις γυναικῶν μανεισῶν), καὶ οἷς παρεθέμην ἐξ Ἱπποκράτους, ἐν τοῖς εἰς τὸν Ἡλιόδωρον ὑπομνήμασι (Μέρ. Β, σελ. 310). — Στ. 10, Κυδωνιάτην Νυμφαῖον.] Γραπτέον εἶναι δοκεῖ τινι τῶν κριτικῶν, Κύδαντα Καφυαῖον (γρ. Καφυέα). οὗτος μὲν γὰρ ὁ Κύδας ὁ ἐκ Καφυῶν, Ἀρκαδι-

κῆς πόλεως, ὁ καὶ Βάκις καλούμενος (Σχόλ. Ἀριστοφ. Εἰρήν. 1071), καθῆραί ποτε μανείσας τὰς Λακεδαιμονίων γυναῖκας παραδέδοται· ὁ δὲ Κυδωνιάτης Νυμφαῖος παρ' οὐδενὶ ἑτέρῳ ἢ τῷ Αἰλιανῷ μνημονευόμενος εὕρηται. Ἀλκμάνα (Λυδὸς γὰρ ἦν).] Ἐγράφετο, Ἀλκμάνα, αὐλῳδὸς γὰρ ἦν· ὃ τρέπειν παρῄνουν εἰς τὸ Ἀλκμάνα αὖ, Λυδὸς γὰρ ἦν. ταύτην ἡμεῖς τὴν διόρθωσιν παρειλήφαμεν, παραλιπόντες τὸ, Αὖ, ὡς εἰς οὐδὲν χρήσιμον ἐνταῦθα. ὅτι δὲ Λυδὸς ἦν ὁ Ἀλκμὰν, ἱστορήκασι καὶ ἕτεροι (Σουίδ. λέξ. Ἀλκμάν). — Στ. 12, Ὅτι ἦν ἀδύνατος.] Γραπτέον, οἶμαι, Ὅτι ἦν οὐδ' ἀδύνατος· ἑρμηνεύει γὰρ τὸ περὶ Βρασίδου εἰρημένον τῷ Θουκυδίδει (Δ, πδ'), « Ἦν δὲ οὐδὲ ἀδύνατος, ὡς Λακεδαιμόνιος, εἰπεῖν »· ὅπερ ἄλλως ἐξηγοῦνται ἕτεροι, τουτέστιν, Ἦν δὲ δυνατὸς εἰπεῖν, καίπερ ὢν Λακεδαιμόνιος, ἢ, Ἦν δὲ δυνατὸς εἰπεῖν, ὡς πρὸς τοὺς Λακεδαιμονίους παραβαλλόμενος, ἤγουν καθόσον οἷόν τε δυνατὸν εἶναι λέγειν τὸν ὄντα Λακεδαιμόνιον.

ΚΕΦ. να', σελ. 158, στ. 19, Ἐπὶ τοῖς κατὰ Ἀντίκυραν τόποις.] Ἴσως τρεπτέον εἰς αἰτιατικὰς τὰς δοτικάς. ἦν δ' ἡ Ἀντίκυρα πόλις Φωκίδος, ἐν ᾗ ὁ ἄριςος καὶ ἐφύετο καὶ ἐσκευάζετο ἐλλέβορος· διὸ καὶ ἀπεδήμουν ἐκεῖσε πολλοὶ θεραπείας τε καὶ καθάρσεως χάριν, ἄλλοι τε καὶ οἱ μανικοῖς συνεχόμενοι πάθεσι. — Στ. 21, Ἐπὶ θοίνην.] Ἐπ' εὐωχίαν· παρ' ὃ καὶ σύνθετον ὁ Φιλόθοινος, τουτέστιν ὁ φιλῶν εὐωχεῖσθαι, καὶ τούτῳ τὸ πολὺ τοῦ βίου μέρος σχολάζων. ταύτην τὴν λέξιν, ἀγνοουμένην τοῖς Λεξικογράφοις, καὶ λανθάνουσαν τέως ἐν τῷ Κέβητος τοῦ Θηβαίου Πίνακι, ἀνευρεῖν ὑπείληφα· ἃ γὰρ ἐκεῖνός φησι, « Ὡς ἄν, εἴτις ΦΙΛΟΤΙΜΩΣ κάμνων ἐτύγχανεν, πρὸς ἰατρὸν » ἂν δήπου γενόμενος, πρότερον καθαρτικοῖς ἐξέβαλε τὰ νοσοποιοῦντα, εἶτα » οὕτως ἂν αὐτὸν ὁ ἰατρὸς εἰς ἀνάληψιν καὶ ὑγίειαν κατέστησεν », οὐδένα νοῦν ἕξει, εἰ μὴ ἀντὶ τοῦ, Φιλοτίμως (ἀνθ' οὗ ἐν ἄλλ. φέρεται, φιλότιμος) γράφοις ΦΙΛΟΘΟΙΝΟΣ. — Στ. 23, Ἐθυμιᾶτο αὐτῷ.] Ἐν ἄλλ. γράφεται Ἐθυμιᾶτο αὐτός. — ΣΕΛ. 159, στ. 1, Περιῆλθεν αὐτόν.] Οὕτω γράφειν δεῖν ἔγνων (ἀπὸ μεταφορᾶς τῶν περιερχομένων καὶ περικυκλούντων τινὰ πολεμίων), ἀντὶ τοῦ, Περιῆλθεν αὐτῷ· μαρτυρείτω δέ μου τῇ διορθώσει αὐτὸς Αἰλιανὸς εἰρηκὼς ἀλλαχοῦ (Περὶ ζώων ἰδιότ. Ε, λθ') « Κυκλωσάμε» νος αὐτὸν καὶ περιελθὼν ὁ ὕπνος ».

ΚΕΦ. νβ', σελ. 159, στ. 6, Καὶ γὰρ ἐκείναις.] Ἐγράφετο, Ἐκείνους, ἐν ἄλλ. Ἐκεῖναι. τοῦτο εἰς τὸ Ἐκείναις τρεπτέον εἶναι παραινέσασιν ἑτέροις ἐπείσθην κἀγὼ, καίπερ ἐπιφερομένου τοῦ Αὐταῖς· εὐκατάφορος γὰρ ὁ Αἰλιανὸς εἰς τοὺς πλεονασμούς τε καὶ τὰς ταυτολογίας. — Στ. 8, Εὐτελῶς οὕτως αὐτοῦ πέρι φρονεῖν.] Ἐξ ἑτέρων διορθώσεως. ἐγράφετο, Εὐτελῶς οὕτω περιφρονεῖν· ὅπερ ἕτεροι (Σημ. εἰς τὸ περὶ διαλέκτ. τοῦ Κορίνθου. σελ. 181) οὐκ ἀπιθάνως καὶ εἰς τὸ, Ἐντελῶς οὕτω παραφρονεῖν, τρέπειν δεῖν ὑπέλαβον.

ΚΕΦ. νγ', σελ. 159, στ. 16, Ἐκ τῆς Μαιανδρίου.] Ἑτέραν ἀποδίδωσιν αἰτίαν τοῦ Περσικοῦ πολέμου ὁ αὐτὸς οὗτος Αἰλιανὸς ἀλλαχοῦ (Περὶ ζώων ἰδιότ. ΙΑ, κζ'). — Στ. 17, Διὰ τὸ Μεγαρέων πινάκιον.] Διὰ τὸ κατὰ Μεγαρέων ψήφισμα τῶν Ἀθηναίων, περὶ οὗ ἔπιθι τὸν σχολιαστὴν Ἀριστοφάνους (Εἰρήν. 604 κ. τ. ἑ). — Στ. 20, Καὶ λαβεῖν οὐ θελησάντων.] Τὸ κατὰ τὴν Ἀλόνησον αἰνίττεται, ἣν Ἀθηναίοις διδόντος Φιλίππου, συν-

ἐβούλευε Δημοσθένης μὴ ἀπολαμβάνειν, ἀλλὰ λαμβάνειν. ἔπιθι τὸν περὶ Ἀλοννήσου λόγον τοῦ ῥήτορος, καὶ τὰ περὶ τούτου εἰς τοὺς Θεοφράστου χαρακτῆρας (σελ. 248) Γαλλιστὶ σημειωθέντα μοι.

ΚΕΦ. νδ', ΣΕΛ. 160, στ. 1, Χαλεπαίνοντα πολλοῖς.] Ἐξ ἀντιγράφου τὸ Πολλοῖς, ἀντὶ τοῦ Πολλά. — Στ. 2, Οὐ πρὸς ἥσσους.] Ἐξ ἑτέρων διορθώσεως τὸ, Ἥσσους (τουτέστιν Ἥσσονας), ἀντὶ τοῦ, Ἴσους· οἱ γὰρ ἥσσονες, κακῶς παθεῖν ὄντες ῥᾷστοι, ἧττον ἐξάπτουσι τὴν ὀργήν. — Στ. 5, Ὠφέλιμος.] Ἐν ἄλλ. γρ. Ὠφέλημα, οὐδετέρως καὶ οὐσιαστικῶς· καὶ εἰκὸς οὕτω γράψαι τὸν Αἰλιανὸν, τοὺς Τραγικοὺς ἐνταῦθα μιμήσασθαι σπεύσαντα.

ΚΕΦ. νέ, σελ. 160, στ. 9, Ἡ ὑποθήκη.] Ἡ ὑπόθεσις. ἴσως δὲ περιττὸν τὸ ἄρθρον (ἴδ. ἀνωτέρω, ΙΒ, κγ). — Στ. 11, Λέγουσι γὰρ καί.] Ἐξ ἀντιγράφου, ἀντὶ τοῦ, Λέγει γὰρ καί.

Κεφ. νς', σελ. 160, στ. 14, Καὶ ὅτι ἐβούλετο ] Προσέθηκα ἐξ ἑτέρων διορθώσεως τὸ Ὅτι, παραμεληθὲν ἅπασι τοῖς πρὸ ἡμῶν.

Κεφ. νή, ΣΕΛ. 161, στ. 19, Μάλιστα δὲ αὐτοῦ. ] Ἐξ ἀντιγράφου, ἀντὶ τοῦ, Μάλιστα δὲ δι' αὐτοῦ. — Σλ. 20, Χρυσοῦν κάτοπτρον Κορινθιουργὲς ἐπιπράσκετο. ]. Τὰς τέσσαρας ταύτας λέξεις περιγραπτέας εἶναι εὐλόγως πάνυ διατείνονται, οὔτε γὰρ τοῖς πρὸ αὐτῶν, οὔτε τοῖς μετ' αὐτὰς ὅλως συνάδουσιν· ὃ δὴ καὶ ὑπονοεῖν παρέχει μήποτε φράσις ἑτέρα τις ὁλόκληρος ἐξεῤῥύη τοῦ χωρίου, ἀβλεψίᾳ τοῦ πρώτως γράψαντος.

ΚΕΦ. ξ', ΣΕΛ. 162, στ. 2, Ὡς εἰκός. ] Ἐν ἄλλοις γράφεται, Ὡς τὸ εἰκός. —Στ. 3, Ἐν δὲ τοῖς καὶ ἐκεῖνο ἤρετο ὁ Φίλιππος. Ἐστίζετο τοῖς πρὸ ἡμῶν τὸ χωρίον οὕτως, Ἐν δὲ τοῖς καὶ ἐκεῖνο. Ἤρετο ὁ Φίλιππος.

ΚΕΦ. ξά, σελ. 162, στ. 10, Δύναμιν αὐτοῦ]. Ἐξ ἀρχαιοτέρων ἐκδόσεων, ἀντὶ τοῦ, Δύναμιν αὐτῶν. — Στ. 13, Ἐπετέλουν.] Ἐλλειπτικῶς τοῦ Θυσίαν ἢ Ἑορτήν. — Στ. 14, Κηδεστήν. ] Γαμβρόν· περὶ οὗ ἔπιθι τὸν Ἡρόδοτον (Ζ, 189).

ΚΕΦ. ξβ', σελ. 162, στ. 17, Ἀποῤῥητοτέρων. ] Ἐν ἄλλ. γρ. Ἀποῤῥήτων, ἴσως ἄμεινον. — Στ. 21, Ἀνδρὶ δὲ ἐλευθέρῳ.] Οὐ πάνυ τι σαφῶς οὐδ' Ἑλληνικῶς ἐκπέφρασται τὸ λεγόμενον. ὁ νοῦς, Οὐ δεῖ δὲ τὸν ἐλεύθερον ἄνδρα, κρίνειν τὴν ὕβριν ἀνταξίαν τοῦ μισθοῦ, ἤγουν, οὐ δεῖ αὐτὸν ἀνέχεσθαι μαστιγούμενον, ὡς δῆθεν ἀντισηκωμένης τῆς μαστιγώσεως δωρεᾷ χρυσῆς πλίνθου, ἢ ἄλλου του τῶν πολυτίμων.

ΚΕΦ. ξδ', ΣΕΛ. 163, στ. 15, Πάντων τῶν ἐξ αἰῶνος. ] Διέγραψα τὸ κακῶς εἰσφρῆσαν ἄρθρον ἐγράφετο γὰρ, Τὸν πάντων τῶν ἐξ αἰῶνος. — Στ. 17, Ὅτι ἄρα.] Ἴσως διαγραπτέον καὶ τὸ Ἄρα, διὰ τὸ προσεχῶς προηγησάμενον ἕτερον Ἄρα. — Στ. 18, Τὸ πρότερον. ] Ἐξ ἀντιγράφου, ἀντὶ τοῦ, Τὸ πρῶτον. — Στ. 23, Τὸ σῶμα ἐξέκλεψε.] Ἐξ ἑτέρων διορθώσεως, ἀντὶ τοῦ, Τὸ σῶμα ἐξεκάλυψε. — Στ. 27, Πολυωρίας.] Πολλῆς φροντίδος καὶ ἐπιμελείας, ἀντιθέτως πρὸς τὴν ὀλιγωρίαν· ᾧ καὶ δῆλον ὅτι κακοζήλως τε καὶ περιέργως ἐκπέφρασται τὸ, Ἔμελε τούτῳ τῆς εἰς Ἀλέξανδρον πολυωρίας. χαίρει δὲ τῇ λέξει ὁ Αἰλιανὸς, ὡς ἔστι καταμαθεῖν ἐκ τοῦ Σουΐδα ( λέξ. Ἡμίσεια, καὶ Πολυωρήσεις). — ΣΕΛ. 164, στ. 4, Ὅπερ Ὅμηρος ᾄδει.] Ἐν τῇ τῆς Ἰλιάδος Ε ῥαψῳδίᾳ, 449.

## ΒΙΒΛΙΟΝ ΤΡΙΣΚΑΙΔΕΚΑΤΟΝ.

ΚΕΦ. ά, ΣΕΛ. 165, στ. 7. Ὑπὸ κυνηγετῶν.] Ἐν ἄλλοις γράφεται, Ὑπὸ κυνηγέτου. — Στ. 9, Κατά τινα θείαν πομπήν.] Θείᾳ πομπῇ, ἐκφράζει τοῦτο ἀλλαχοῦ (Η, α) ὁ Αἰλιανός· ἐχρήσατο δὲ καὶ Ἡρόδοτος, (Α, ξϐ', Γ, οζ', Δ, ρνϐ'), ἐξ Ὁμήρου λαϐὼν (Ἰλιάδ. Ζ, 171).

Αὐτὰρ ὁ βῆ Λυκίην δε θεῶν ὑπ' ἀμύμονι πομπῇ.

σημαίνει δὲ τὸ, Θεοῦ βοηθοῦντος συλλαμϐανομένου, καὶ πέμποντος. — Στ. 15, Οἱ καὶ ἐξ ἀρχῆς.] Ἐξ ἑτέρων διορθώσεως, ἀντὶ τοῦ, Καὶ οἱ ἐξ ἀρχῆς. — Στ. 16, Αὐτὰ ἕκαστα τῶν δρωμένων.] Ἐξ ἀντιγράφου, ἀντὶ τοῦ, Αὐτὰ ἕκαστα τῶν δρυμώνων. — Στ. 19, Ἐτρέφετο αὐτοῖς ἐν ὀρείῳ τῇ τροφῇ.] Ἐξ ἀντιγράφου, ἀντὶ τοῦ, Ἐτρέφετο ἐν αὐτοῖς κ. τ. λ. — ΣΕΛ. 166, στ. 1, Τὰ ὑψηλότατα.] Ἐν ἄλλοις γράφεται. Τὸ ὑψηλότατον, ἴσως ἄμεινον. Στ. 2, Ἔτι δὲ καὶ πεῦκαι, καὶ βαθεῖα ἡ ἐκ τούτων σκιά.] Τὸ μὲν Πεῦκαι ἐξ ἑτέρων διορθώσεως, τὰ λοιπὰ δ' ἐξ ἀντιγράφου, ἀντὶ τοῦ, παρὰ τοῖς ἄλλοις, Ἔτι δὲ καὶ πνεῦμα, καὶ βαθεῖά τις ὕλη. — Στ. 3, Τί γὰρ ἡμᾶς λυπεῖ.] Ἐν ἄλλοις γράφεται δευτεροπροσώπως, Ὑμᾶς. ὁποτέρως δ' ἔχοι τὰ τῆς γραφῆς, οὐδὲν λέγοντι λυπεῖν τὰ τοιαῦτα τῷ Αἰλιανῷ, ὑπολαϐὼν ἂν φήσαιμι, ὅτι καὶ ἀποκναίει τοὺς ἀκούοντας τὰ καλὰ μὴ καλῶς ἐκφραζόμενα· τῷ δὲ Καλῶς ἐν τῷ Καιρίως ἐστί. — Στ. 4, Τὸ ἐν Ὁμήρῳ.] Ἐν τῇ Ε τῆς Ὀδυσσείας ῥαψῳδίᾳ. — Στ. 5, Σπήλαιον ἕν, καὶ βαθὺ πάνυ.] Ἴσως ἐγέγραπτο, Σπήλαιον μέγα καὶ βαθὺ πάνυ· εἰκὸς γὰρ ἐνταῦθα τὸν Αἰλιανὸν τὴν Ὁμηρικὴν τοῦ τῆς Καλυψοῦς ἄντρου ἔκφρασιν ζηλῶσαι (Ὀδυσ. Ε, 57),

. . . . . Ὄφρα μέγα σπέος ἵκετο. . . . . .

Στ. 7, Ἐνεπλέκοντο οἱ κιττοὶ μαλακοῖς δένδροις, ἢ. . . . μαλακῶς τοῖς δένδροις. Στ. 8, Κρόκοι.] Κρόκος ἐνταῦθα, ὁ τοῖς χυδαΐζουσι καλούμενος Ζαφορᾶς, παρὰ τὸ τῶν Ἰταλῶν Zafferano. Κρόκον δὲ ἔλεγον, ὡς φέρεται παρὰ τῷ Γαληνῷ (περὶ Εὐπορίστ. σελ. 451), διὰ τὸ τῆς χρόας κροκίζον, καὶ τοῦ ὠοῦ τὴν Λέκιθον (τὴν παρ' ἄλλοις λεγομένην, Ξανθὸν, Πυῤῥὸν, Ὠχρὸν, ἢ Χρυσοῦν τοῦ ὠοῦ)· ὃν ἡμεῖς μεταθέσει τοῦ τόνου καὶ τῶν στοιχείων, Κορκὸν τοῦ αὐγοῦ, καλεῖν εἰώθαμεν. — Στ. 10, Εἰς ἑορτὴν ὄψεως . . . . κατὰ τὴν εὐωδίαν ἑστιᾶσθαι.] Σοφιστικὰ καὶ κακόζηλα ταῦτα, καίπερ ἑταίρως δόξαντά τισι. — Στ. 14, Διὰ τέλους ἀκμάζοντος]. Τουτέστιν ἀειθαλλοῦς. ἀντὶ δὲ τοῦ προηγησαμένου, Δάφναι, γραπτέον ἴσως, Δάφνης, ἵν' ᾖ τὸ ἑξῆς, Δάφνης κόμαι. — Στ. 15, Εὐθηνούντων βοτρύων.] Ἐξ ἀντιγράφου, ἀντὶ τοῦ, Εὐθενοῦντο βοτρύων· ἐν ἄλλοις δὲ γρ. Εὐσθενούντων, ἢ Εὐθενούντων, οὐδὲ ταῦτα κακῶς. — Στ. 17, Διατελῆ καὶ εἰσρέοντα.] Τουτέστιν ἀένναα. διαγράφειν τὸν μεταξὺ τῶν δύο φωνῶν τούτων, Καὶ, εὐλόγως παραινοῦσί τινες· ἕτεροι δὲ κακῶς ὑπειλήφασι γραπτέον εἶναι, Διατελῆ καὶ εὐρέοντα.

ἐνδέχεται

ἐνδέχεται μέντοι τὸν εὐκατάφορον εἰς τοὺς πλεονασμοὺς Αἰλιανὸν γεγραφέναι, Διατελῆ καὶ ἀεὶ ῥέοντα. — Στ. 23, Στρωμνή. ] Ἐξ ἀντιγράφου, ἀντὶ τοῦ Στρωμναί. ] Στ. 26, Οἷαν μὴ ἀπᾳδεῖν. ] Διορθοῦνταί τινες, Οἷαν μὴ ἀπᾴδειν. — Στ. 29, Φυγεῖν δ' ἐθέλουσαν. ] Προσέθηκα τὸν σύνδεσμον ἐξ ἑτέρων διορθώσεως. — ΣΕΛ. 167, στ. 2, Καλὴ δὲ ἦν. ] Διωρθωσάμην, ἀντὶ τοῦ, Κάλλει δὲ ἦν. — Στ. 5, Καὶ ἐκ τῶν ἐν τοῖς ὄρεσι. ] Προσέθηκα τὴν, Ἐκ, πρόθεσιν ἐξ ἑτέρων διορθώσεως. — Στ. 9, Τὸ πᾶν σῶμα ἐκπονοῦσα. ] Ἐκπονοῦσα γραπτέον εἶναι, καὶ οὐκ, Ἐκτελοῦσα, καθὰ φέρεται παρ' ἅπασι, διδασκέτω σε αὐτὸς ὁ Αἰλιανὸς ( Β, έ ). — Στ. 14, Ὡραῖον ἂν γένοιο. ] Προσέθηκα τὸν δυνητικὸν, διὰ τὸ ἀσόλοικον. — Ὥσπερ οὖν καλὸν ἦν. ] Κακῶς ἐγράφετο ἡ τελευταία φωνὴ, Ἡ, ἦ, Ἦ. — Στ. 20, Οὐ γὰρ ἂν αὐτήν τις εὐκόλως οὐδεὶς εἶδεν. ] Διαγεαπτέον τὸ, Τις, ἢ μᾶλλον τὸ, Οὐδείς. Στ. 22, Ὥσπερ ἀστὴρ, καὶ διάττουσα ἐξέλαμπεν. ] Ἐγράφετο, Καὶ ὥσπερ ἀστὴρ διάττουσα ἐξέλαμπεν· ὅπερ ἕτεροι διωρθοῦντο, Ὥσπερ ἀστὴρ, διάττουσα δ' ἐξέλαμπεν, περιγράφοντες τὸν, Καὶ, καὶ προστιθέντες τὸν, Δέ. ἡμῖν μέντοι γε ἱκανὴ ἔδοξεν ἡ τοῦ, Καὶ, μόνου μετάθεσις· τὸ γὰρ, Ὥσπερ ἀστὴρ, πρὸς τὸ Ἐπέφηνε, ἀμεταβάτως ἐνταῦθα λαμβανόμενον, ἀντὶ τοῦ, Ἐπεφάνη ( Ἐπιθ. τὰ εἰς τὸν Ἡλιόδωρ. σελ. 187 ), τὴν ἀναφορὰν ἔχει· τὸ δὲ, Ἀστραπῆς δίκην, πρὸς τὸ, Διάττουσα. — Στ. 23, Ἀπέκρυπτεν αὐτὴν διαθέουσα ἢ δρυμὸν, ἢ λόχμην. ] Ἐξ ἀντιγράφων, ἀντὶ τοῦ Ἀπέκρυπτεν αὐτὴν, διαθέουσαν, ἢ δρυμὼν, ἢ λόχμη. — Στ. 24, Ἤ τι ἄλλο τῶν ἐν ὄρει δάσος. ] Ὤφειλεν εἰπεῖν ἐνάρθρως, Τῶν ἐν τῷ ὄρει· ἀλλ' ἐπλανήθη ὑπὸ τῆς πατρίου φωνῆς, ἀμοιρούσης ἄρθρων. σημειοῦ δὲ τὸ ἐν τῇ συνηθείᾳ Δάσος, ὅπερ καὶ Βόσκον καλεῖν εἰώθαμεν, οὐ παρὰ τῶν Ἰταλῶν ( Bosco ), ὡς ἄν τις ὑπολάβοι, λαβόντες, ἀλλ' ἡμεῖς τοῖς Ἰταλοῖς, καὶ πλείστοις ἄλλοις τῆς δυτικωτέρας Εὐρώπης ἔθνεσι, μεταδόντες· ὥσπερ γὰρ τὸ συνώνυμον Νέμος οὕτως ἐκλήθη παρὰ τὴν Νομὴν ( Ἡσύχ. λέξ. Νέμος ), τὸν αὐτὸν τρόπον καὶ ὁ Βόσκος ( οὐχ, ὡς οἱ χυδαΐζοντες, Μπόσκος ) παρὰ τὴν Βοσκὴν παρῆκται· καὶ εἰ ὁ Βοσκὸς ὀξυτόνως ταὐτόν ἐστι τῷ Νομεὺς, ταὐτὸν ἔσται δήπου καὶ ὁ Βόσκος τῷ Νέμος. — Καὶ οἵ ποτε οἱ τὴν ὅμορον καὶ γειτνιῶσαν οἰκοῦντες. . . . . ἐπεκώμασαν δύο κ. τ. λ. ] Ἐγράφετο, Καὶ οἵ ποτε καὶ οἱ τὴν ὅμορον γειτνιῶσαν οἰκοῦντες. . . . . δύο, ὅπερ ἄλλως ἄλλοι διορθοῦν ἐπεβάλλοντο. ἡμεῖς δὲ μόνην τὴν μετάθεσιν τοῦ δευτέρου Καὶ, καὶ τὴν ἐξ ἀντιγράφων προσθήκην τοῦ, Ἐκώμασαν ( ὅπερ ἐτρέψαμεν εἰς τὸ ἐπεκώμασαν ), ἀποχρῶσαν ἡγούμεθα διόρθωσιν τοῦ χωρίου. — Στ. 32, Εἶτα τούτοις λόγους διαπλέξαντες. ] Οὕτω διορθώσασθαι ἔγνων τὸ παρὰ πᾶσιν ἀδιανοήτως γραφόμενον, Εἶτα τούτοις ἑαυτοὺς διαπλέξαντες· ὅτι δ' ἐστεφανοῦντο τῇ λύγῳ, δηλοῖ μὲν καὶ Ἀνακρέων ( παρὰ Ἀθην. ΙΕ, σελ. 671 καὶ 673 ), δηλοῦσι δὲ καὶ οἱ μέχρι δεῦρο παρ' Ἕλλησιν ἐν χρήσει λύγινοι στέφανοι, οἷς καὶ αὐτὸς πολλάκις στεφανωσάμενος ( οὔ γε μὴν ἐν Κενταυρικοῖς κώμοις ) μέμνημαι. ΣΕΛ. 168, στ. 3, Σὺν ὕβρει καὶ οἴστρῳ. ] Ἐγράφετο, Σὺν ὕβρει καὶ ἄντρῳ. ταῖς ὀκτωκαίδεκα διαφόροις τῶν κριτικῶν διορθώσεσιν, ὧν αἱ μὲν τῆς ἀρχαίας γραφῆς, αἱ δὲ τοῦ Ἑλληνισμοῦ πάμπολυ ἀφεστήκασιν, ἐννεακαιδεκάτην ταύτην, ἵνα μὴ παντάπασιν ἀσύμβολος ὦ, προσθεῖναι δεῖν ἔγνων. Οἶστρον

δ' ἐνταῦθα τὴν ἀφροδίσιον λύσσαν λέγει, καθὰ καὶ ἐν ἄλλοις (περὶ ζώων ἰδιότ. ΙΒ, μδ.) ὁ αὐτὸς Αἰλιανὸς εἴρηκεν, » Εἰς ἔρωτα ἐμβάλλει, καὶ οἴστρον » ἀφροδίσιον ». — Στ. 10, Ἐμπλῆσαι τὴν ὀργήν. ] Ἔτρεψα τὸ παρὰ πᾶσιν, Ὁρμὴν, εἰς τὸ Ὀργήν. οὕτω μὲν γὰρ καὶ Πλάτων (Νομ. Δ, σελ. 717) « Ἀποπιμπλᾶσι τὸν θυμὸν » εἴρηκε, καὶ Θουκυδίδης (Ζ, ξή) « Ἀποπλῆσαι τῆς γνώμης τὸ θυμούμενον ». οὕτω δὲ καὶ ἐν τῇ συνηθείᾳ φαμὲν « Νὰ χορτάσῃ τὸν θυμόν του ». θυμοῦ δὲ πλήρωσίς τε καὶ κόρος, πολλάκις ἀλυσιτελέστατος, ἡ ἐκδίκησις.

ΚΕΦ. β'. σελ. 168, στ. 14, Ὅσα μὲν οὗτος ἰδεῖν· ] Εὐλόγως τὸ Οὗτος εἰς τὸ Οὕτως τρεπτέον εἶναι ὑπειλήφασί τινες· οὐδὲ γὰρ ἀπεικὸς γεγραφέναι τὸν Αἰλιανὸν, Ὅσα μὲν οὕτως ἰδεῖν, πλεοναστικῶς. ἡ δὲ πλείων χρῆσις βούλεται, Ὅσα μὲν ἰδεῖν, οὗ μαρτύριον καὶ παρ' αὐτῷ τῷ Αἰλιανῷ (περὶ ζώων ἰδιότ. Ζ. ἑ), ἢ, Οὑτωσὶ μὲν ἰδεῖν. — ΣΕΛ. 169, στ. 6. Σὺν ὀργῇ καὶ θυμῷ.) Ἔτρεψα κἀνταῦθα τὸ Ὁρμῇ εἰς τὸ Ὀργῇ. — Στ. 11, Διὰ τιμῆς ἦλθε δημοσίᾳ, καὶ ἐτάφη. ] Ἄμεινον γράφειν, Διὰ τιμῆς ἦλθε, καὶ δημοσίᾳ ἐτάφη. — Στ. 13, Τοῦτο δὴ τὸ ποιητικόν. ] Τὸ παρ' Ὁμήρῳ δηλονότι (Ἰλιάδ. Δ, 162). — Στ. 14, Καὶ τῇ τῶν παίδων προσέτι. ] Ἔν τισι τῶν ἀντιγράφων, ἀντὶ τοῦ, Προσέτι, φέρεται, Προσέτισε, ὅπερ ἔοικεν ἐξ ὀρθωτέρας γραφῆς ἑτέρας, τῆς, Προσέτι γε, γεννηθῆναι.

ΚΕΦ. γ', σελ. 169, στ. 19, Εἰς παλαιστὴν ἴσως. ] Προσέθηκα τὸ Ἴσως ἔκ τ' ἀντιγράφων, καί τινων παλαιοτέρων ἐκδόσεων. δηλοῖ δὲ, τοῖς ποσοῦ σημαντικοῖς προστιθέμενον, τὸ σχεδὸν ἢ ἐγγύς. — Στ. 21, Ἀναπληρώσαντι. ] Ἐν ἄλλοις γράφεται, Προσαναπληρώσαντι. — Οὐκ ἔστιν ἄμεινον.] Ἀλυσιτελῶς ἀπαλλάξει. Οὐκ ἔσται, κατὰ μέλλοντα, φασί τινες εἶναι γραπτέον. ἔπιθι τὰ περὶ ταύτης τῆς φράσεως σημειωθέντα μοι εἰς τὸ Ἱπποκράτους Περὶ ἀέρων, τόπων, ὑδάτων (Τομ. Β, σελ. 399). — Στ. 28, Αἴσχιστα. ] Καὶ τοῦτο τρέπειν τινὲς παραινοῦσιν εἰς τὸ Οἴκτιστα, ἢ Ἄλγιστα. — Στ. 29, Ὑπὸ τοῦ υἱοῦ. ] Ὁ δὲ Σικελιώτης Διόδωρος (ΙΑ, ξθ') καὶ ὁ Ἰουστῖνος (Γ. ά) ὑπὸ Ἀρταβάνου τοῦ σατράπου αὐτὸν σφαγῆναι παραδεδώκασι.

ΚΕΦ. έ, ΣΕΛ. 170, στ. 9, Γενναίων παιδικῶν. ] Ἀντὶ τοῦ Ἀῤῥένων ἐχρήσατο τῷ Γενναίων οὐ πάνυ τι κυρίως. ὅτι δὲ τὰ Παιδικὰ καὶ ἐπὶ ἀῤῥένων καὶ ἐπὶ θηλειῶν ἐρωμένων τάττεται, διδασκέτω σε ὁ σχολιαστὴς Ἀριστοφάνους (Σφ. 1021).

ΚΕΦ. ς', σελ. 170, στ. 12, Ἀμπέλους, ἐξ ὧν. ] Ἐν ἄλλοις γράφεται, Ἄμπελον, ἐξ ἧς. — Στ. 19, Κερυνίαν. ] Οὕτω γραπτέον εἶναι, ἀντὶ τοῦ Κεραυνίαν, καὶ ἄλλοι πρὸ ἡμῶν κατενόησαν. ἔστι δὲ μία τῶν δώδεκα Ἀχαϊκῶν πόλεων. — Στ. 20, Ἀμβλῶσαι. ] Ἐν ἄλλοις γράφεται, Ἀμβλωθῆναι. ἔστι δὲ, τὸ ἀτελὲς βρέφος ἀποβάλλειν, ὅπερ ἡ συνήθεια Ἀποβάλλω, καὶ, κατὰ μέσην διάθεσιν, Ἀποβάλλομαι λέγει ἐπὶ τῆς ἐξαμβλούσης γυναικὸς τεταχυῖα τοὔνομα. ᾧ καὶ δῆλον ὅτι οὐ κακῶς ὁ Εὐστάθιος καὶ αὐτὸ τὸ Ἀμβλόω, παρὰ τὸ Βάλλω παράγει, οἱονεὶ Ἀναβαλλόω συντεθὲν τὴν ἀρχὴν, εἶτα ποιητικῶς συγκοπὲν εἰς τὸ Ἀμβλόω, καθὰ καὶ τὸ Ἀναβολὴ εἰς τὸ Ἀμβολή. ὅτι δὲ οὐκ ἀπεικὸς τὸ Βάλλω εἰς τὸ Βαλλόω κινηθῆναι, δηλοῖ

καὶ ὁ σχηματισμὸς τοῦ συνήθους Καμόνω (ὅθεν τὸ Κάμωμα), ἤγουν Καμόνω, παρὰ τὸ Κάμνω ἢ Κάμω. ἐξ αὐτοῦ δὲ τοῦ χρηστοῦ Ἀμβλόω καὶ τοῦ ἀχρήστου Ἀναβαλλόω ἐνδέχεται καὶ τὸ τῆς χυδαιεστέρας συνηθείας, Πεμπαλλόνω, τὴν ἀρχὴν λαβεῖν, συνώνυμον ὂν τοῦ Ἀποβάλλω.

ΚΕΦ. ή καὶ θ', ΣΕΛ. 171, στ. 11, Λάμια κ. τ. λ. ] Κακῶς τῶν προτέρων ἐκδόσεων τὸ τῇ Λαμίᾳ εἰρημένον ἀρχὴν νέου κεφαλαίου, τοῦ ἐννάτου, ποιησαμένων, εἰς ἓν ἡμεῖς συνήψαμεν τῷ ὀγδόῳ, καὶ ἑτέροις τοῦτο δόξαν τῶν κριτικῶν. ἐπεγράψαμεν δὲ τῷ κεφαλαίῳ ἀμφοτέρους τοὺς ἀριθμοὺς, ἵνα μὴ καὶ τοὺς τῶν ἑξῆς ἀναγκασθῶμεν μετακινῆσαι.

ΚΕΦ. ί, σελ. 171, στ. 14, Ἀριστομάχην. ] Ἐγράφετο κακῶς Ἀρισταινέτην. ἔστι δ' ἡ αὐτὴ τῇ ἣν ἀνωτέρω (ΙΒ, μζ), ἑτέρᾳ μνήμης ἁμαρτίᾳ, Ἀρήτην ὠνόμαζε.

ΚΕΦ. ιά, σελ. 171, στ. 20, Τοῖς Ἕλλησιν. ] Ἔστιν ἐν οἷς τῶν ἀντιγράφων φέρεται, Ἐν τοῖς Ἕλλησιν, μετὰ προθέσεως· καὶ ἔοικεν ἀμείνων εἶναι ἡ τοιαύτη γραφή. — ΣΕΛ. 172, στ. 2, Πατρῴων κληρονόμον. ] Ὤφειλεν εἰπεῖν Τῶν Πατρῴων κληρονόμον, ἢ γοῦν, Οἷον πατρῴαν κληρονομίαν.

ΚΕΦ. ιβ', σελ. 172, στ. 5, Τῶν στρατευμάτων. ] Διαγραπτέον ἴσως τὰς δύο ταύτας φωνὰς, ἢ τήν γε πρώτην.

ΚΕΦ. ιδ, σελ. 172, στ. 18, Πρότερον. ] Ἐξ ἀντιγράφων, ἀντὶ τοῦ Πρόπαλαι. Στ. 19, Τὴν ἐπὶ ναυσὶ κ. τ. λ. ] Τὴν Ν ῥαψῳδίαν τῆς Ἰλιάδος, ὡς ἐσημειώσαντο ἄλλοι πρὸ ἡμῶν, ἐξ ὧν καὶ τὰ ἑξῆς ἑρμηνεύσομεν. — Δολωνίαν. ] Τὴν Κ. — Στ. 20, Ἀριστείαν Ἀγαμέμνονος. ] Τὴν Λ. — Νεῶν κατάλογον. ] Μέρος τῆς Β τὸ τελευταῖον. — Καὶ Πατρόκλειαν. ] Τὴν Π. ἐγράφετο παρὰ πᾶσι τοῖς πρὸ ἡμῶν, Καί που Πατρόκλειαν· ἀλλὰ διέγραψα τὸ, Που, ὡς ἡμαρτημένον τοῖς ἀντιγραφεῦσι. τὸν γὰρ Αἰλιανὸν οὕτω γράψαι, καίπερ ἄλλως εὐεπίφορον ὄντα εἰς τὴν κακόζηλον τῶν μορίων χρῆσιν, οὐ χρὴ πιστεύειν, οὐδ' ἂν αὐτὸς Αἰλιανὸς, ἀναβιοὺς, λέγῃ. — Στ. 21, Λύτρα. ] Τὴν Ω. — Ἐπὶ Πατρόκλῳ ἆθλα. ] Τὴν Ψ. — Ὁρκίων ἀφάνισιν. ] Τὴν Δ, ἣν καὶ, Ἐπιπώλησιν Ἀγαμέμνονος, ἕτεροι ἐκάλουν. — Στ. 22, Τὰ ἐν Πύλῳ. ] Τὴν Γ ῥαψῳδίαν τῆς Ὀδυσσείας. — Στ. 23, Τὰ ἐν Λακεδαίμονι. ] Τὴν Δ. — Καλυψοῦς ἄντρον καὶ τὰ περὶ τὴν σχεδίαν. ] Τὴν Ε. — ΣΕΛ. 173, στ. 1, Ἀλκίνου ἀπολόγους. ] Τὴν Θ. — Κυκλωπίαν. ] Σὴν Ι. — Στ, 2, Νεκυίαν. ] Τὴν Λ (καθ' ἑτέρους δὲ, τὴν Ω). — Τὰ τῆς Κίρκης. ] Τὴν Κ. Νίπτρα. ] Τὴν Τ. ἴστω δ' ὁ ἐντυγχάνων τῇ ἡμετέρᾳ ἐκδόσει, τυπογράφων ἀβλεψίᾳ ἀδιστίκτως γεγράφθαι, Τὰ τῆς Κίρκης νίπτρα, δέον γράφεσθαι, Τὰ τῆς Κίρκης, Νίπτρα. — Μνηστήρων φόνον. — Τὴν Χ. — Τὰ ἐν ἀγρῷ. ] Τὴν Ξ. — Στ. 3, Τὰ ἐν Λαέρτου. — Τὴν Ω, ἣν ἕτεροι Νεκυίαν, καὶ ἄλλοι Σπονδὰς ὠνόμαζον.

ΚΕΦ. ιέ, σελ. 173, στ. 9, Τὸ δέρμα ἔχοντα ἀδιακόνιστον. ] Ἀναίσθητον, ἄτρωτον, ἐξηγεῖται τὸ Ἀδιακόνιστον Ἡσύχιος. εἴη δ' ἂν τοιοῦτον προηγουμένως τὸ πυκνὸν καὶ παχύ. τεκμήριον δὲ, καὶ γὰρ καὶ ἐν τῇ συνηθείᾳ, Χονδρὸν πετζίον (τουτέστι, Παχὺ δέρμα) ἔχειν, μεταφορικῶς φαμεν τοὺς βραδεῖς τὴν διάνοιαν, οὓς καὶ Παχυδέρμους διὰ μιᾶς φωνῆς ἔλεγον οἱ πρὸ ἡμῶν (Σουίδ. λέξ. Μαλακός). τὸ δὲ Πετζίον παραφθορά ἐστι τοῦ ὑποκοριστικοῦ Πεσκίον, παρὰ τὸ Πέσκος, ὃ κυρίως σημαίνει τὸ τοῦ προβάτου δέρμα (Ἐτυμολογ. σελ. 665).

οὕτω γὰρ καὶ Κορίτζιον ὠνόμακεν ἡ χυδαΐζουσα φωνὴ τὸ Κορίσκιον, καὶ Ἄτζαλα, τὰ Ἄσκαλα, ὅ ἐστιν ἀκάθαρτα· χωρὶς εἰ μή τις τοῦτο παρὰ τὴν Ἀττάλην (τουτέστι, τὴν φόρυξιν καὶ μόλυνσιν) προαιρεῖτο παράγειν, καθὰ καὶ τὸν Κότζυφον παρὰ τὸν Κόττυφον.

ΚΕΦ. ιϛ', σελ. 173, στ. 15, Ἄσφαλτός ἐστιν ὀρυκτὴ, καὶ πίσσα κ. τ. λ.] Γράφεται παρ' ἅπασι κακῶς, Ἀσφάλτου ἐστὶν ὀρυκτὴ, καὶ πιμπλᾷ κ. τ. λ. διωρθωσάμεθα δ' ἐκ τοῦ περὶ θαυμασίων ἀκουσμάτων Ἀριστοτέλους, ἐξ οὗ προφανῶς ἠρανίσατο ταῦτα ὁ Αἰλιανός. ἱστόρηται δ' ἐν ἐκείνῳ τοῦ Σταγειρίτου τῷ συγγράμματι (σελ. 280, ἐκδ. Βεκμάννου) τὰ περὶ τῆς ἐν Ἀπολλωνίᾳ ἀσφάλτου ἐπὶ λέξεως ὡδί· « Ἐν δὲ Ἀπολλωνίᾳ τῇ πλησίον κειμένῃ τῆς τῶν » Ταυλαντίων χώρας, φασὶ γίγνεσθαι ἄσφαλτον ὀρυκτὴν καὶ πίσσαν, τὸν » αὐτὸν τρόπον ἐκ τῆς γῆς συναναπηδῶσαν τοῖς ὕδασιν κ. τ. λ. » μνημονεύουσι δὲ τῆς ἀσφάλτου ταύτης τῆς ἐν Ἀπολλωνίᾳ καὶ Στράβων (Ζ, σελ. 316), καὶ Πλούταρχος (Σύλλ. §. 27), καὶ ἄλλοι. — Στ. 21, Πόα χλωρά.] Ἐγράφετο κακῶς, Πολλὰ χλωρά· ἡ δὲ διόρθωσις ἐκ τοῦ προμνημονευθέντος Ἀριστοτελικοῦ συγγράμματος. — Στ. 22, Οὔτε τὴν τεθηλυῖαν ὕλην.] Προσέθηκα τὸ, Ὕλην· ἔοικε γὰρ παρῳδεῖν καὶ παραφράζειν τὴν παρ' Ὁμήρῳ (Ἰλιάδ. Ζ, 147) Τηλεθόωσαν ὕλην· ἐνδέχεται δὲ καὶ, Τεθηλυῖαν πόαν, γεγραφέναι τὸν Αἰλιανὸν, κατὰ τὸν παρὰ τῷ Ποιητῇ (Ἰλιάδ. Ξ, 347) Νεοθηλέα ποίην.

ΚΕΦ. ιζ, ΣΕΛ. 174, στ. 3, Πτήσσει Φρύνιχος.] Ἐγράφετο, « Ἀριθμὸν » σφηκῶν, Πτύσσει Φρύνιχος ». τὰς δὲ δύο πρώτας λέξεις, ὡς προφανῶς ἡμαρτημένας οὐ μόνον τῇ γραφῇ (ἀντὶ τοῦ, Ἀριστοφάνης, Σφηξὶ, ἢ, Ἐκ τῶν Ἀριστοφάνους Σφηκῶν), ἀλλὰ καὶ τῇ οὕπερ οὐκ ἐχρῆν τόπου κατοχῇ, ἐξεβάλομεν τοῦ χωρίου, δόξαν τοῦτο καί τισι τῶν πρὸ ἡμῶν. εἰκὸς γὰρ ὑπό τινος μεταγενεστέρου προσγεγράφθαι τῷ κεφαλαίῳ, ἐπισημείνασθαι βουληθέντος τὸ δρᾶμα τοῦ Κωμικοῦ ἐξ οὗ τὴν παροιμίαν εἴληφεν ὁ Αἰλιανός. ἔστι δὲ ἐκ τῶν Σφηκῶν Ἀριστοφάνους (1490), ὅπου γέγραπται,

Πτήσσει Φρύνιχος, ὥς τις ἀλέκτωρ. . . . . ,

πλὴν ἐν τῇ τελευταίᾳ ἐκδόσει, ἐν ᾗ φέρεται ἡ τοῦ Ἄγγλου Βεντλείου διόρθωσις, Πλήσσει, ἀντὶ τοῦ Πτήσσει. ταύτην δὲ καταχωρίσαι εἰς τὸ τοῦ Αἰλιανοῦ κείμενον οὐχ οἷόν τε, διὰ τὰ ἑπόμενα, ἐξ ὧν καὶ δῆλον ἀρχαιοτάτην εἶναι τὴν τοῦ Πτήσσει γραφὴν, ᾗ κατηκολούθηκεν ὁ Αἰλιανός. Στ. 5, Ἐξέβαλον.] Ἐξεσύριξαν. οὐ μόνον δὲ τοῦτο, ἀλλ', ᾗ φησιν Ἡρόδοτος (ϛ, κά), καὶ ἐζημίωσαν αὐτὸν χιλίαις δραχμαῖς, καὶ ἐπέταξαν μηκέτι μηδένα χρῆσθαι τῷ δράματι τούτῳ.

ΚΕΦ. ιή, σελ. 174, στ. 7, Ὁ τῆς Σικελίας τύραννος.] Προσέθηκα τὸ Τύραννος ἐξ ἀντιγράφου καί τινων ἀρχαιοτέρων ἐκδόσεων.

ΚΕΦ. ιθ', σελ. 174, στ. 11, Καὶ κατὰ τὸν ἐπιχώριον.] Προσέθηκα τὸν σύνδεσμον, ἀναγκαῖον ὄντα, ἄλλως τε καὶ αὐτοῦ Αἰλιανοῦ (Β, ιθ) ὑπαγορεύοντος.

ΚΕΦ. κ', σελ. 174, στ. 16, Ἀθυμουμένους.] Ἐξ ἑτέρων διορθώσεως, ἀντὶ τοῦ Ἐνθυμούμενος, ὅπερ ἄλλοι εἰς τὸ, Εὐθυμούμενος, τρέπειν παρῄνουν.

ΚΕΦ. κά, ΣΕΛ. 175. στ. 1, Τῇ δορᾷ.] Ἀπεκατέστησα τὴν ἀρχαίαν γραφὴν, ἀντὶ τοῦ, Τὴν δοράν. — Στ. 3, Κωφῇ. Ἐν ἄλλοις, Κωφὴ, ἐλλειπτικῶς τοῦ Εἶναι.

ΚΕΦ. κβ', σελ. 175. στ. 5, Καλὸν καλῶς ἐκάθισε.] Προσέθηκα τὸ Καλὸν, ἐξ ἀντιγράφων. εἰκὸς δὲ καὶ μετὰ τὸ, Ἐκάθισε, δύο λέξεις ἑτέρας, ἀβλεψίᾳ τῶν γραψάντων παραλελεῖφθαι· ταύτας, Ἐν μέσῳ.

ΚΕΦ. κδ', ΣΕΛ. 176, στ. 5, Τὸ δεῖν ἐξοστρακίζεσθαι πρῶτος εἰσηγησάμενος.] Τῶν πρὸ ἐμοῦ τις ἐκδοτῶν τὸ, Πρῶτος, εἰς τὸ, Πρώτους (ὤφειλεν εἰπεῖν εἰς τὸ, Τοὺς πρώτους, ἐνάρθρως), παραινεῖ τρέπειν, δόξας ἀσυνάρτητον εἶναι τὸ Ἐξοστρακίζεσθαι, μὴ δηλουμένου τοῦ τίνας. ἄδηλον δὲ εἴτε Κλεισθένης, εἴθ' ἕτερός τις ἦν ὁ τὸν περὶ ὀστρακισμοῦ νόμον θείς· ἄλλοι γὰρ ἄλλον παραδεδώκασιν, ὧν τὰς μαρτυρίας συνείλοχεν ὁ Μεύρσιος (Ἀττικ. Ἀναγν. Ε, ιη).

ΚΕΦ. κς', σελ. 176, στ. 22, Φύλλων.] Ἐν ἑτέραις γράφεται, Φυλλίων. Φυλλία δὲ, ἢ Φυλλεῖα, λέγεται, τὰ τῶν λαχάνων ἀπολεπίσματα, ἢ τὰ τῆς θριδακίνης φύλλα. ᾗ φησιν ὁ σχολιάσας τὸν Ἀριστοφάνην (Ἀχαρν. 469). γράφεται δὲ ἀδιαφόρως διὰ διφθόγγου ἢ μονοφθόγγου, καίπερ τοῦ Σουΐδα διαφορὰν εἰσηγουμένου σημασίας πρὸς τὴν διάφορον γραφήν.

ΚΕΦ. κζ', ΣΕΛ. 177, στ. 4, Πεπίστευτο. . . . . καὶ ταύτῃ.] Ἐπιστεύετο καὶ ἐκ τούτου, τοῦ ἐχομένως δηλαδὴ ῥηθησομένου. τὸ δὲ τῆς γραφῆς ἀναύξητον, ἐξ ἀντιγράφου, ἀντὶ τοῦ, Ἐπεπίστευτο· περὶ οὗ ἔπιθι τὸν Ἡλιοδώρου πίνακα (λέξ. Ὑπερσυντελικοί).

ΚΕΦ. κή, σελ. 177, στ. 9, Εἰς αὐτῷ.] Ἐξ ἀντιγράφου, καὶ ἀρχαιοτέρων ἐκδόσεων τὸ, Αὐτῷ, ἀντὶ τοῦ, Αὐτοῦ. — Στ. 14, Τῷ ὀνόματι τοῦ δεσπότου.] ἄλλοι ἄλλως ἐξηγήσαντο τὸ χωρίον. ψυχρῶς πάνυ παῖξαι πρὸς τὸ Διογένους ἐπώνυμον, τὸ Κύων, ὁ Αἰλιανὸς ἠβουλήθη, ὡσπερανεὶ ἔλεγεν, Ὑπὸ κυνῶν διεσπάσθη, κυνὶ δίκας ἐκτίσας, τῷ οἰκείῳ δεσπότῃ.

ΚΕΦ. λά, ΣΕΛ. 178, στ. 10, Ἔστ' ἂν ὁ διώκων ἀπῆλθεν.] Διάγραφε τὸν, Ἂν, ὃν ἀποστρέφεται ἡ τῶν δοκίμων χρῆσις, ἡνίκα πρὸς ὁριστικὸν συνάπτεται τὸ, Ἔστε.

ΚΕΦ. λγ', σελ. 178, στ. 21, Ῥοδῶπίν φασιν Αἰγυπτίαν ἑταίραν γενέσθαι κ. τ. λ.] Ἐξ ἀντιγράφων, ἀντὶ τοῦ, Ῥόδωπίν φασιν Αἰγυπτίων λόγοι ἑταίραν γενέσθαι. περιέσπασα δὲ τὸ Ῥοδῶπιν, κατὰ τὰ σημειωθέντα εἰς τὸν Ἡλιόδωρον (σελ. 91).

ΚΕΦ. λδ', ΣΕΛ. 179, στ. 10, Ἐκέλευσεν ἀπάγειν.] Ἐλλειπτικῶς τοῦ Εἰς θάνατον. — Στ. 12, Καταρώμενος ἑαυτοῦ.] Γράφε, Καταρώμενος ἑαυτῷ, τοῦτο τῆς ὀρθῆς ἀπαιτούσης χρήσεως, ᾗ καὶ αὐτὸς Αἰλιανὸς ἠκολούθησεν ἀνωτέρω (ΙΒ, ά, σελ. 138) Κατηρᾶτο ἑαυτῇ, καὶ τῷ πατρὶ, φήσας. Ὅτι ποτε ἔλαβε τὸ ξίφος.] Ἐγράφετο, Ὅτι ὅτε ἔλαβε τὸ ξίφος· ὃ τινὲς μὲν, διαγράφοντες τὸν σύνδεσμον, Ὅτε ἔλαβε τὸ ξίφος, ἕτεροι δὲ τὸ ἐπίῤῥημα περιαιροῦντες, Ὅτι ἔλαβε τὸ ξίφος, ἢ εἰς τὸ ἀντίστοιχον τρέποντες, Ὅτι ποτε ἔλαβε τὸ ξίφος (καθὰ καὶ ἡμεῖς γράφειν προειλόμεθα), ἀναγνωστέον εἶναι ὑπειλήφασιν. ἄλλοι δὲ, ἀμφοτέρας εἰς ἓν συνελόντες τὰς λέξεις, ἀναγινώσκειν παραινοῦσιν, Ὁπότε ἔλαβε τὸ ξίφος· εἰσὶ δ' οἱ καὶ τὸ Ἔλαβε εἰς τὸ

Ἀπέβαλε μεταβλητέον εἶναι ᾠήθησαν. ἐλλιπῶς τοῦ συγγραφέως, διὰ τὸ παρ' ἅπασιν ἴσως προτεθρυλῆσθαι, τὸ κατὰ τὸν Λέοντα πάθος ἀφηγησαμένου, οὐ πάνυ τι ῥᾴδιον διευκρινῆσαι τὰ τῆς γραφῆς. εἰκάζει δέ τις τῶν ἀρχαίων ἐκδοτῶν τὸν Λέοντα τοῦτον τὸν αὐτὸν εἶναι καὶ τὸν παρὰ τῷ Κικέρωνι (Τυσκλ. ζητημ. Ε, κ'). Διονυσίου τοῦ τυράννου τῆς Σικελίας ἐρώμενον. λέγει δὲ ὁ Ῥωμαϊκὸς ῥήτωρ, ὅτι Διονύσιος, σφαιρίζειν μέλλων, μειρακίῳ τινὶ τῶν ἐρωμένων τὸ ξίφος παρέδωκε· τῶν συνήθων δέ τινος σὺν παιδιᾷ φήσαντος, « Τούτῳ καταπιστεύεις τὴν ζωὴν Διονύσιε; » καὶ τοῦ μειρακίου τοῖς εἰρημένοις ἐπιγελάσαντος, ἀμφοτέρους ἀποκτεῖναι προσέταξεν ὁ τύραννος, τὸν μὲν, ὡς ὑποδείξαντα τῆς σφαγῆς αὐτοῦ τὸν τρόπον, τὸν δὲ, ὡς ἐπαινέσαντα τὴν ὑπόδειξιν διὰ τοῦ γέλωτος. ὕστερον μέντοι μεταγνοὺς τὰ προδεδογμένα ὁ Διονύσιος, ἐπὶ τῷ τοῦ ἐρωμένου θανάτῳ, ὡς ἐπ' οὐδενί πω πρότερον ἀτυχήματι, δῆλος ἐγένετο δυσφορήσας. τούτων οὕτως ἐχόντων, γεγραφέναι τὸν Αἰλιανὸν ὑπείληφεν ὁ ἐμὸς φίλος Κλαυέριος, Ὅτι ποτε ἔδωκε τὸ ξίφος (τῷ Λέοντι δηλονότι ὁ Διονύσιος). ἢ τοίνυν ἀποδεκτέον τὴν εὔλογον ταύτην γραφὴν, ἢ γοῦν, τρέποντας τὴν σύνθετον ἀντωνυμίαν εἰς τὴν ἀναφορικὴν, γραπτέον, Καταρώμενος αὐτῷ, ὅτι ποτε ἔλαβε τὸ ξίφος, τουτέστι, Καταρώμενος ὁ Διονύσιος τῷ ἐρωμένῳ, ὅτι ἔλαβε τὸ ξίφος. ἐξῆν γὰρ αὐτῷ παραιτήσασθαι τὸν Διονύσιον ἄλλῳ τινὶ δοῦναι τὸ ξίφος καὶ τῇ παραιτήσει τὴν ὑπόνοιαν ἀποτρίψασθαι. παραπλήσιον δέ τι τυραννικῆς ὑπονοίας τε καὶ ὠμότητος ἔργον ἕτερον τοῦ Διονυσίου τούτου καὶ Πλούταρχος (Δίων. §. 9) ἱστόρηκε, λέγων, « Ἐπεὶ δὲ Λεπτίνης, ὁ ἀδελφὸς, αὐτῷ ποτε » χωρίου φύσιν ἐξηγούμενος, λαβὼν λόγχην παρά τινος τῶν δορυφόρων, » ὑπέγραψε τὸν τόπον, ἐκείνῳ μὲν ἰσχυρῶς ἐχαλέπαινε (ἴσ. Ἐχαλέπηνε), » τὸν δὲ δόντα τὴν λόγχην ἀπέκτεινεν ».

ΚΕΦ. λέ. σελ. 179, στ. 16, Σέλινα. ] Γραπτέον εἶναί φασί τινες, Σέσελιν, ἔκ τε τοῦ Ἀριστοτέλους καὶ τοῦ Πλινίου, ὧν ὁ μὲν μετὰ τὸν τοκετὸν ἐπὶ τὴν σέσελιν τρέχειν τὴν ἔλαφον, ὁ Ἀριστοτέλης, ὁ δὲ, καὶ πρὸ τοῦ τοκετοῦ ἱστόρηκε.

ΚΣΦ. λς', σελ. 179, στ. 17, Ἦν δὲ ἄρα. ] Ἔν τισι τῶν ἀντιγράφων φέρεται, Ἦν δὲ ἄρα αὐτὴ, ἡ Εὐρυδίκη δηλονότι.

ΚΕΦ. λή, ΣΕΛ. 180, στ. 21, *Ζητεῖν ἀποφυγεῖν, ἐνὸν φυγεῖν.*] Τουτέστι, Ζητεῖν ἀπολυθῆναι τῆς αἰτίας ὑπὸ τῶν δικαστῶν μετὰ τὴν κρίσιν, ἐνὸν μηδὲ εἰσιέναι τὴν ἀρχὴν εἰς τοὺς δικαστάς. οὕτω διορθωτέον εἶναι ἐκ τοῦ Πλουτάρχου, καὶ ἕτεροι πρὸ ἡμῶν συνεῖδον, ἀντὶ τοῦ ἡμαρτημένως γραφομένου Ζητεῖν μὴ ἀποφυγεῖν κ. τ. λ. — Στ. 22. *Οὐδὲ τῇ μητρίδι.* ] Παρὰ δὲ Πλουτάρχῳ, Οὐδὲ τῇ μητρί· καὶ ἴσως τοιαύτη ἦν καὶ παρὰ τῷ Αἰλιανῷ ἡ γραφὴ, χωρὶς εἰ μή τις παῖξαι τὸν Ἀλκιβιάδην ὑπολάβοι πρὸς τὸ Πατρίδι, ἢ καὶ παραινίξασθαι τὴν παρὰ Κρησὶ Μητρίδα· οὕτω γὰρ ἐκεῖνοι καλεῖν εἰώθεσαν τὴν παρ' ἄλλοις Πατρίδα, ἥ φησι Πλάτων (Πολιτ. Θ, σελ. 575. ἴδ. καὶ Αἰλιαν. περὶ ζώων ἰδιότ. ΙΖ, 35 καὶ 40). — ΣΕΛ. 181, στ. 1, Ἀποδιδράσκοντας. . . . . ὑπὲρ τῶν πόνων ὧν ἔχουσι. ] Προσέθηκα τὸ, Ων, ἐξ ἑτέρων διορθώσεως. εἰ δὲ βούλοιο γράφειν, Ἀποδιδράσκοντες, κατ' ἀνα-

μαστικὴν, καθὰ φέρεται ἔν τισι τῶν ἀντιγράφων, γράφε τηνικαῦτα καὶ τὸ ἑξῆς, Ὑπὲρ τῶν πόνων ἐθέλουσι προθύμως ἀλλάττεσθαι.

ΚΕΦ. λθ', σελ. 181, στ. 7, Τινος. ] Ἐξ ἀντιγράφου, ἀντὶ τοῦ, Τινα.

ΚΕΦ. μ', σελ. 181, στ. 9, Ὁ Θεμιστοκλῆς παρεστὼς, τῷ παιδὶ εἶπεν. ] Ἔστιξα μετὰ τὸ Παρεστὼς, ἵνα συνάπτοιτο πρὸς τὸ, Στρεπτῷ· προσέθηκα δὲ καὶ τὸ ἄρθρον, Τῷ, ἵνα ὡρισμένως νοοῖτο ὁ τοῦ Θεμιστοκλέους παῖς, ἤγουν ὁ θεράπων. καὶ πρὸς μὲν τὸν θεράποντα λέγων ὁ Θεμιστοκλῆς, « Οὐ γὰρ σὺ » Θεμιστοκλῆς εἶ δήπου », οὐ δημοκρατουμένης πόλεως, ἀλλ' αὐλῆς τυραννικῆς, φωνὴν ἀφίει· εἰ δὲ καὶ μὴ δοῦλος, ἀλλὰ φίλος ἦν ὁ τὸν στρεπτὸν ἀνελέσθαι κελευσθεὶς, καθά φησι Πλούταρχος ( Θεμιστοκλ. §. 18, καὶ Πολιτ. παραγγ. §. 13 ), μακρῷ καὶ τῶν τυράννων αὐτῶν ὑβριστότερος ὑπῆρχεν ὁ καταναυμαχήσας τοὺς Πέρσας. — Στ. 14, Ἀμίδα. ] Τὸ ἐν τῇ συνηθείᾳ Κατουρολάγυνον. τὸ δὲ Κατουροκάνατον, ὃ δὴ καὶ κατουρλοκάνατον, οἱ πάμπαν χυδαΐζοντες ὀνομάζουσι, συντεθειμένον ἂν εἴη παρὰ τὸ Κανήτιον, ἢ Κάναστρον. — Στ. 16, Καὶ ὃς ἀνέτεινεν. ] Προσέθηκα τὸ, Ὃς, τοῦ σαφοῦς ἕνεκα.

ΚΕΦ. μά, σελ. 182, στ. 18, Ὀδυρομένων τῶν κ. τ. λ. ] Ἄμεινον γράφειν, Ὀδυρομένου τινὸς τῶν. τῆς αὐτῆς δὲ διανοίας ἔχεται καὶ Πλούταρχος ἐν τοῖς Φωκίωνος ἀποφθέγμασι.

ΚΕΦ. μβ', ΣΕΛ. 182, στ. 1, Ἐπιβαλὼν τῇ Βοιωταρχίᾳ. ] Οὕτω διορθοῦνται, τὸ μὲν ἐξ ἀντιγράφων, τὸ δὲ καὶ ἐκ τοῦ Πλουτάρχου, ἀντὶ τοῦ, Ὑπολαβὼν τὴν Βοιωταρχίαν. — Στ. 5, Εἰ δὲ μή. ] Εἰ δὲ μὴ βούλοιντο αὐτὸν σιωπᾶν, ἀλλὰ λέγειν τι. — Στ. 9, Εἰς ταὐτόν. ] Εἰς μίαν πόλιν τὴν Μεγαλόπολιν, σποράδην οἰκοῦντας τὸ πρότερον. διωρθώθη καὶ τοῦτο ἐκ τοῦ Πλουτάρχου, ἀντὶ τοῦ, Εἰς αὐτόν.

ΚΕΦ. μγ', σελ. 182, Περὶ Τιμοθέου καὶ Θεμιστοκλέους. ] Προσθεῖναι δεῖν ἔγνων τῇ τοῦ κεφαλαίου ἐπιγραφῇ τὰς δύο ταύτας λέξεις, Καὶ Θεμιστοκλέους, διὰ τὸ ἱστορούμενον ἐν αὐτῷ περὶ Θεμιστοκλέους· ὅπερ ἔλον ἔοικεν, ἀβλεψίᾳ τῶν γραψάντων, ἐκτοπισθὲν τοῦ τεσσαρακοστοῦ κεφαλαίου, ἐνταῦθα καταχωρισθῆναι. — Στ. 15, Ἐπιστεύετο. ] Ἐν ἄλλοις γράφεται καθ' ὑπερσυντελικὸν ἀναύξητον, Πεπίστευτο. — Στ. 16, Ἔλεγον. ] Τοῦτο μὲν ὀρθῶς διωρθώσαντο ἀντὶ τοῦ, Ἔλεγε καθὰ καὶ τὸ ἐχόμενον, Τιμόθεον, ἀντὶ τοῦ, Τιμόθεος· ὁ γὰρ Τιμόθεος τοσοῦτον ἀπεῖχε τοῦ λέγειν τοῦτο περὶ ἑαυτοῦ, ὥστε καὶ τοῖς λέγουσιν ἐδυσχέραινεν, ἢ δῆλον ἐκ τοῦ Πλουτάρχου ( Ἀποφθ. ). τὰ δὲ ἑξῆς, τῇ τε στίξει καὶ τῇ γραφῇ οὐδὲν ἧττον ἡμαρτημένα, οὐδείς πω διορθοῦν ἐπεχείρησεν. εἶχε δὲ οὕτως, « Καὶ οἱ ζωγράφοι δὲ καθεύδοντα ἐποίουν αὐτὸν » κωμῳδοῦντες ἐπὶ τῆς σκηνῆς κ. τ. λ. » τοῦτο μηδενὸς ἑτέρου οὕτως ἱστορηκότος· ὅ, τε γὰρ Πλούταρχος ( Ἀποφθεγμ. καὶ Σύλλ. §. 6 ) καὶ ὁ Οὐλπιανὸς ( εἰς τὸν Δημοσθ. Ὀλυνθ. Β ) καθεύδοντα μὲν ποιεῖν τοὺς ζωγράφους τὸν Τιμόθεον παραδεδώκασιν, ἀλλ' οὐκ ἐπὶ τῆς σκηνῆς οὐ δὲ κωμῳδοῦντας· οὐδὲν γὰρ κοινὸν κωμῳδοῖς καὶ ζωγράφοις. διὸ δεῖν ἔγνων, μεταθέσει τεσσάρων λέξεων, παραμυθήσασθαι τὸ χωρίον, γράφων καὶ στίζων ὧδε, « Καὶ ἔλεγον » τὴν τύχην αἰτίαν εἶναι, Τιμόθεον δὲ οὐδενὸς, κωμῳδοῦντες ἐπὶ τῆς σκη- » νῆς. Καὶ οἱ ζωγράφοι δὲ καθεύδοντα ἐποίουν αὐτόν· εἶτα ὑπὲρ τῆς κεφα- » λῆς κ. τ. λ. » — Στ. 20, Πυνθανομένου Θεμιστοκλέους. . . . . . παριόντα. ]

Τοῦθ', ὡς ἔφθην εἰπὼν, τὸ χωρίον μετετέθη κακῶς ἐνταῦθα ἀπὸ τοῦ τεσσαρακοστοῦ κεφαλαίου, ἢ γοῦν ἀπὸ τοῦ ἐχομένου τεσσαρακοστοῦ τετάρτου.

ΚΕΦ. μς', ΣΕΛ. 183, στ. 4, Παρ' αὐτοῖς ] Τουτέστι τοῖς Πατρεῦσιν, οἳ συνυπακούονται ἐκ τοῦ προηγησαμένου, Πάτραις, ὡς ὀρθῶς γράφειν παρήνει τῶν τις κριτικῶν, ἀντὶ τοῦ Παρ' αὐταῖς· βάρβαρον γὰρ τοῦτο, ἀναφερόμενον εἰς τὸ, Πάτραις, δέον, Ἐν αὐταῖς, λέγειν. τὸ δὲ περὶ τοῦ δράκοντος τοῦτο καὶ τοῦ παιδὸς ἱστόρηκε καὶ ἐν τῷ Περὶ ζώων ἰδιότητος (Ϛ. ξγ') ὁ αὐτὸς οὗτος Αἰλιανὸς, οὔ γε μὴν κατὰ πάντα συνᾷδον οἷς θ' ὧδέ φασι, καὶ οἷς ἕτεροι ἱστορήκασιν. ἐκεῖ μὲν γὰρ Ἀρκάδα λέγει, καθάπερ καὶ Πλίνιος (Η, ιζ'), ἐνταῦθα δὲ Πατρέα, τοῦ Κόνωνος (παρὰ Φωτίῳ, ρπϛ') οὐδετέρωθεν, ἀλλ' ἐκ Κρήτης γεγονέναι τὸν παῖδα φήσαντος.

## ΒΙΒΛΙΟΝ ΤΕΣΣΑΡΕΣΚΑΙΔΕΚΑΤΟΝ.

ΚΕΦ. ά, ΣΕΛ. 184, στ. 6, Μήτε μοι μηδὲν μέλειν. ] Σοφῶς ταῦτα ὁ Σταγειρίτης ἀπεφήνατο· σοφῶς δὲ καὶ ὁ σοφὰ ταῦτα κρίνας Αἰλιανὸς, ὃν, εἰ τοιοῦτος ἦν ἐν ἅπασι τοῖς ἱστορουμένοις κριτὴς, οὐδὲν ἂν ἐκώλυε δεύτερον μετὰ τὸν Χαιρωνέα τετάχθαι Πλούταρχον. — Οὐκ ἂν δὲ ἦν φιλοδοξία. ] Γραπτέον, εἰ μὴ βούλοιο σολοικίζειν, Οὐκ ἦν δὲ φιλοδοξία, ἢ, Οὐκ ἂν δὲ εἴη φιλοδοξία. — Στ. 8, Ἀρχήν. ] Ἐπιῤῥηματικῶς ἐνταῦθα· ὁ δὲ νοῦς Μηδ' ὅλως τινὰ λαβεῖν τι, ἢ μετὰ τὸ λαβεῖν ἀφαιρεθῆναι.

ΚΕΦ. β', σελ. 184, στ. 12, Ἑαυτοῖς ἐχθρούς. ] Ἐξ ἀντιγράφων, ἀντὶ τοῦ, Ἐχθροὺς αὑτοῖς.

ΚΕΦ. δ', ΣΕΛ. 185, στ. 1, Ταρτησίας γαλῆς. ] Γαλῆ ἐστιν ἡ ἐν τῇ συνηθείᾳ Γαλίτζα, Γαλίδα, ἢ καὶ Νυφίτζα λεγομένη. καὶ τὸ μὲν Γαλίδα, παρὰ τὸ ὑποκοριστικὸν Γαλὶς, Γαλίδος· τὸ δὲ Γαλίτζα, παρὰ τὸ Γαλίσκα, καὶ αὐτὸ ὑποκοριστικὸν δωρικὸν, ἀντὶ τοῦ Γαλίσκη, οἷόν ἐστι καὶ τὸ Νυφίτζα, παρὰ τὸ Νυφίσκα, ἀντὶ τοῦ Νυμφίσκη· τοῦτο δὲ τὸ τελευταῖον ὄνομα κατ' εὐφημισμὸν ἐτέθη τῇ Γαλῇ ὑπὸ τοῦ χυδαΐζοντος ὁμίλου, οἱονεὶ ἐξιλεουμένων τῇ τοιαύτῃ κλήσει τὸ ζῶον, ἐπεὶ οὐ μόνον κακοῦργον πεπίστευται, ἀλλὰ καὶ κακῶν οἰωνὸς ἐδόκει τοῖς δεισιδαίμοσι (Θεοφρ. Χαρακτ. ις'). τοιοῦτον δέ τινα εὐφημισμὸν ὑπονοεῖν παρέχει καὶ τὸ Donnola, ὅπερ Ἰταλοὶ τὴν Γαλῆν σημαίνουσι. Ταρτησία δὲ Γαλῆ, ἀπὸ τῆς Ἰβηρικῆς Ταρτησοῦ εἴρηται, ἣ τὰ νῦν τῆς Ἱσπανίας ἐστὶ χώρα Ἀνδαλουσία καλουμένη. οὕτω δὲ ὠνόμασαν οἱ Ἕλληνες τὰς ἀγρίας γαλᾶς, τὰς ἐκ Λιβύης, εἰς Ταρτησὸν, θήρας ἕνεκα τῶν γαιωρύχων λαγιδέων, μετακομισθείσας (Στραβ. Γ, σελ. 144).

ΚΕΦ. έ, σελ. 185, στ. 7, Πρὸς τὰς ἀρχάς. ] Γράφε, Τοῖς πρὸς τὰς ἀρχάς. — Στ. 10, Κατέγνωσαν. ] Παρατατικοῦ ἐνταῦθα χρεία, Κατεγίγνωσκον, οὐκ ἀορίστου. — Στ. 12, Ἡρακλείδην τὸν Κλαζομένιον. ] Καὶ Φαινοσθένη τὸν Ἄνδριον, προστίθησι τρίτον ὁ Πλάτων (ἐν Ἴωνι), ἐξ οὗ ταῦτα ἠρανίσατο ὁ Αἰλιανός.

ΚΕΦ. ϛ, σελ. 185, στ. 21, Ἐφ' ἡμέρᾳ. ] Ἐξ ἀντιγράφων, ἀντὶ τοῦ, Ἐφ' ἡμέραν. — ΣΕΛ. 186, στ. 2, Φθάνον. ] Ἴσως γραπτέον, Φθάσαν.

ΚΕΦ. ζ', σελ. 186, στ. 21, Ἐκ τῆς ἐκκλησίας τῶν θεωμένων κατήγαγον.] Ἀδιανόητον τοῦτο, εἴτε τῶν γραψάντων, εἴτε αὐτοῦ τοῦ Αἰλιανοῦ ἁμαρτία. παρὰ γὰρ τῷ Ἀθηναίῳ (σελ. 550), ἐξ οὗ ταῦτα ἠρανίσατο, γράφεται, « Καταβιβάσαντες εἰς μέσην τὴν ἐκκλησίαν ».

ΚΕΦ. ή, ΣΕΛ. 187, στ. 9, Ἱππόμαχος ὁ αὐλητής. ] Ὃν ἀνωτέρω (Β, ς') Γυμναστὴν, τοῦτον ἐν τῷ παρόντι, αὐτὸς ἑαυτοῦ ἐπιλαθόμενος ὁ καλὸς Αἰλιανὸς, Αὐλητὴν ὀνομάζει.

ΚΕΦ. ί, σελ. 187, στ. 22, Ἔστ' ἂν ᾖς.] Ἐγράφετο σολοίκως, Ἔστ' ἂν εἶ. ὑποτακτικοῦ γὰρ εἶναι χρείαν ἐνταῦθα ἐδήλωσε καὶ αὐτὸς Αἰλιανὸς ἐν τοῖς πρόσθεν (ΙΒ, α, σελ. 141), εἰπὼν, « Ἔστ' ἂν ἀπομαρανθῇ ».

ΚΕΦ. ιά, ΣΕΛ. 188, στ. 3, Ὑγεία. ] Τὴν θεὸν ἐνταῦθα λέγει, τὴν Ἀσκληπιοῦ θυγατέρα, ἧς καὶ Ἱπποκράτης μέμνηται ἐν τῷ Ὅρκῳ, « Ὄμνυμι » Ἀπόλλωνα ἰητρὸν, καὶ Ἀσκληπιὸν, καὶ Ὑγείαν, καὶ Πανάκειαν κ. τ. λ. Ἀθήνησι δὲ καθά φησι Πλούταρχος (Περικλ. §. 13), καὶ Ὑγείας Ἀθηνᾶς χαλκοῦν ἄγαλμα ἀνέστησε Περικλῆς ἐν ἀκροπόλει παρὰ τὸν βωμόν.

ΚΕΦ. ιβ', σελ. 188, στ. 7, Φιλύριον. ] Πινακίδιον ἐκ Φιλύρας, εἰς λεπτότητα ἠσκημένον τοῦ γράφειν ἕνεκα ἐπ' αὐτῷ. ἕτεροι δ' ἄλλως ἐξηγήσαντο τὸ Φιλύριον. — Στ. 9, Πάντως γὰρ οὐκ εἶχεν κ. τ. λ. ] Καὶ τοῦτο σοφῶς ὁ Αἰλιανός. χήτει γὰρ τῶν ἀμεινόνων οἱ ὑπὸ τρυφῆς διεῤῥυηκότες τύραννοι εἰς τὰ μηδενὸς ἄξια κατατρίβουσι τὸν χρόνον, καθάπερ ἔστιν ἰδεῖν μέχρι δεῦρο τοὺς βαρβάρους τῆς Ἀσίας δεσπότας περὶ τὰ τοιαῦτα σπουδάζοντας· καὶ γὰρ αὐτῶν οἱ μὲν ὠτογλυφίδας, οἱ δ' ὀδοντογλυφίδας, εἰσὶν οἳ κτένας, καὶ ἄλλοι ἄλλα ποιοῦσι καὶ πάνυ σπουδάζοντες.

ΚΕΦ. ιδ', ΣΕΛ. 189, στ. 4, Φάτταν. Τὸ ἐν τῇ συνηθείᾳ, Ἀγριοπερίστερον.

ΚΕΦ. ιέ, σελ. 189, στ. 8, Ἐκλαβόντα.] Τοῦτο γράφειν οὐκ ὤκνησα, μακρὰ χαίρειν φράσας τῇ ἡμαρτημένῃ γραφῇ, Ἀκούσαντα· μαρτυρεῖ δὲ τῇ διορθώσει καὶ Πλούταρχος (περὶ τοῦ μὴ χρᾶν ἔμμετρ. τὴν Πυθ. §. 5), καὶ Λουκιανὸς (Δημοσθ. ἐγκώμ. §. 24. — Στ. 12, Ἔστω σοι τρέχων.] Ἐξ ἀντιγράφων, ἀντὶ τῆς ἐνάρθρου γραφῆς, Ἔστω σοι ὁ τρέχων.

ΚΕΦ. ιζ', σελ. 189, στ. 25, Καταγράφοι. ] Ἴσως, Καταγράψοι.

ΚΕΦ. ιή, ΣΕΛ. 190, στ. 7, Ἐκεῖνος. ] Ἐν ἄλλοις γράφεται, Ἐκεῖνο, ἴσως ἀντὶ τοῦ Ἐκείνῳ (ἤγουν τῷ οἰκέτῃ), καθὰ διορθοῦσθαί τις τῶν κριτικῶν ἐβούλετο. — Στ. 8, Θεώμενον.] Ἀπεκατέστησα τὴν ἀρχαίαν γραφὴν, ἀντὶ τοῦ παρ' ἄλλοις Θεώμενος.

ΚΕΗ. ιθ', σελ. 190. στ. 14, Οὐ μὴν βιασθεὶς εἰπεῖν. ] Ἐξ ἀντιγράφου τὸ Εἰπεῖν, ἀντὶ τοῦ, Εἶπεν.

ΚΕΦ. κ', σελ. 190, στ. 18, Τὸ εὕρημα . . . . . κατέτραγεν. ] Ἐν ἄλλοις γράφεται, Τὸ εὕρεμα, καθὰ καὶ ἐν τοῖς πρόσθεν (ΙΓ, μ), καὶ, Κατέτρωγεν. — Στ. 20 Ἱστορίαις Συβαριτικαῖς. ] Ἔπιθι τὰ λεχθέντα μοι, περὶ Ἱστοριῶν ἢ λόγων Συβαριτικῶν, ἐν τῇ πρὸς Ἀλέξανδρον τὸν Βασιλείου ἐπιστολῇ (Ἡλιοδώρ. Μέρ. Α, σελ. ί).

ΚΕΦ. κβ', ΣΕΛ. 191, στ. 4, Τρύζος. ] Παρ' οὐδενὶ ἑτέρῳ κεῖται τὰ περὶ τοῦ Τρύζου τούτου· ὅθεν ὑπενόησέ τις μήποτε γραπτέον Τροιζήνιος,

ἵνα ᾖ οὐ κύριον, ἀλλ' ἐθνικὸν ὄνομα. — Στ. 10, Καὶ βλέμμα φαιδρόν.] Περιγραπτέα ἡ λέξις, Βλέμμα, ἔδοξέ τινι τῶν κριτικῶν, κἀμοὶ συνδοκεῖ. — Στ. 11, Συνωφρυωμένος ἦν δῆλος, τὸ τῆς κ. τ. λ.] Στίζουσι τινὲς μετὰ τὸ Συνωφρυωμένος, ἵνα τὸ, Ἦν δῆλος, ἀναφέρηται εἰς τὸ ἐχόμενον Διαδεικνύς, ἢ γραπτέον φασὶ, . . . Καὶ τὸ τῆς, μετὰ τοῦ συνδέσμου. ἄμεινον μέντοι γράφειν, Συνωφρυωμένος, δῆλος ἦν τὸ τῆς κ. τ. λ. σημείωσαι δὲ καὶ τὸ Συνοφρυοῦσθαι, κυρίως ἐπὶ τοῦ συνάγειν τὰς ὀφρῦς τεθειμένον, κατὰ μεταφορὰν δὲ καὶ ἐπὶ τοῦ Σκυθρωπάζειν καὶ λυπεῖσθαι· ἐπεὶ καὶ ἕν τι τῶν τῆς λύπης σημείων, ἡ συναγωγὴ καὶ πρὸς ἀλλήλας σύμπτωσις τῶν ὀφρύων πέφυκεν. αὐτὸ δὲ τοῦτο τὸ Συνοφρυόω ῥῆμα παραλαβοῦσα ἡ συνήθεια, καὶ συγκόψασα, μετεσχημάτισε πρῶτον εἰς τὸ Συμφρυόω ἢ Συμφρυόνω (ἐπεὶ καὶ Φρύδιον κατ' ἀφαίρεσιν ἔφθασε καλέσασα τὸ Ὀφρύδιον), εἶτα εἰς τὸ κεχυδαϊσμένον Σουφρόνω. σημαίνει δὲ τοῦτο παρ' ἡμῖν οὔτε τὴν συναγωγὴν τῶν ὀφρύων, οὔτε τὴν λύπην, ἀλλὰ τὸ εἰς πτυχὰς συνάγω ὀθόνην τινὰ ἢ ἐσθῆτα. πιστούσθω δὲ τὴν ἐτυμολογίαν τῆς λέξεως ἡ παράθεσις τῆς τῶν Γάλλων φωνῆς, παρ' οἷς τὸ (Froncement ἐπ' ἀμφοτέρων τέτακται, ἐπί τε τοῦ διὰ λύπην Συνοφρυώματος (Froncer le sonrcil de chagrin) καὶ ἐπὶ τοῦ ἐν τῇ συνηθείᾳ Σουφρώματος (Froncer une chemise). — Στ. 15, Τούτων τις οὖν ἀχθόμενος . . . . . διψῶν.] Θαυμαστὸν ὅτι οὐδείς πω τῶν ἐκδοτῶν ἐπεσημήνατο τὸν σολοικισμὸν τῆς προτέρας γραφῆς, Τῶν τις οὖν ἀχθόμενος κ. τ. λ. εἰ δέ σοι ἀπαρέσκοι ἡ ἡμετέρα αὕτη διόρθωσις, γράφε, γοῦν, Τῶν τις οὖν ἀχθομένων τῇ ἀμηχανίᾳ καὶ δυσφορούντων, καὶ τὴν μοναρχίαν καταλῦσαι διψώντων. — Στ. 18, Θαλεροῖς.] Εἰς τοῦτο ἔτρεψα τὸ Θολεροῖς, πεισθεὶς τῇ ἑτέρων διορθώσει, καὶ αὐτῷ δὲ τῷ Αἰλιανῷ χρησαμένῳ τῇ λέξει καὶ ἀλλαχοῦ (Περὶ ζώων ἰδιότ. ΙΔ, ί). ἔστι δὲ παρὰ τὸ Ὁμηρικὸν (Ἰλιάδ. Β. 266),

. . . . . . . . . . . . Θαλερὸν δέ οἱ ἔκπεσε δάκρυ.

ὅπερ ἐξηγοῦνται διὰ τοῦ, Χλιαρὸν, θερμὸν, ἕτεροι δὲ διὰ τοῦ Πολύ. — Περιέστησαν.] Ἐξ ἀντιγράφου, ἀντὶ τοῦ, Περιέστησεν.

ΚΕΦ. κγ', ΣΕΛ. 192, στ. 10, Εἰς μνήμην ἑαυτῷ ἄγων.] Λατινισμὸς, In memoriam reduceus. — Στ. 12, Πρώτην ἐκ τῶν λαφύρων ἔλαβε.] Ἡ ἱστορία παρ' Ὁμήρῳ (Ἰλιάδ. Ι, 188).

ΚΕΦ. κδ', σελ. 192, Καὶ τῶν τοὺς δανειστάς.] Γράφεται τὸ μέρος τοῦτο τῆς ἐπιγραφῆς, Καὶ τοὺς δανειστὰς, παρ' ἅπασι, πλὴν τοῦ παρατελευταίου ἐκδότου, ὃς ἔγραψε (διορθούμενος οἶμαι), Καὶ περὶ τοὺς δανειστάς. ἀρκοῦσαν μέντοι διόρθωσιν ὑπολαμβάνω τὴν προσθήκην τοῦ, Τῶν, ἄρθρου. Στ. 18, Χρέα.] Δάνεια. — Στ. 20, Προβαλλόμενοι . . . . . τοὺς δανειστάς.] Οὐκ ἔῤῥωται τὸ χωρίον.

ΚΕΦ. κέ, ΣΕΛ. 193, Πῶς τις ἔπεισεν ἐν πολιτείᾳ ὁμόνοιαν καθέξεσθαι.] Βάρβαρος ἡ ἐπιγραφή. ἴσως ἐγράφετο . . . . . Ὁμονοίας ἀνθέξεσθαι. — Στ. 4, Ἐκβάλλειν.] Ἴσως, Ἐκβαλεῖν.

ΚΕΦ. κή, σελ. 193, στ. 21, Ἀπεκρίνατο δὲ ἐκεῖνος.] Ἐν ἀρχαιοτέραις

ἐκδόσεσιν ἐγράφετο οὐδὲν μᾶλλον ὀρθῶς, Ἐκεῖνος· γραπτέον, Ἐκείνῳ. — Στ. 21, Πεπολιτευμένων. ] Ἐν ἄλλοις γράφεται, Πολιτευμένων. — ΣΕΛ. 194, στ. 3, Παρεβάλλετο. ] Διωρθωσάμην ἀντὶ τοῦ, Παρενεβάλετο.

ΚΕΦ. λά, σελ. 194, στ. 25, Ἐκ τοῦ βίου. ] Ἐκ τῆς ἄγαν δηλονότι τρυφῆς. ἦν δ' οὗτος ὁ ἄλλως ἐπικληθεὶς Φιλοπάτωρ, ὁ τὴν ἀδελφὴν Εὐρυδίκην γαμήσας, εἶτα Ἀγαθοκλείας ἐρασθεὶς τῆς ἑταίρας, ἣ καὶ τὴν βασιλείαν αὐτοῦ πᾶσαν ἀνέτρεψε. — ΣΕΛ. 195, στ. 1. Γυναικὸς ὡραίας. ] Ἴσως αὐτῆς ταύτης τῆς Ἀγαθοκλείας, ἤ φησί τις τῶν κριτικῶν. — Στ. 3, Παρὰ καλοῦ λάβοις ἄρ'; εἶπε. ] Ἐρωτιματικῶς προσιστέον τοῦτο· ἴσως δὲ καὶ τὸν Ἄρα εἰς τὸν Ἂν μεταβλητέον, ἢ γοῦν γραπτέον. . . . . Λάβοις ἂν ἄρ'; εἶπε. ἔοικε δὲ διὰ τούτου ὀνειδίζειν τῷ βασιλεῖ ἡ πανοῦργος ἑταίρα, ὡς οὐκ εἰς γυναῖκας μόνον, ἀλλὰ καὶ εἰς ἄῤῥενας ἐρωτομανοῦντι.

ΚΕΦ. λγ', σελ. 195, στ. 16, Οὐκ ἐπανῆλθον ἐκεῖσε. ] Ἐκ διορθώσεως ἑτέρων τὸ, Ἐκεῖσε, ἀντὶ τοῦ, Ἐκεῖ. — Στ. 17, Τὴν εἰς Σικελίαν ὁδόν. ] Ὤφειλεν εἰπεῖν, Ἐπάνοδον· ταύτην γὰρ ᾐνίττετο ὁ Διογένης, ἣν ὁ Πλάτων μετὰ τὸ πραθῆναι (προστάξαντος τοῦτο Διονυσίου τοῦ πρεσβυτέρου) ἐπανῆλθεν εἰς Σικελίαν πρὸς Διονύσιον τὸν νεώτερον.

ΚΕΦ. λδ', ΣΕΛ. 196, στ. 1, Ἀφειδέστατον. ] Αὐστηρότατον ἐν τῷ δικάζειν. — Στ. 2, Ἄγαλμα περὶ τὸν αὐχένα. ] Παραβάλλει τοῦτό τις τῶν κριτικῶν τῷ Λογείῳ τῆς κρίσεως, ὃ ἔφερεν ἐπὶ στήθους ὁ Ἀαρὼν, ἐπιγεγραμμένην ἔχον τὴν Δήλωσιν καὶ τὴν Ἀλήθειαν. ἐμνημόνευσε δὲ ταύτης τῆς ἱστορίας Αἰλιανὸς καὶ ἐν τῷ περὶ προνοίας παρὰ τῷ Σουΐδᾳ ( λεξ. Ψελλίῳ ).

ΚΕΦ. λέ, σελ. 196, στ. 6, Ἤλεγχε δὲ αὐτῆς. ] Διωρθωσάμην γράψας, Αὐτῆς, ἀντὶ τοῦ, Αὐτῇ, ἐξ ἑτέρου χωρίου τοῦ Αἰλιανοῦ (ΙΑ, έ) ὅπου τὰ αὐτὰ εἴρηκε περὶ Λαΐδος. — Στ. 7, Πολὺ ἐπράττετο. ] Ἐν ἄλλοις γράφεται, Πολλὰ ἐπράττετο.

ΚΕΦ. λζ', σελ. 196, στ. 15, Ταῖς χειρουργίαις. ] Οὐκ ἀπιθάνως διορθοῦνταί τινες, Τῆς χειρουργίας. δὶς δὲ περὶ τῶν αὐτῶν ἱστορεῖ Αἰλιανὸς, εἴτε μνήμης ἁμαρτίᾳ, εἴτε καὶ περιεργότερον ὧδε βουληθεὶς ἐκφράσαι ἅπερ ἐν τοῖς πρόσθεν (ΙΒ, β') ἀφελέστερον εἴρηκε.

ΚΕΦ. λή, ΣΕΛ, 197, στ. 2, Ἐν τοῖς. ] Ἐξ ἀντιγράφου, ἀντὶ τοῦ, Ἐν δὴ τοῖς· χωρὶς εἰ μήτις προαιροῖτο γράφειν, Ἐν δὲ δὴ τοῖς. τὸ δὲ παράγγελμα τοῦτο καὶ Πολύβιον Σκιπίωνι παραγγεῖλαί φησιν ὁ Πλούταρχος (Συμποσ. Δ, ά)· — Στ. 3, Ἡμέρᾳ. ] Περιττὸν τοῦτο· οὐδὲ γὰρ νυκτὸς εἰς ἀγορὰν συνέρχονται οἱ ἄνθρωποι· εἰ δὲ ἀντὶ τοῦ Καθ' ἡμέραν ἐκλάβοις, οὐ πάνυ δόκιμος ἡ τοιαύτη χρῆσις. — Στ. 4, Προσπορίσαι. ] Ἄμεινον γράφειν, Προσπορίσασθαι, μέσως.

ΚΕΦ. μ', σελ. 197, στ. 13, Ἀερόπην. ] Μερόπην γραπτέον εἶναι τῶν κριτικῶν τις οὐκ ἀπιθάνως ὑπείληφε. — Στ. 16, Εἰ τὰ μὲν ὑποκριτῶν πάθη οἷός τε ἦν. ] Οὕτω διωρθωσάμην, τρέψας τὸ, Ἢ, εἰς τὸ, Ἦν, παραλαβὼν δὲ ἐξ ἀντιγράφου τὸ, Ὑποκριτῶν, ἀντὶ τοῦ, Ὑποκριτοῦ.

ΚΕΦ. μά, ΣΕΛ. 198, στ. 2, Καὶ τὸ πόμα ἔχον ἐνδόσιμον. ] Πόμα διορθωσάμενος ἔγραψα, ἀντὶ τοῦ Σῶμα. ἔστι δὲ γράφειν καὶ διὰ τοῦ ω, Πῶμα.

ΚΕΦ. μγ', σελ. 198, στ. 7, Ὁπόστος δὲ αὐτῶν, ἐᾶν δεῖ. ] Οὕτω γράφειν προειλόμην, ἀντὶ τοῦ Ὁπόστος δὲ, αὐτὸν ἐᾶν δεῖ. Ὁ νοῦς Ὁπόστος ἐν αὐτοῖς, προσυπακουομένου τοῦ Πτολεμαίοις. ἦν δ' ὁ τρίτος, ὁ ἐπικληθεὶς Εὐεργέτης· ἕτεροι δὲ περὶ Πτολεμαίου τοῦ πρώτου, τοῦ ἐπικληθέντος Σωτῆρος εἶναι βούλονται τὸν λόγον ὧδε. — Στ. 12, Διαναγνωσθῆναι.] Ἐξ ἑτέρων διορθώσεως, ἀντὶ τοῦ Διαναγνωσθῆναι. καὶ τὸ ἐχόμενον δὲ, Οὐκ ἔτι, οὐκ ἀπήλλακται παντάπασιν ὑποψίας· διὸ καὶ παραινοῦσί τινες, συνάπτοντας τοῖς ἑξῆς τρέπειν εἰς τὸ Ἔοικε, ἕτεροι εἰς τὸ, Οὐκ ἔστι, ἄλλοι δὲ ἐρωτηματικῶς εἰς τὸ, Οὐκ ἔδει. — Στ. 14, Πρὸς παιδιᾷ. ] Ἐξ ἀντιγράφου, ἀντὶ τοῦ, Πρὸς παιδιάν.

ΚΕΦ με', ΣΕΛ. 199, στ. 3, Κεστιλίαν. ] Ἀγνώστου οὔσης τῆς Κεστιλίας, ἐπεχείρησάν τινες μετατρέψαι τὴν γραφὴν, ὡς ἡμαρτημένην, εἰς τὸ Κλοιλίαν, τὴν αὐτὴν εἶναι διατεινόμενοι, περὶ ἧς ὁ Πλούταρχος ( Ποπλικ. §. 19 ) ἐμνημόνευσε.

ΚΕΦ. μζ'. σελ. 199, στ. 15, Νικόστρατος. ] Οὐκ ἀλόγως παραινοῦσί τινες γράφειν, Νικόμαχος· τούτου μὲν γὰρ πολλοὶ καὶ ἕτεροι μνημονεύουσι· Νικοστράτου δὲ, πλὴν Αἰλιανοῦ, οὐδείς. —Στ. 18, Θαυμάζοι. ] Ἐξ ἀντιγράφων, ἀντὶ τοῦ, Θαυμάζει. — Στ. 20, Ἀλλ' εἴ τις ἔχοι πεπαιδευμένα ὦτα. ] Ἡ μὲν διάνοια χρηστὴ, ἡ δὲ σύνταξις συγκεχυμένη καὶ κακόζηλος, καὶ οἵα ἐλέγχειν τὸν Αἰλιανὸν μὴ γεγονότα τῆς μοίρας τῶν ὦτα πεπαιδευμένα ἐχόντων. ὁ νοῦς, Ἐγὼ δ' ἂν φαίην καὶ ἐπὶ τῶν λόγων ταὐτὸ συμβαίνειν ὅπερ καὶ ἐπὶ τῶν ἄλλων τεχνῶν. μὴ γὰρ θαυμάζεσθαι τοὺς καλῶς ἔχοντας λόγους, πλὴν ὑπὸ τῶν ὦτα ἐχόντων πεπαιδευμένα.

ΚΕΦ. μη', ΣΕΛ. 200, Ἀπέσπασται τοῦτο τὸ κεφάλαιον τοῦ ἑκκαιδεκάτου κεφαλαίου τοῦ δωδεκάτου βιβλίου· δῆλον δ' ἄλλως καὶ ἔκ τινων ἀντιγράφων, ἐν οἷς ἀμφότερα συνημμένα φέρεται.

ΚΕΦ. μθ', σελ. 200, στ. 12, Ἀπεδύσατο. ] Εἰς τοῦτο ἔτρεψα τὸ παρ' ἅπασιν, Ὑπελύσατο. ὁ δὲ νοῦς, Ἀπεδύσατο τὰ ὅπλα, ἐν οἷς συνέχειν ἑαυτὸν προσετέτακτο ὑπὸ Φιλίππου. μαρτυρεῖ μου τῇ διορθώσει αὐτὸς Αἰλιανὸς, φήσας ἀλλαχοῦ ( ΙΓ, λζ ), Ἀπεδύσατο τὴν πανοπλίαν. — Στ. 14, Τοῦ κερδαίνειν. ] Ἐν ἄλλοις γράφεται, Τοῦ κέρδους.

Καὶ τῶν μὲν εἰς τὸν Αἰλιανὸν σημειώσεων ἅλις· μετιτέον δ' ἤδη ἐπὶ τὸν Ἡρακλείδην.

# ΣΗΜΕΙΩΣΕΙΣ ΕΙΣ ΤΑ

# ΗΡΑΚΛΕΙΔΟΥ

## ΠΕΡΙ ΠΟΛΙΤΕΙΩΝ.

ΣΕΛ. 203, στ. 4, Εὐθύφρονος.] Οὐ πάνυ τι δῆλον εἴτ' Εὐθύφρονος, εἴθ', ὡς φέρεται παρὰ τῷ Σουΐδᾳ, Εὔφρονος, γραπτέον. Ἑλληνικὰ γὰρ ἀμφότερα τὰ ὀνόματα. πιθανώτερον μέντοι τὸ παρὰ τῷ Διογένει Εὐθύφρονος, εἰ μὴ δι' ἄλλο, ἀλλ' οὖν ὅτι γε δὶς παρ' αὐτῷ φέρεται. ἔν τε τῷ Ἡρακλείδου, καὶ ἐν τῷ Μύσωνος βίῳ. — Στ. 9, Διηρμένος τὴν λέξιν.] Τουτέστιν ὑψηλός· ὅθεν καὶ, Δίαρμα λόγου, παρὰ τοῖς τεχνογράφοις τὸ ὕψος τοῦ λόγου λέγεται. — Στ. 14, Τὸ Σῶμα κατακρύψαι.] ἀντὶ τοῦ Κατακρύψαι, Κατακαῦσαι, παρῄνει γράφειν ὁ Κασωβῶν οὐκ ἀπιθάνως, πιστούμενος τοῦτο ἐκ τοῦ Οὐάῤῥωνος. — Στ. 16, Ἐγένετο δὲ ταῦτα.] Ἔτρεψα εἰς τὸ, Ταῦτα, τὸ Πάντα. — Στ. 21, Ταὐτὰ δέ φησι καὶ Ἱππόβοτος.] Ταὐτὰ (ἤγουν Τὰ αὐτὰ) γράφειν δεῖν ἔγνων, ἀντὶ τῆς. Ταῦτα, δεικτικῆς ἀντωνυμίας.

ΣΕΛ. 204, στ. 11, Εὔφρονος.] Ἔπιθι τὰ μικρῷ πρόσθεν, ἐν τῇδε τῇ σελίδι σημειωθέντα μοι περὶ τοῦ ὀνόματος.

ΣΕΛ. 205, στ. 5, Καὶ διετέλουν οὗτοι στασιάζοντες.] Οἱ Ἀθηναῖοι δηλονότι. — Θησεὺς δὲ ἐκήρυξε.] Διὰ κηρύγματος ἐκάλεσεν. ἦν δὲ τὸ κήρυγμα, « Δεῦρ' ἴτε πάντες λεῴ », καθά φησι Πλούταρχος (Θησ. §. 25). — Στ. 6, Καὶ ὁμοίᾳ τιμῇ.] Ἐν ἄλλοις, Καὶ ὁμοίᾳ μοίρᾳ. — Στ. 13, Ὑποζεύξας τῷ ἅρματι.] Ἐγράφετο, Ὑποζεύξας μετὰ τῆς θυγατρὸς τῷ ἅρματι· ἀλλ' ἐπεὶ ταῦτα μάχεται οὐ μόνον οἷς ἄλλοι ἱστορήκασι περὶ Ἱππομένους (Νικόλ. Δαμασκ. σελ. 239 ἐμῆς ἐκδ. καὶ Σουΐδ. λέξ. Ἱππομένης, καὶ, Παρ' ἵππον, μετὰ τῶν σημ. τοῦ Κυστέρ.), ἀλλὰ καὶ οἷς αὐτὸς Ἡρακλείδης ἐπάγει, λέγων, « Τὴν δὲ ἵππῳ συνέκλεισεν κ. τ. λ. «, οὐκ ὤκνησα τὰς τρεῖς λέξεις, Μετὰ τῆς θυγατρὸς, ἀποσκορακίσαι τοῦ χωρίου, ὡς οὐδὲν ἄλλο οὔσας, ἢ ἐπεξήγησιν τῶν ἀνωτέρω ἑτέρων τριῶν, Ἐπὶ τῇ θυγατρί. ἵνα δ' ἔκ ἐκδηλοτέρα γένηται ἡ νοθεία, ἰστέον ὅτι ἀντὶ τοῦ, Μετὰ τῆς θυγατρὸς, ἔν τισι τῶν ἀντιγράφων φέρεται, Μετὰ Κύκλωπος, ὅπερ εὐλόγως μακρῷ τῆς ἑτέρας γραφῆς ἀπορώτερον καὶ τερατωδέστερον ἔδοξε τῷ πρὸ ἐμοῦ ἐκδότῃ. ἀλλ' ἔστιν, οἶμαι, οὐδὲ τούτου δυσχερὴς ἡ λύσις, εἴ τις εἰς τὸ τοῦ ἐχομένου στίχου » Μετὰ Κύλωνος » ἀποβλέψειεν· αὐτὸ γὰρ τοῦτο ὁ ἀντιγραφεὺς τρέψας εἰς τὸ « Μετὰ Κύκλωπος » μετέθηκεν ἀφ' ἑτέρου εἰς ἕτερον στίχον, μὴ γινώσκων ἃ ἀνεγίνωσκεν, μηδὲ συνιεὶς ἃ ἔγραφεν. — Στ. 14, Ἕως ἀπώλετο.] Εἰς

τοῦτο ἔτρεψα τὸ παρ' ἅπασιν, Ἕως ἀπόληται. — Στ. 17, Καὶ τοὺς δράσαντας ὡς ἐναγεῖς ἤλαυνον.] Οἱ Ἀθηναῖοι δηλονότι τοὺς περὶ Μεγακλέα. — Στ. 23, Θεσσαλὸς δὲ νεώτερος καὶ θρασύς.] Ἴσως γραπτέον. Θεσσαλὸς δ' ὁ νεώτερος θρασὺς, πλὴν εἰ μή τις ὑπονοοίη γεγράφθαι πάλαι, Θεσσαλὸς δὲ σεμνότερος καὶ θρασύς, πρὸς ἀντιδιαστολὴν τοῦ Παιδιώδης. Στ. 25, Πικρότερον.] Ἐν ἄλλοις φέρεται, Πικρότατα.

ΣΕΛ. 206, στ. 1. Καὶ τὸν περὶ ὀστρακισμοῦ νόμον εἰσηγήσαντο.] Οἱ Ἀθηναῖοι δηλονότι. ἡ δὲ πρὸ τῆς ἡμετέρας διορθώσεως γραφὴ, Εἰσηγήσατο, τὸν τύραννον Ἱππίαν εἰσηγητὴν τοῦ περὶ ὀστρακισμοῦ νόμου ὑπονοεῖν παρέχουσα, οὐκ ὀλίγα τοῖς κριτικοῖς παρέσχε πράγματα. οὐδὲ ὁ Αἰλιανὸς δὲ πάνυ τι πιστὸς (Ποικ. ἱστ. ΙΓ, κδ'), Κλεισθένη λέγων εἰσηγήσασθαι τὸν νόμον τοῦτον. Στ. 7, Οἳ πάντας ἀνομίας ἀνέπλησαν.] Τοὺς τριάκοντα τυράννους ἐνταῦθα λέγει οἳ χείρους ἐποίησαν τοὺς πολίτας, καὶ καθά φησι Πλάτων (Ἀπολογ. Σωκρ, σελ. 32), « Πολλοῖς πολλὰ προσέταττον, βουλόμενοι ὡς πλείστους ἈΝΑΠΛΗ͂ΣΑΙ αἰτιῶν ». ὅθεν δῆλον ὅτι εὐλόγως διωρθωσάμην τὸ παρ' Ἡρακλείδῃ Ἐνέπλησαν, μεταβαλὼν εἰς τὸ Ἀνέπλησαν. — Στ. 9, Θρασύβουλος καὶ Ῥίνων προέστησαν.] Ἔτρεψα τὸν ὑπερσυντελικὸν, Προειστήκεσαν, εἰς τὸν Ἀόριστον, Προέστησαν. ἐρεῖ δὲ καὶ ἐν τοῖς ἑξῆς (σελ. 217) « Ἄλκανδρος προέστη, ἀνὴρ ἐπιεικής ». ὁ δὲ Ῥίνων, εἷς ἦν τῶν δέκα τῶν μετὰ τοὺς Τριάκοντα τὴν τῶν κοινῶν ἐπιμέλειαν πεπιστευμένων, ἢ δῆλον ἐξ Ἰσοκράτους (Παραγρ. πρὸς Καλλίμ. Τόμ. Γ, σελ. 228, μετὰ τῶν σημ. Αὐγήρου) — Στ. 12, Ἀνοικοδομῶσιν αὐτάς.] Γραπτέον οἶμαι, Ἐνοικοδομῶσιν αὐταῖς. — Δρυφάκτους.] Τὰ ἰδιωτικῶς Κάγκελλα, παρὰ τὸ τῆς Λατινίδος τε καὶ τῆς Ἰταλίδος φωνῆς *Cancelli*, ὃ δὴ καὶ αὐτὸ ἐκ τῶν τοῖς ἀρχαίοις Ἕλλησι καλουμένων Κιγκλίδων ἐστί. ἐπεὶ δὲ καὶ αὐτῶν τῶν ἐν τοῖς οἴκοις θυρίδων τὰ δικτυωδῶς αὐταῖς παρεμπλεκόμενα σιδηρᾶ ἢ ξύλινα παραπετάσματα (ἅπερ ἡ συνήθεια, Ἐσχάραν τοῦ παραθυρίου, ὠνόμασεν, οἱ δὲ βαρβαροτουρκίζοντες Παρμακλίκια μὲν τὰ ἀραιότερα, Καφάσια δὲ, τὰ πυκνότερα καλοῦσι), Κιγκλίδες, ἢ Δρύφακτοι, λέγοιντ' ἂν οὐκ ἀλόγως, ἐκδεκτέον οἶμαι τὸ τοῦ Ἡρακλείδου, « Δρυφάκτους » ὑπερτείνωσιν » ἐπὶ τῶν παρὰ τοῖς Βυζαντινοῖς συγγραφεῦσι καλουμένων Ἐξωστῶν, καὶ Ἐξωστέγων, καὶ Ἡλιακῶν, οἷς ἀναλογεῖ παρὰ μὲν τοῖς Ἰταλοῖς τὰ καλούμενα Βαλκόνια (Balconi), παρὰ δὲ τοῖς Τούρκοις τὰ Σαχνισίνια. ταῦτα γὰρ καὶ τὰ τοιαῦτα εἰκὸς κεκωλύσθαι ὑπὸ τοῦ νόμου, ἐπισκοτοῦντα ταῖς ὁδοῖς, καὶ τὸ εὐάερον λυμαινόμενα. Στ. 14, Τῶν ἐν τῷ δεσμωτηρίῳ.] Ἐν ἄλλοις γράφεται, Τῶν δεσμωτηρίων. — Στ. 14, Ὧν θεσμοθέται ἕξ.] Προσέθηκα τὸ, Ἕξ, δόξαν τοῦτο καὶ τῷ πρὸ ἐμοῦ ἐκδότῃ· τῶν γὰρ ἐννέα Ἀθήνῃσιν Ἀρχόντων, ὁ μὲν πρῶτος (περὶ οὗ οὐδὲν ἐνταῦθα λέγει ὁ Ἡρακλείδης) ἐκαλεῖτο Ἐπώνυμος τοῦ ἐνιαυτοῦ Ἄρχων, ὁ δὲ δεύτερος, Βασιλεὺς, ὁ δὲ τρίτος, Πολέμαρχος, οἱ λοιποὶ δὲ ἕξ, Θεσμοθέται, ἢ δῆλον ἐκ τοῦ Πολυδεύκους. — Στ. 17, Ὁ δὲ Πολέμαρχος Ταῦτά τε.] Προσθεῖναι δεῖν ἔγνων ταύτας τὰς λέξεις, ἃς παραλειφθῆναι τοῖς ἀντιγράψασι δηλοῖ καὶ τὰ ἐχόμενα, Καὶ τὰ πολεμικά· οὐ γὰρ ὁ Βασιλεὺς, ἀλλ' ὁ Πολέμαρχος διώκει τὰ κατὰ τὸν πόλεμον· πρὸς δὲ τούτοις καὶ θυσιῶν τινων ἐπεμελεῖτο, οὐχ

ὧν ὁ Βασιλεὺς, ἀλλ' ἑτέρων, περὶ ὧν ἔπιθι τὸν Πολυδεύκην. — Στ. 18, Καὶ τὰ πολεμικά.] Πολεμικὰ γέγραφα ἀντὶ τοῦ, Πολέμια, παραινέσαντος τοῦτο καὶ τοῦ πρὸ ἐμοῦ ἐκδότου· Πολεμικὰ μὲν γάρ ἐστι τὰ κατὰ τὸν πόλεμον, Πολέμια δὲ τὰ ἐχθρά. — Στ. 23, Ἐτελεύτησε.] Ἐν ἄλλοις φέρεται, Ἐγένετο· ὃ ὑπονοεῖν παρέχει τὴν ἀρχαίαν Ἡρακλείδου γραφὴν ὑπάρξαι, Ἀπεγένετο, τουτέστιν ἐτελεύτησε. — Στ. 24, Κρεωφύλου.] Κλεόφυλον τοῦτον ὀνομάζει Πλούταρχος (Λυκούργ. §. 4). — Στ. 26, Χάριλλον τυραννικῶς ἄρχοντα μετέστησε.] Τοῦτον καὶ Παυσανίας καὶ ἄλλοι, ἐξ Ἡροδότου λαβόντες, Χάριλλον ὠνόμασαν· Στράβων δὲ, Πλούταρχος, καὶ ἕτεροι, ὀρθότερον, ἐμοὶ δοκεῖν, Χαρίλαον καλοῦσι. Τὸ δὲ Τυραννικῶς, ἐπὶ τοῦ Ἀνυπευθύνως ἐνταῦθα ἐκληπτέον, οὐκ ἐπὶ τῆς ἀκριβῶς καὶ ἀποτόμως λεγομένης τυραννίας· εἰς τὰ μάλιστα γὰρ πρᾶον γενέσθαι τὸν Χαρίλαον, καὶ πρᾴως ἐνεγκεῖν τὴν ὑπὸ Λυκούργου μετάστασιν τῆς πολιτείας, ἱστόρηκε Πλούταρχος (Λυκουργ. §. 5). Στ. 27, Τὰς ἐκεχειρίας.] Τὰς Ὀλυμπιακὰς ἐκεχειρίας λέγει, περὶ ὧν ἔπιθι Αἰσχίνην (περὶ Παραπρεσβ.), Ἰσοκράτην (Πανηγυρικ. Τομ. Α, σελ. 186), Πλούταρχον (Λυκουργ. §. 23), καὶ Παυσανίαν (Ε, κ, σελ. 427). — Στ. 28, Καὶ τὴν Κρυπτὴν εἰσηγήσασθαι.] Κρυπτείαν ταύτην ὁ Πλάτων (Νομ. Α. σελ. 633), Κρυπτίαν ὁ Πλούταρχος (Λυκουργ. §. 28) ὀνομάζει· ἀλλ' οὐ διὰ τοῦτο γραφικῶς ἡμαρτῆσθαι τὴν παρὰ τῷ Ἡρακλείδῃ Κρυπτὴν οἰητέον. ἐνδέχεται γὰρ ταὐτὸ ὄνομα πλείονας τύπους ἔχειν, οἷόν ἐστι καὶ τὸ Αἴθρη, Αἰθρία· ἄλλως τε καὶ συμμαρτυρούσης τῆς συνηθείας, καθ' ἣν καὶ Κρυπτὴν καὶ Κρύπτραν φαμὲν, τόπον δηλοῦντες ἐν ᾧ τι κρύπτειν δυνάμεθα, τὸν Γαλλιστὶ Cache ἢ Cachette, λεγόμενον. — Στ. 29, Τὰς δὲ νύκτας μεθ' ὅπλων ἐκρήττονται.] Τὴν πολλὰ τοῖς κριτικοῖς παρασχοῦσαν πράγματα, ἡμαρτημένην γραφὴν, Κρύπτονται, ἠδυνάμην μὲν τρέψαι καὶ εἰς τὸ Ἐκκρύπτονται, ῥῆμα σύνθετον, παρ' οὐδενὶ μὲν ἄλλῳ σωζόμενον, ἀνάλογόν γε μὴν τῷ Καλύπτονται καὶ Ἐκκαλύπτονται, ἄλλως τε προσμαρτυρούμενον ὑπὸ τοῦ ἐν τῇ συνηθείᾳ Ξεκρύπτω καὶ Ξεκρύβω, αὐτὸ τοῦτο δηλοῦντος τὸ Ἐκκρύπτω· προειλόμην μέν τοι γράψαι, Ἐκρήττονται, ὅ ἐστι μεθ' ὁρμῆς ἐξέρχονται.

ΣΕΛ. 207, στ. 1, Οὐδενὶ γὰρ ὑπανίστανται πλὴν βασιλεῖ καὶ Ἐφόρῳ.] Τὸ μὲν Ὑπανίστανται ἐξ ἀντιγράφου, ἀντὶ τοῦ Ἐπανίστανται, ὃ κακῶς Εὐστάθιος, παρ' Ὁμήρῳ (Ἰλιάδ. Β, 85), ταὐτὸ δύνασθαι τῷ Ὑπανίστανται διατείνεται· καὶ ταῦτα μὲν περὶ τῆς γραφῆς. τὸ δὲ λεγόμενον οὐ σαφές· εἰ μὲν γὰρ πρὸς τὸ προηγησάμενον Ἔφοροι συνάπτοις τὸ Ὑπανίστανται, ἔσται ὁ νοῦς, ὡς εἰ Ἔφοροι ὑπανίσταντο βασιλεῖ τε καὶ ἀλλήλοις· ὅπερ ἀντίκειται τοῖς εἰρημένοις Ξενοφῶντι καὶ Νικολάῳ τῷ Δαμασκηνῷ, οἵ φασι διαῤῥήδην τοὺς ἐφόρους μηδὲ τῷ βασιλεῖ ὑπανίστασθαι. εἰ δὲ πρὸς ἅπαντας ἁπλῶς τοὺς Λακεδαιμονίους (ἔξωθεν προσυπακουομένους δηλονότι), ἔσται λέγων ὁ Ἡρακλείδης, ὅτι Λακεδαιμόνιοι οὐδενὶ ἄλλῳ ὑπανίσταντο πλὴν βασιλεῖ καὶ ἐφόρῳ· ὅπερ ἐστὶ ψεῦδος. τίς γὰρ οὐκ οἶδεν ὅτι καὶ τοῖς πρεσβυτέροις οἱ νεώτεροι ἐν τῇ Σπάρτῃ ὑπανίσταντο τιμῶντες αὐτούς; τούτων οὕτως ἐχόντων, εἰσὶν οἳ διορθοῦσθαι τὸ χωρίον, οὐ πιθανῶς, ἐπεχείρησαν ὧδε, Οὐδενὶ γὰρ ὑπανίστανται γέροντες πλὴν βασιλεῖ καὶ ἐφόρῳ. — Στ. 4, Τὸν Λέσβιον ᾠδόν.] Τὸν

Τέρπανδρον λέγει, οὗ καὶ Αἰλιανὸς (Ποικ. Ἱστ. ΙΒ, ν) μνημονεύει. — Στ. 5, Χρησμῳδουμένοις.] Ἐξ ἀντιγράφου, ἀντὶ τοῦ, Χρησμῳδουμένους. — Στ. 6, Νενόμισται.] Ἐκ διορθώσεως τοῦ πρὸ ἐμοῦ ἀντὶ τοῦ Νενομίσθαι. ἔπιθι τὰ περὶ τούτου σοφῶς εἰρημένα τῷ Ἀριστοτέλει (Πολιτ. Β, θ′). — Τῆς γὰρ ἀρχαίας μοίρας ἀνανέμεσθαι οὐδὲν ἔξεστι.] Ἔγνων οὕτω διορθώσασθαι τὴν ἀναμφιβόλως ἡμαρτημένην ταύτην γραφὴν, Τῆς ἀρχαίας μοίρας νενεμῆσθαι· οὐδ' ἔξεστι. ἔστι δὲ καὶ οὕτω διορθώσασθαι, Τὰς γὰρ ἀρχαίας μοίρας ἀνανέμεσθαι οὐδενὶ ἔξεστιν. ἔστι δὲ τὸ Ἀνανέμεσθαι ταυτόσημον τῷ Ἀναδάζεσθαι, παρ' ὃ καὶ ὁ Ἀναδασμός. — Στ. 14, Εὐτελεῖς δὲ ταφαὶ κ. τ. λ.] Ἔπιθι τὸν Πλούταρχον (Λυκουργ. §. 27). — Στ. 21, Παρθενίας ἐκάλουν.] Ἀνθυπέβαλον τῷ, Παρθενίους, τὸ Παρθενίας· οὕτω γὰρ αὐτοὺς καλοῦσι (παρὰ τὴν ὀνομαστικὴν, ὁ Παρθενίας) Ἀριστοτέλης (Πολιτ. Ε, ζ), Στράβων (ς, σελ, 278), Ἰουστῖνος (III, 4), καὶ ἄλλοι, οἵ καὶ τῆς παρὰ τῷ Ἡρακλείδῃ ἑτέραν ἀποδεδώκασι τῆς ἐπωνυμίας αἰτίαν. οὗτοι δὲ οἱ Παρθενίαι τῆς Σπάρτης ἀπελθόντες ἔκτισαν τὸν ἐν Ἰταλίᾳ Τάραντα. — Στ. 24, Πρακτικός.] Σημείωσαι τὸ Πρακτικὸς, ἐπὶ τῆς αὐτῆς σχεδὸν σημασίας τεταγμένον, καθ' ἣν καὶ ἐν τῇ συνηθείᾳ Πρακτικὸν ἄνθρωπον λέγομεν τὸν πράγμασι χρῆσθαι δυνάμενον, τὸν πραγμάτων ἔμπειρον. — Στ. 27, Εὖ ναιεταώσας.] Ἐκ τῆς Ἰλιάδ. (Β, 647). — Στ. 29, Νόμους δὲ Κρητικοὺς διδάσκεται.] Ἐξ ἑτέρων διορθώσεως, ἀντὶ τοῦ, Νόμος δὲ Κρητικὸς διδάσκεται· εἰκὸς γὰρ τὸν Ἀρχίλοχον ἐπισκῶψαί τινα τῶν Κρητομανούντων. καθὰ καὶ Ἀθήνησιν ἦσάν τινες εἰς Λακωνομανίαν σκωπτόμενοι. — Στ. 30, Ἐνὶ ἱματίῳ θέρους καὶ χειμῶνος χρώμενοι.] Προσέθηκα τὸ Χρώμενοι, παροφθὲν τοῖς ἀντιγραφεῦσι διὰ τὴν πρὸς τὸ Χειμῶνος ὁπωσοῦν ὁμοιότητα. ὅτι δὲ ἀναγκαῖον, δῆλον μὲν καὶ αὐτόθεν, δηλοῦται δὲ καὶ τῇ παραθέσει ὧν εἴρηκεν Ἱπποκράτης (περὶ ἀέρ. ὑδ. τόπ. Τομ. Α, σελ. 92 ἐμῆς ἐκδ.) περὶ Σκυθῶν, «Σίτῳ τε χρεώμενοι αἰεὶ » ὁμοίῳ, ἐσθῆτί τε τῇ αὐτέῃ καὶ θέρεος καὶ χειμῶνος».

ΣΕΛ. 208, στ. 5. Συμβάλλωνται, αὐλοῦσί τινες αὐτοῖς.] Λείπειν φασὶν ἐν ἄλλοις τὰς τελευταίας δύο λέξεις, Τινὲς αὐτοῖς. τὸ δὲ, Συμβάλλωνται, ἐκ τῆς προτέρας ἐκδόσεως, ἀντὶ τοῦ, Συμβάλωνται. — Στ. 7, Γράμματα δὲ μόνον παιδεύονται, καὶ ταῦτα μετρίως.] Ὑπομιμνήσκει ταῦτα, καίπερ σπουδαίως λεγόμενα, τοῦ Ἀλλαντοπώλου, ὃν, τοῦ γελοίου χάριν, παράγει λέγοντα ὁ χαριέστατος Ἀριστοφάνης (Ἱππ. 188),

> Ἀλλ', ὦ γάθ', οὐδὲ μουσικὴν ἐπίσταμαι,
> Πλὴν γραμμάτων· καὶ ταῦτα μέντοι κακὰ κακῶς.

Στ. 12, Καὶ βοῦν.] Ἐν ἄλλοις φέρεται, Καὶ βοῦν νενεμῆσθαι, ὥς φησιν (σελ. 37) ὁ πρὸ ἐμοῦ ἐκδότης. — Στ. 13, Καθήμενοι.] Ἴσως, Ἐγκαθήμενοι, διὰ τὴν ἐπιφερομένην δοτικήν. ὁ δὲ πρὸ ἐμοῦ διωρθοῦτο, Καθήμενοι ἐν. — Στ. 23, Ἠδυνάτησε.] Ἀπὸ κοινοῦ προσλάμβανε τὸ προηγησάμενον, Κτίζειν. — Στ. 24, Χαλεπὴ καὶ περίεργος.] Ὡσανεὶ ἔλεγε, Χαλεπὴ περιέργως, ἤγουν, περίεργος ταῖς κολάσεσιν, ὃ φιλοῦσι ποιεῖν οἱ τύραννοι. δῆλον δὲ τοῦτο καὶ ἀπὸ τῆς τῶν μαστῶν ἐκτομῆς τῶν ἁλουσῶν γυναικῶν.

ΣΕΛ. 209, στ. 1, Βάττος εἰς Ἑσπερίδας ἐλθών.] Ἐκ διορθώσεως ἑτέρων τὸ, Βάττος,

Βάττος, ἀντὶ τοῦ Βῆττος. πόλις δὲ Λιβυκὴ αἱ Ἑσπερίδες, ἢ καὶ Εὐεσπερίδες, καὶ ἑνικῶς, Ἑσπερὶς, καὶ Εὐεσπερὶς, ἐκαλεῖτο· ὁ πολίτης, Ἑσπερίτης καὶ Εὐεσπερίτης. διὸ καὶ ὑπέλαβόν τινες, Εἰς Ἑσπερίτας, ἐνταῦθα γραπτέον, διὰ τὸ ἐχόμενον, Λαβόντες. ἀλλ' ὅμως τῷ Λαβόντες ἔξεστι προσυπακούειν τὸ Ἑσπερῖται ἀπὸ τοῦ προηγησαμένου τῆς πόλεως ὀνόματος· ᾧ δὴ σχήματι καὶ ἐν τοῖς ἑξῆς ἐχρήσατο Ἡρακλείδης, εἰπὼν, « Σάμον . . . . ἐβασίλευσεν » αὐτῶν Ἀγγαῖος » προσυπακουομένου δηλονότι τοῦ, Σαμίων. — Στ. 8, Καὶ Βάκχις.] Περιττὸς ἔοικεν εἶναι ὁ σύνδεσμος. παρείληφα δὲ τὴν διόρθωσιν Κλαυερίου, ἀντὶ τῆς ἡμαρτημένης γραφῆς, Βακχαῖος· Βάκχις γὰρ παρ' ἅπασι, καὶ οὐ Βακχαῖος καλεῖται ὁ τοῦ τῶν Βακχιαδῶν γένους ἀρχηγός (Ἔπιθι καὶ τὰ εἰς τὸν Αἰλιανὸν, σελ. 287, σημειωθέντα). ἐνδέχεται μέντοι τὸν Ἡρακλείδην, οὔτε Βάκχις, οὔτε Βακχαῖος, ἀλλὰ Βάκχιος γεγραφέναι, κατὰ τὸ παρ' Ὁμήρῳ διφορούμενον Χρόμις καὶ Χρόμιος, εἴτε κατὰ μετάπτωσιν τῆς γενικῆς εἰς ὀνομαστικὴν οὕτω σχηματισθέντων τῶν τοιούτων, εἴτε καὶ συγκοπὴν παθόντων. καὶ ἔοικεν ἐντεῦθεν ὁρμηθεῖσα ἡ συνήθεια πολλὰ τῶν εἰς ιος συγκόψαι· οἷόν ἐστι τὸ Κῦρις παρὰ τὸ Κύριος, τὰ πλεῖστα τῶν μηνῶν ὀνόματα, Ἰαννουάρις, Φεβρουάρις, κ. τ. λ. παρὰ τὸ Ἰαννουάριος, καὶ Φεβρουάριος, καὶ ὡς ἔπος εἰπεῖν ἅπαντα τὰ διὰ τοῦ ριος, ἐπιτηδεύματος δηλωτικὰ, Ἀμαξάρις, Περιβολάρις, Περαματάρις, κ. τ. λ, ἀνθ' ὧν οἱ οὐ πολλοῖς ἔτεσι προγεγονότες ἡμῶν ἔλεγον, Ἀμαξάριος, Περιβολάριος, Περαματάριος, πολλοὶ δὲ τῶν ἐφ' ἡμῶν διὰ τοῦ ης ἐκφέρουσιν, Ἀμαξάρης, Περιβολάρης, Περαματάρης, γράφοντες. — Στ. 9, Καλῶς δὲ ἄρχων καὶ πολιτικῶς.] Ἔτρεψα τὸν, Τε, εἰς τὸν, Δὲ, ἵν' ὁ καλῶς ἄρχων ἀντιδιαστέλληται πρὸς τὸν Εὐτελῆ τὴν ὄψιν. — Στ. 10, Τῶν λιμένων . . . . μισοπόνηρος δὲ ὢν κ. τ. λ.] Σαφέστερον οἶμαι πεποιηκέναι τὸ χωρίον, τῇ μεταβολῇ τῆς σύξεως καὶ τῇ προσθήκῃ τῆς μετοχῆς Ὢν· ἐγράφετο γὰρ, « Τῶν λιμένων. Καὶ » τῷ μήτε ἄδικος, μήτε ὑβριστικὸς εἶναι, μισοπόνηρος δὲ τὰς προαγωγοὺς » πάσας κατεπόντισε ». — Στ. 20, Πανταλέων.] Ἐκ διορθώσεως τοῦ πρὸ ἡμῶν, ἀντὶ τοῦ Παντολέων. — Στ. 24, Τέννης.] Διὰ δύο ν ὁ Τέννης παρ' ἅπασιν ὡς εἰπεῖν τοῖς ἱστορηκόσι τὰ κατ' αὐτὸν, καίπερ τῆς παρωνύμως ἀπ' αὐτοῦ κληθείσης Τενέδου ἑνὶ μόνῳ γραφομένης. Τένεδος δὲ κεκλῆσθαι λέγεται, οἱονεὶ Τένου (ἢ Τέννου) ἕδος.

ΣΕΛ. 210, στ. 1, Διὰ δὲ τὸ καταψεύσασθαι τὸν αὐλητὴν, οὐ νόμιμον.] Διέγραψα τὸ, Διὸ, τῆς ἀρχαίας γραφῆς ἐχούσης ὧδε, « Διὰ δὲ τὸ καταψεύ» σασθαι τὸν αὐλητὴν, διὸ οὐ νόμιμον ». οὐδεμία γὰρ τούτου χρεία, προηγησαμένης τῆς, Διὰ, προθέσεως. ἐκ δὲ τοῦ αὐλητοῦ τούτου καὶ παροιμία, Τενέδιος αὐλητὴς, ἐπὶ τῶν τὰ ψευδῆ μαρτυρούντων. — Στ. 10, Τὸ, Ἀποκεκόφθαι Τενεδίῳ πελέκει.] Ἑτέρα αὕτη παροιμία, ἣν ἄλλως ἐξηγεῖται ὁ Παυσανίας (Φωκικ. σελ. 831)· φησὶ γὰρ ὅτι Κύκνος ὁ πατὴρ, ἐπεὶ ἔγνω τὴν ἀπάτην τῆς μητρυιᾶς, εἰς Τένεδον ἔπλευσε παρὰ τὸν υἱὸν, παραιτησόμενος τὸ ἁμάρτημα. προσορμισαμένου δὲ τῇ νήσῳ, καὶ ἐξάψαντος πρός τινα πέτραν ἢ δένδρον τοὺς κάλως, Τέννης πελέκει σφᾶς ἀπέκοψεν ὑπὸ τοῦ θυμοῦ. — Στ. 13, Ἀρχίλοχον τὸν ποιητὴν Κόραξ ὄνομα ἔκτεινε]. Ἡ ἱστορία παρὰ Πλουτάρχῳ (Περὶ τῶν ὑπὸ θείου βραδ. τιμωρ. §. 17), Γαληνῷ (Προτρεπτ. ἐπὶ τὰς

τέχν. σελ. 4), Σουΐδα (λέξ. Ἀρχίλοχος), καὶ ἄλλος. ἐκαλεῖτο δὲ Καλώνδας ὁ κτείνας, ἐπώνυμον ἔχων τὸ Κόραξ. ἡ δὲ τῆς Πυθίας ῥῆσις εἶχεν ὧδε,

Μουσάων θεράποντα κατέκτανες· ἔξιθι νηοῦ.

Στ. 16, Ὑδροῦσσα· ] Οὕτω διὰ δύο σ̄ γραπτέον τὸ κακῶς παρ' ἅπασι γραφόμενον Ὑδροῦσα. συνῄρηται γὰρ παρὰ τὸ Ὑδρόεσσα. καὶ ἐν τοῖς ἑξῆς δὲ Δρυοῦσσα, παρὰ τὸ Δρυόεσσα, καὶ Ὀφιοῦσσα, παρὰ τὸ Ὀφιόεσσα, γεγράφαμεν. — Στ. 18, Τῆς Κέω.] Ἐξ ἑτέρων διορθώσεως, ἀντὶ τοῦ, Τῆς Κῶ (καθὰ καὶ ἡ ἐπιγραφὴ Κείων ἀντὶ τοῦ Κώων). ἐν ἄλλοις γράφεται, Τῆς Κίας. ἔστι γε μὴν τοῦτο οὐ γραφικὸν ἁμάρτημα, ἀλλὰ διάφορος γραφή· Κίαν γὰρ καλεῖ Πτολεμαῖος τὴν παρὰ τοῖς λοιποῖς Γεωγράφοις Κέων. καὶ ἔοικεν εἶναι παρακμάζοντος Ἑλληνισμοῦ ὁ σχηματισμὸς, ὃν ἐπὶ μᾶλλον λυμηναμένη ἡ συνήθεια, Τζίαν ὀνομάζει τὴν Κίαν, κατὰ τὰ εἰρημένα μοι ἐν τοῖς πρόσθεν εἰς τὸν Αἰλιανὸν (Ζ, κ'). — Στ. 23, Διὰ τὸ πνεῖν ἐτησίας. ] Γράφε, Διὰ τὸ μὴ πνεῖν ἐτησίας· καθὰ διωρθοῦτό τις τῶν κριτικῶν, ἐκ τοῦ Ἀλεξανδρέως Κλήμεντος (Στρωμ. ς', σελ. 630). παρὰ δὲ τὸ Μὴ, καὶ ἕτερ' ἄττα πιθανὸν παραλελεῖφθαι τοῖς ἀντιγράψασι. — Στ. 24, Ἀριστείδης κ. τ. λ. ] Ἄδηλον, εἴτε Κεῖός τις, Ἀριστείδης καλούμενος, νόμον εἰσήνεγκε περὶ τῆς τῶν Κείων γυναικῶν εὐκοσμίας, εἴτε ὁ τὰ Ἡρακλείδου ἐπιτεμὼν συνέχεε τῶν λεγομένων τὴν τάξιν, τὰ Ἀθήνησιν ὑπ' Ἀριστείδου πραχθέντα εἰς τοὺς Κείους μετενεγκών. πιθανὸν δὲ μᾶλλον τὸ δεύτερον. ὅτι μὲν γὰρ νόμος ἦν Ἀθήνησι χιλίας ζημιοῦσθαι τὰς ἀκοσμούσας γυναῖκας, ἴσασι πάντες· εἰ δὲ Κρώβυλος ὁ Κωμικὸς Φιλιππίδου τὸν νόμον τοῦτον εἶναί φησι (παρὰ Ἁρποκρατ. σελ. 135), τοῦτο οὐκ ἀβασανίστως παραδεκτέον. Φιλιππίδης μὲν γὰρ, Κωμῳδίας ποιητὴς καὶ αὐτὸς, ἐπὶ τῶν Ἀλεξάνδρου διαδόχων ἤκμασεν, ὅτε ἡ τῶν Ἀθηναίων ἀκοσμία μείζων ἦν ἢ ὥστε νόμοις κατείργεσθαι· Ἀριστείδην δὲ, ἐπὶ τῶν Περσικῶν γεγονότα, εἰκὸς καὶ τὴν μήπω τότε καταλυθεῖσαν τῆς πόλεως εὐκοσμίαν, νόμῳ τῷ κατὰ τῶν ἀκόσμων, διασῶσαι πειράσασθαι. — Στ. 26, Τοῖς τελευτῶσιν. ] Ἐπελαθόμην οὐκ οἶδ' ὅπως διορθῶσαι τὸ χωρίον ἐξ ἀντιγράφου, ἐν ᾧ φέρεται μετὰ τῆς προθέσεως, Ἐπὶ τοῖς τελευτῶσιν.

ΣΕΛ. 211. στ. 1, Οἱ μὲν μήκωνι. κ. τ. λ. ] Ἐλλειπτικὸν τοῦ, Βίου, ἢ τοῦ, Ζῆν, τὸ Ἐξάγουσι. Μήκωνα δὲ ἐνταῦθα, τῆς Μήκωνος τὸν ὀπὸν ἐκδεκτέον, τὸν ὑποκοριστικῶς λεγόμενον Ὄπιον, ὃν οἱ χυδαῖοι εἰς τὸ Τουρκικὸν Ἀφιόνι μετεποίησαν, οὐκ εἰδότες ὅτι καὶ αὐτὸ τὸ παρὰ τοῖς Τούρκοις « Ἀφιοὺν » τοῦ Ὀπίου παραποίησίς ἐστι. αὐτὴν δὲ τὴν Μήκωνα Παπαρούναν, καὶ Κουτζουνάδαν, καλοῦσι, τὸ μὲν παρὰ τὸ τῶν Λατίνων Papaver, καὶ τῶν Ἰταλῶν Papavero, τὸ δὲ, ἀπὸ μέρους τὸ ὅλον καλέσαντες. κεφαλὰς γὰρ ἔχει ἡ Μήκων, ἃς οἱ μὲν Ἀρχαῖοι ἰδίως Κωδίας ἔλεγον, τοὺς δὲ μεταγενεστέρους εἰκὸς παραφθείραντας τὴν Κόττην, ἢ καὶ ἄλλως πως συνθέντας τοὔνομα, Κοττυνάδας, καὶ τελευταῖον Κουτζουνάδας καλέσαι. ὅτι δὲ καὶ ἡ Κόττη σημαίνει τὴν κεφαλὴν μάρτυς Ἡσύχιος (λέξ. Προκόττα). ὃς καὶ τοὺς Ἀλεκτρυόνας Κοττοὺς λέγεσθαί φησι διὰ τὸν ἐπὶ τὴν κεφαλὴν λόφον. μαρτυρεῖ δὲ καὶ ἡ συνήθεια, Κότταν ἔτι καὶ νῦν λέγουσα τὴν Ἀλεκτρύαιναν, καὶ Κοττοπῶλια τοὺς νεοσσοὺς αὐτῆς· πρὸς δὲ καὶ Κούττικαν, ἢ Κουττούνιον τὸ

ὄπισθεν τῆς κεφαλῆς (τὸ χυδαιεστέρως καλούμενον Ζινίχιον, παρὰ τὸ Γερμανικὸν Genick, ἢ τὸ Γαλλικὸν Chignon). καὶ Κούττελον, τὸ ἔμπροσθεν. Στ. 5, Νηΐδες.] Νηάδας ὀνομάζει τὰ τὴν Σάμον τὸ πάλαι κατασχόντα ταῦτα θηρία Αἰλιανὸς, ἐν τῷ περὶ ζώων ἰδιότητος (ΙΖ, κή), ἐξ ὧν καὶ παροιμίαν ῥηθῆναί φησι, Μεῖζον βοᾷ τῶν Νηάδων. — Δρυοῦσσα.] Παρὰ τοῖς λοιποῖς ἅπασι δι' ἑνὸς σ. ἔπιθι τὰ ἀνωτέρω (σελ. 354) σημειωθέντα μοι. — Στ. 6, Ἀφ' οὗ. ....παροιμία.] Ἀφ' οὗ, (οὐκ, Ἐφ' οὗ), γραπτέον εἶναι συνῆκε μὲν, ὤκνησε δὲ καταχωρίσαι εἰς τὸ κείμενον ὁ πρὸ ἡμῶν ἐκδοὺς τὰ τοῦ Ἡρακλείδου. τῶν ἀστείων δὲ καὶ βιωφελῶν ἡ παροιμία,

Πολλὰ μεταξὺ πέλει κύλικος καὶ χείλεος ἄκρου.

Ἀγκαῖος γάρ, φασιν, ἄμπελον φυτεύων, ὠμῶς ἐπέκειτο τοῖς ἐργαζομένοις. τούτων δὲ εἷς μὴ μεταλήψεσθαι τὸν δεσπότην ἔφη τοῦ καρποῦ. Ὁ δὲ Ἀγκαῖος, τοῦ καρποῦ ἠκμακότος, ἐκέλευσεν αὐτῷ κεράσαι, καὶ ἅμα προσφέρων τὴν κύλικα τῷ στόματι, ὑπέμνησε τῆς προῤῥήσεως, καταμωκώμενος δηλονότι τοῦ κεράσαντος. τούτων λεγομένων, ἄλλος οἰκέτης ἦλθεν ἀπαγγέλων, ὡς σῦς τὴν χώραν λυμαίνεται· καὶ ὁ Ἀγκαῖος καταλιπὼν τὴν πόσιν, ἐπὶ τὸν σῦν ὥρμησε καὶ πληγεὶς ὑπ' αὐτοῦ ἐτελεύτησε. — Στ. 8, Λευκὴ χελιδών.] Μνημονεύει τῆς ἐν Σάμῳ χελιδόνος ταύτης καὶ Αἰλιανὸς ἐν τῷ περὶ Ζώων ἰδιότητος (ΙΖ, κ'), καὶ Ἀντίγονος ὁ Καρύστιος (Ἱστορ. παραδ. ρλϐ'). λευκὰς δὲ χελιδόνας ἱστορήκασιν οἵ τε ἀρχαῖοι (Ἀριστοτέλ. περὶ ζώων ἱστορ. Γ, ιϐ', καὶ περὶ Χρωμάτ. ϛ', καὶ Αἰλιαν. περὶ ζώων ἰδιότ. Ι, λδ'), καὶ οἱ ἐφ' ἡμῶν (Βεκμάν. Σημ. εἰς Ἀντίγ. τὸν Καρύστ. ρλϐ'. σελ. 183) τῆς φυσικῆς ἱστορίας συγγραφεῖς. οὐ πρὸ πολλοῦ δὲ καὶ ἐν Γερμανοῖς τοιαύτην χελιδόνα φανῆναί φησιν ὁ τελευταῖος τοῦ Ἡρακλείδου ἐκδότης, ἐκ τῶν παρ' ἐκείνοις ἐφημερίδων ἀναλεξάμενος. — Στ. 11, Διὰ τῆς ὀπῆς.] Οὐ χρεία, Διὰ τῆς ὀπῆς τῆς θύρας, γράφειν, ὡς εἴκασεν ὁ πρὸ ἡμῶν, παραθεὶς τὰ Διογένει τῷ Λαερτίῳ, καὶ Αἰλιανῷ (Ποικ. Ἱστ. Δ, κή) περὶ Φερεκύδους εἰρημένα καὶ καθ' ἑαυτὴν γὰρ ἡ Ὀπὴ, θυρίδα σημαίνειν πέφυκεν, ᾗ φησιν Ἡσύχιος. — Στ. 13, Ἦν δὲ Θρᾷξ τὸ γένος.]. Φρύγα τὸν Αἴσωπον ὡς εἰπεῖν ἅπαντες, πλὴν Ἡρακλείδου γεγονέναι φασί. — Στ. 14, Ὑπὸ Ἴδμονος τοῦ κωφοῦ.] Ἴδμων παρ' ἅπασι καλεῖται ὁ Σάμιος οὗτος δεσπότης Αἰσώπου, πλὴν Ἡροδότου, παρ' ᾧ (Β, ρλδ') γράφεται Ἰάδμων. ἔχει δὲ καὶ τὸ ἐπωνύμιον ἀπορίαν, εἴτε χρὴ γράφειν Κωφοῦ, εἴτε, καθὰ ἱστόρηκεν ὁ σχολιαστὴς Ἀριστοφάνους (ὄρν. 471), ἐξ αὐτοῦ τούτου τοῦ Ἡρακλείδου ἀναλεξάμενος, Σοφοῦ. ἔγωγ' οὖν οὐκ ἂν ὀκνήσαιμι γράψαι παρὰ μὲν Ἡροδότῳ (Β, ρλδ') Ἴδμονος, ἀντὶ τοῦ Ἰάδμονος, ἐπεὶ εὕρηται καὶ παρὰ τῷ Ἀπολλοδώρῳ (Α, θ, 23) ὄνομα κύριον Ἴδμων, ὁ Μάντις, εἷς τῶν Ἀργοναυτῶν· παρὰ δὲ τῷ Ἡρακλείδῃ, Ἴδμονος τοῦ Σοφοῦ, καίπερ (οὐδὲ γὰρ τοῦτο σιγῇ παρελθεῖν ἄξιον) οὐδὲν ἕτερον δηλοῦντος τοῦ Σοφοῦ, ἢ αὐτὸ τοῦτο τὸ δηλούμενον ὑπὸ τοῦ Ἴδμονος· ἀμφότερα γὰρ τὸν εἰδήμονα ἢ ἐπιστήμονα σημαίνει τοῦτο μὲν ποιητικώτερον, ἐκεῖνο δὲ πεζαίτερον. — Στ. 17, Ἕκητι Συλοσῶντος εὐρυχωρίη.] Ἤγουν διὰ τὸν Συλοσῶντα εὐρυχωροτέρα κατεστάθη ἡ Σάμος· ἐπεὶ γὰρ πικρῶς καὶ χαλεπῶς ἦρχεν, ἐκλιπόντες τὴν νῆσον οἱ πλείους μετῴκησαν (Στράϐ. ΙΔ, σελ. 638).

Στ. 18, Θεαγένης.] Ἐν ἄλλοις γράφεται Θεογένης. — Στ. 20, Ἀθήνησι παρ' Εὐριπίδῃ]. Ταύτην τὴν γραφὴν φέρει παλαιά τις ἔκδοσις τῶν ἐν Γενεύῃ (1625) καὶ οὐκ, Ἀθήναισι. Εὐριπίδην δὲ τὸν τραγικὸν ποιητὴν ἔοικε λέγειν, ὃν τὴν πρώτην γυναῖκα δι' ἀκολασίαν ἀπωσάμενον, καὶ τῆς δευτέρας ὡσαύτως ἀκολάστου πειραθῆναί φασι (Σουΐδ. λέξ. Εὐριπίδης). διαφωνεῖ μέντοι ταῦτα τοῖς χρόνοις πρὸς τὰ παρ' ἄλλοις ἱστορηθέντα· εἴγε ἡ μὲν ἀποστολὴ τῶν δισχιλίων κληρούχων εἰς Σάμον, ὧν ἦν καὶ Νεοκλῆς ὁ Ἐπικούρου πατὴρ (Στράβ. ΙΔ, σελ. 638), ἐπὶ τῆς ργ, ἢ ὡς ἕτεροι βούλονται, ἐπὶ τῆς ρζ Ὀλυμπιάδος (Διοδ. Σικελ. ΙΗ, σελ. 638 μετὰ τῶν σημ. Οὐεσελιγγ.) ἐγένετο· Εὐριπίδης δὲ κατὰ τὴν ϥγ Ὀλυμπιάδα τὸν βίον ἐτελεύτησεν. — Στ, 23. Ἐξεφύτευσε τὴν Κυμαίων χώραν.] Διορθοῦνται, Ἐπεφύτευσεν. ἄμεινον ἴσως γράφειν, Ἐφύτευσε, προσυπακουομένου τοῦ Φυτοῖς καθὰ καὶ Πεφυτευμένη γῆ ἁπλῶς λέγεται, πρὸς ἀντιδιαστολὴν τῆς Ψιλῆς (Δημοσθέν. πρὸς Λεπτίν.) Ὅμηρος δὲ Φυταλιὴν ὀνομάζει τὴν πεφυτευμένην, ἀντιδιαστέλλων πρὸς τὴν Ἄρουραν (Ἰλιάδ. Ζ, 195), ἣν ἀλλαχοῦ δηλῶσαι θέλων (Ι, 576).

. . . . . . . . Ψιλὴν ἄροσιν πεδίοιο ταμέσθαι

λέγει.

ΣΕΛ. 212, στ. 1, Ὑπὸ τοῦ Λυδῶν βασιλέως εἰργασμένην κ τ. λ] Οὐκ ἄχαρι τὸ σκῶμμα. μὴ ἐκπληττέτω δέ σε ὁ ἀμαξοπηγὸς εἰς τὸ βασιλεύειν Λυδῶν καλούμενος· μακρῷ γὰρ ἀρχαιότερα τῶν ἐπὶ Κροίσου τὰ ἱστορούμενα, καὶ τῆς ἀρχαϊκῆς ἀφελείας, ἀληθέστερον δὲ φάναι, τῆς νηπιότητος τῶν ἀνθρώπων, οὐκ ἀλλότρια. — Στ. 3, Ἑρμοδίκην . . . . . κάλλει διαφέρειν.] Δημοδίκην, οὐκ ἀναγκαίως γράφειν τινὲς παρνήνεσαν. εὐλογώτεροι δὲ οἱ φάσκοντες γραπτέον εἶναι, « Οὐ μόνον κάλλει διαφέρειν », ὃ καὶ ὁ Λατῖνος μεταφραστὴς ἐξέφρασε. — Στ. 7, Ἀπώλλυντο.] Ἐκ διορθώσεως τοῦ προτέρου ἐκδότου, ἀντὶ τοῦ, Ἀπόλλυνται. — Στ. 9, Οὐδ' ἂν βοῦς κ. τ. λ.] Οὕτω γράφειν δεῖν ἔγνων ἐξ αὐτοῦ Ἡσιόδου, ἀντὶ τοῦ, Οὐκ ἂν βοῦς. ὅτι δὲ Κυμαῖος ἦν Ἡσίοδος, ἐμφαίνει μὲν καὶ αὐτὸς Ἡρακλείδης διὰ τοῦ, Ἐντεῦθεν δοκεῖ λέγειν, δῆλον δὲ καὶ πολλαχόθεν ἄλλοθεν. — Στ. 10, Μοναρχεῖσθαι αὐτοὺς ἐποίησεν.] Τὸ ἡμαρτημένον, Αὐτῆς, οὐκ ὤκνησα τρέψαι εἰς τὸ, Αὐτοὺς, τοὺς Κυμαίους δηλονότι. — Στ. 16, Διαγόρᾳ] Οὐ πάνυ τι δῆλον εἴτε τὸν τὴν ἐν Ἐρετρίᾳ ὀλιγαρχίαν καταλύσαντα Διαγόραν λέγει, περὶ οὗ Ἀριστοτέλης (Πολιτ. Ε, ς') εἴτε τὸν τοῖς Μαντινεῦσι τοὺς νόμους θέντα (Αἰλιαν. Ποικ. Ἱς. Β, κγ), καὶ ἐν Κορίνθῳ τελευτήσαντα (Σουΐδ. λέξ. Διαγόρας). — Στ. 20, Λεπρεεῖς.] Ἀπὸ τοῦ Λεπρέου. παρείληφα τὴν γραφὴν ἐκ δύο παλαιῶν ἐκδόσεων, ἀντὶ τοῦ ἡμαρτημένου ἐν τῇ πρὸ τῆς ἡμετέρας Λεπρεῖς. καλοῦνται δ' οἱ αὐτοὶ καὶ Λεπρεᾶται, καθὰ καὶ ἀπὸ τοῦ Πτελέου, Πτελεεῖς καὶ Πτελεᾶται, καὶ ἀπὸ τοῦ Φενεοῦ, Φενεεῖς καὶ Φενεᾶται. — Στ. 25, Γυναικοκρατοῦνται.] Ἐξηγεῖται ὁ πρὸ ἐμοῦ ἐκδότης τὸ Γυναικοκρατεῖσθαι, οὐκ ἐπὶ τοῦ ὑπὸ γυναικῶν βασιλεύεσθαι, ἀλλὰ ἐπὶ τοῦ ἐντιμοτέρας εἶναι παρὰ Λυκίοις τῶν ἀνδρῶν τὰς γυναῖκας, παρατιθεὶς τὰ ὑφ' Ἡροδότου (Α, ρογ), Νικολάου τοῦ Δαμασκηνοῦ (σελ. 275 ἡμετέρ. ἐκδ.), καὶ Πλουτάρχου (Γυναικ. ἀρετ.) περὶ αὐτῶν εἰρημένα. — Πωλοῦσι δὲ τοὺς

ψευδομάρτυρας.] Νικόλαος δὲ ὁ Δαμασκηνὸς (σελ. 275) τοὺς Κλέπτας φησί.

ΣΕΛ. 213, στ. 3, Φιλοῦσι.] Ὁμηρικῶς ἐνταῦθα τὸ Φιλοῦσι, ἤγουν ἐπὶ τοῦ ἐν τῇ συνηθείᾳ Φιλεύουσιν, περὶ οὗ ἔπιθι τὰς εἰς τὸν Ἡλιόδωρον σημειώσεις (σελ. 207). — Στ. 5, Θυλάκιον.] Ὑποκοριστικὸν τοῦ Θύλαξ. ὁ δὲ Θύλαξ ἢ Θύλακος (διφορεῖται γὰρ τῇ κλίσει) Σάκκον ἐκ δέρματος κυρίως σημαίνει. ἔσωσε δὲ καὶ ἡ συνήθεια τὴν λέξιν ἐν τῷ Φύλακας (Ἰταλιστὶ Cartella, Γαλλιστὶ Porte-feuille). χρῶνται δὲ τούτῳ οἱ παῖδες ἐν τοῖς διδασκαλείοις, εἰς τὸ ἀποτίθεσθαι τὰ τετράδια· οὐδὲ γάρ, δι' ἣν παρέχεται χρείαν, ὑποληπτέον Φύλακα ῥηθῆναι παρὰ τὸ Φυλάσσω· ἀλλὰ παρὰ τὸ Θύλαξ, τροπῇ τοῦ θ εἰς τὸ φ, σχηματισθῆναι, καθὰ δὴ καὶ τὸ Φηκάριον παρὰ τὸ Θηκάριον, καὶ τὸ Στάφνη παρὰ τὸ Στάθμη, καὶ τὸ Ἀρίφνητος παρὰ τὸ Ἀναρίθμητος. τῆς τοιαύτης δὲ τροπῆς ἔστι καὶ παρὰ τοῖς ἀρχαίοις εὑρεῖν παραδείγματα· εἴγε Φλᾶν οἱ Ἀττικοὶ ἔλεγον τὸ Θλᾶν, Φηρίον δ' οἱ Αἰολεῖς τὸ Θηρίον. — Στ. 6, Καὶ τοῦ ξοάνου.] Ἴσως γραπτέον, καὶ τὸν τοῦ ξοάνου· ἀλλ' ὅλον τουτὶ τὸ περὶ Μολοττῶν χωρίον σκοτεινόν, ὡς παρ' οὐδενὶ ἑτέρῳ κείμενον. ὅθεν καὶ ἀντὶ τοῦ ἐχομένου, Θυσίαν, Καυσίαν τινὲς ὑπειλήφασι γεγραφέναι τὸν Ἡρακλείδην· ἔστι δὲ ἡ Καυσία πίλου εἶδος Μακεδονικοῦ, ᾧ καὶ τοὺς ὁμοροῦντας τοῖς Μακεδόσι Μολοττοὺς εἰκὸς κεχρῆσθαι. — Στ. 7, Θυσίαν ἔθεσαν.] Ἔτρεψα τὸ Ἐτίθεσαν εἰς τό, Ἔθεσαν.—Στ. 8, Τῶν δὲ Κεφαλλήνων.] Γέγραφα διὰ διπλοῦ τοῦ λ ἐνταῦθά τε κἀν τοῖς μετ' ὀλίγον ῥηθησομένοις, τῇ παρ' Ὁμήρῳ κατακολουθήσας γραφῇ· ἵν', ὥς φησιν Εὐστάθιος (Ὀδυσσ. Α, σελ. 26), τὸ ἐθνικὸν ὁ Κεφαλλὴν ἔχοι διαφορὰν πρὸς τὴν ἐν σώματι κεφαλήν.—Στ. 11, Φασὶν ὡς τὸ ἐξ ἀρχῆς Ἡνίοχοι κατῴκουν.] Φασίν, ὀξυτόνως ἔγραψα, καθάπερ εὕρηται ἐν παλαιοτάτῃ ἐκδόσει (1625). ἵν' ᾖ ῥῆμα, καὶ οὐ Φάσιν, ὡς παρ' ἄλλοις γράφεται, ἐκδεξαμένοις τὴν Φᾶσιν πόλιν, παρ' ἣν καὶ Φασιανοὶ παρωνύμως οἱ οἰκήτορες. ἐνδέχεται μέντοι καὶ οὕτω γεγράφθαι τὴν ἀρχήν, «Φᾶσιν, φασὶν ὡς τὸ κ. τ. λ.» — Στ. 12, Ἐκδέρον τοὺς ἀνθρώπους.] Ἐγράφετο, Ἐκδεῖρον. — Στ. 13, Καὶ τρεῖς μνᾶς διδόντας ἀπολύειν.] Ἀντὶ τοῦ Ἀπολύειν, ἐγράφετο Ἀποπλεῖν· ὅπερ ἕτεροι διωρθοῦντο, Ἐᾷν ἀποπλεῖν. διορθοῦσθαι δὲ καὶ οὕτως ἐστὶ τὸ χωρίον, περιγράφοντας τὸν σύνδεσμον, Τρεῖς μνᾶς διδόντας ἀποπλέουσιν. — Στ. 16, Λευκανοὶ φιλόξενοι.] Ἱστόρηκε τοῦτο καὶ Αἰλιανὸς (Ποικ. Ἱσ. Δ, α.) — Στ. 17, Τὸν τρίτον ... ἀπὸ τοῦ μεγάλου.] Ὥσπερ ἂν εἰ μὴ ὁ ἀπὸ τοῦ μεγάλου τρίτος, καὶ τρίτος ἦν ἀπὸ τοῦ μικροῦ· ὅθεν εἰκάζει ὁ πρὸ ἡμῶν ἐκδότης ἐξαδάκτυλον ἐσχηκέναι τὸν πόδα τὸν Λαμίσκον. — Στ. 19, Λευκανία.] Ὁ δὲ τοῦ Ἀπολλωνίου σχολιαστής (Α, 917) Λευκοσίαν αὐτὴν κεκλῆσθαί φησιν. — Διὰ τὸ λευκὴ εἶναι.] Ἐγράφετο, Λευκήν, κατ' αἰτιατικήν· ὅπερ ὀρθῶς ἂν εἶχεν, εἰ καὶ τὰ προηγούμενα ὁμοιοπτώτως ἐγέγραπτο, οἷον, Τὴν Σαμοθρᾴκην τὸ μὲν ἐξ ἀρχῆς ἐκάλουν Λευκανίαν. διὸ δὴ μετέβαλον εἰς τὸ Λευκή. — Στ. 22, Ἐκπεσόντες τῆς οἰκείας.] Ἐλλειπτικῶς τοῦ Χώρας, ἢ Γῆς· ἐξ ἑτέρων διορθώσεως, ἀντὶ τοῦ, Οἰκίας.

ΣΕΛ. 214, στ. 3, Κλαίω θαλασσῶν, οὐ τὰ Μαγνήτων κακά.] Τὸν στίχον τοῦτον ὁ Στράβων (ΙΔ, σελ. 648) οὕτως ἐκφέρει,

Κλαίειν θάσσον, οὐ τὰ Μαγνήτων κακά.

οἱ δὲ κριτικοὶ διαφόρως αὐτὸν διορθοῦν ἐπεχείρησαν· οἱ μὲν γὰρ αὐτῶν,

Κλαίω τὰ Θασίων, οὐ τὰ Μαγνήτων κακά,

γραπτέον εἶναί φασιν· ἕτεροι δὲ,

Κλαίω δ' ἔλασσον ἢ τὰ Μαγνήτων κακά.

καὶ ἄλλοι ἄλλως, ὡς ἔστιν ἰδεῖν παρὰ τῷ πρὸ ἐμοῦ ἐκδότῃ — Στ. 7, Καὶ περὶ Αἴσωπον γενέσθαι.] Ἱστορεῖ τὸ τοῦ Αἰσώπου πάθος πλατύτερον καὶ σαφέστερον ὁ Πλούταρχος* (περὶ τῶν ὑπὸ τοῦ θείου βραδ. τιμωρουμ. §. 12), καὶ ὁ τὸν Ἀριστοφάνην σχολιάσας (Σφ. 1437)· παρῃνίξατο δὲ καὶ ὁ Αἰλιανὸς (Ποικ. Ἱστορ. ΙΑ, ε). — Καὶ γὰρ ἐκεῖνος.] Γράφε, καὶ γὰρ κἀκεῖνος, ἢ, Κἀκεῖνος γάρ. — Στ. 12, Φέρει γὰρ ἡ νῆσος πολλά.] Σῦκα δηλονότι, καθὰ καὶ μέχρι δεῦρο.—Στ. 18, Συνῴκισαν.] Ἴσως, ἐνταῦθα γοῦν, Συνῴκησαν, διὰ τοῦ η. — Στ. 19, Αἰόλου.] Ἐξ ἑτέρων διορθώσεως, ἀντὶ τῆς προφανῶς ἡμαρτημένης γραφῆς, Διόλου. — Στ. 20, Ὅπου ἂν ἡ θήλεια τὸ ἄῤῥεν.] Προσυπακουομένου τοῦ, Περιλαμβάνῃ, ἤ τινος ἑτέρου τοιούτου, κατ' ἔλλειψιν οὐ συνήθη μὲν τοῖς Ἑλληνίζουσιν, ἔν γε τούτῳ τῷ ῥήματι, οἰκείαν δὲ πάνυ τοῖς ἀσαφέσι τοῦ Λοξίου χρησμοῖς.—Στ. 23, Ῥήγιον ἐκαλεῖτο ἀπό τινος ἐγχωρίου ἥρωος.] Ἕτεροι δὲ παρὰ τὸ Ῥήγνυμι· κατ' ἐκεῖνο γὰρ τὸ μέρος τῆς Ἰταλίας κεῖται τὸ Ῥήγιον ( τὰ νῦν Reggio τοῖς Ἰταλοῖς καλούμενον ), καθ' ὃ τὴν ἤπειρον τὴν Σικελίαν ἀποῤῥαγῆναι, συνεχῆ πρότερον οὖσαν, ὑπὸ σεισμῶν ἐπίστευον (Στράβ. ς, σελ. 258).

ΣΕΛ. 215, στ. 4, Χαίρετ' ἀελλοπόδων. κ.τ.λ.] Διωρθώσατο τὸν Σιμωνίδου στίχον ὁ πρὸ ἡμῶν, ἐκ τοῦ Ἀριστοτέλους (Ῥητορικ. Γ, β). — Στ. 6, Κορκυραῖοι.] Λέγεται γὰρ Κόρκυρα καὶ Κέρκυρα· ἀρχαιοτέρα δὲ ἔοικεν ἡ διὰ τοῦ ο γραφὴ, εἴγε καὶ Ῥωμαίοις Corcyra ἐκαλεῖτο. ἔσχε δὲ καὶ ἄλλα πλεῖστα ὀνόματα, τὸ πάλαι· τελευταῖον δὲ παρὰ τοῖς Βυζαντινοῖς συγγραφεῦσιν ἐκλήθη, ὃ καὶ μέχρι δεῦρο καλεῖται, Κορυφὼ (κλινόμενον ὡς ἡ Λητὼ) ἀπὸ τῆς ἀκροπόλεως αὐτῆς, ἰδίως Κορυφοῦς λεγομένης, μεταλαβοῦσα τὴν κλῆσιν, καὶ κατὰ συγκοπὴν Κορφῶ, καθὰ καὶ τὸ ἀφ' οὗ παράγεται Κορυφὴ συνετμήθη εἰς τὸ Κορφή. τοῖς δὲ χυδαΐζουσιν οὐ μόνον Κορφοῦ, κατ' ὀνομαστικὴν καὶ θηλυκῶς, ἀλλὰ καὶ Κορφοὶ, ἀρσενικῶς τε καὶ πληθυντικῶς, καλεῖται ἡ νῆσος. — Στ. 8, Πολεμοῦσαν.] Πολεμοῦσι κατὰ δοτικὴν πληθυντικὴν, γραπτέον εἶναι οὐκ ἀπιθάνως εἰκάζει ὁ πρὸ ἡμῶν ἐκδότης, ἵνα ᾖ ὁ νοῦς, Οἷς Κορκυραίοις, πολεμοῦσι πρὸς Βρεντησίους, ἢ Βρεντεσίους ( ἀμφοτέρως γράφεται ), συνεμάχησεν ὁ Διομήδης. ἀλλ' ἐπειδὴ παρ' οὐδενὶ κεῖται ἑτέρῳ ἡ ἱστορία, ἐὰν ἄμεινον κατὰ χώραν τὴν γραφήν. — Στ. 10, Εἰσὶ δὲ οἳ καὶ τριάκοντα] Διὸ καὶ Μένανδρος (παρὰ Στράβ. Ζ, σελ. 297) παράγει Θρᾷκά τινα λέγοντα περὶ τῶν οἴκοι γάμων,

Γαμεῖ γὰρ ἡμῶν οὐδὲ εἷς, εἰ μὴ δέκ', ἢ
Ἕνδεκα γυναῖκας, δώδεκά τε, πλείους τινές·
Ἂν, τέτταρας δ' ἢ πέντε γεγαμηκὼς, τύχῃ,
Καταστρέψῃ τις, ἀνυμέναιος, ἄθλιος,
Ἄνυμφος οὗτος ἐπικαλεῖτ' ἐν τοῖς ἐκεῖ.

Στ. 12, Καὶ λούει.] Ἡ γυνὴ δηλονότι τὸν ἄνδρα. — Μετὰ τὴν χρῆσιν.] Μετὰ τὴν συνουσίαν. ἔπιθι τὰς εἰς τὸ περὶ ἀέρων, ὑδάτων, τόπων, Γαλατιστὶ γραφείσας μοι σημειώσεις (σελ. 353). — Στ. 16, Κληρονομοῦσι.] Οἱ τῷ ἀνδρὶ προσήκοντες. — Στ. 17, Μινώαν τὴν ἐν Σικελίᾳ.] Τὴν καὶ Ἡράκλειαν κληθεῖσαν, καὶ, ἀμφοτέροις τοῖς ὀνόμασιν, Ἡράκλειαν Μινώαν. Στ. 19, Ἄλυκον.] Ἐκ διορθώσεως τοῦ πρὸ ἐμοῦ, ἀντὶ τῆς ἡμαρτημένης γραφῆς, Λύκον. — Στ. 25, Καπηλεῖον οὐκ ἔστι μεταβολικόν.] Κάπηλοι καὶ Μεταβολεῖς ἐσήμαινον παρὰ τοῖς Ἀρχαίοις, οὓς ἡμεῖς νῦν Μεταπράτας ἢ Μεταπωλητὰς καλοῦμεν. Κάπηλοι δὲ ἡμῖν εἰσὶν, οἱ πωλοῦντες τὸν οἶνον, καὶ Καπηλεῖον, ὁ τόπος ἐν ᾧ πωλοῦσιν αὐτόν· οὐδὲ τῶν ἀρχαίων ἀγνοησάντων τὴν τοιαύτην σημασίαν· εἴγε καὶ ὁ Κάπηλος εὕρηται παρ' αὐτοῖς ἐπὶ τοῦ οἰνοπώλου, καὶ τὸ Καπηλεῖον, ἐφ' οὗ πωλεῖται ὁ οἶνος.

ΣΕΛ. 216, Στ. 1, Ἐὰν ἁλῷ τις κλέπτων.] Καὶ μὴν Αἰλιανὸς (Ποικ. Ἱς. ΙΓ, κδ'.) ἐπὶ τῶν μοιχῶν τεθεῖσθαι τὸν νόμον φησὶν ὑπὸ Ζαλεύκου· ὃ καὶ μᾶλλον εἰκός. μήποτε οὖν ἐγέγραπτο παρ' Ἡρακλείδῃ Κλεπτογαμῶν, ἢ Κλεψιγαμῶν. Στ. 4, Πολέμαρχος.] Ἄδηλον εἴτε κύριον ὁ Πολέμαρχος ἐνταῦθα ὄνομά ἐστιν, ἢ ἄλλως ἀρχὴν σημαίνει τὴν πολλαχοῦ τῆς Ἑλλάδος καθεστῶσαν, ἣ διώκει τὰ περὶ τὸν πόλεμον. — Στ. 8, Ὡς μὲν μυθολογοῦσιν.] Εἰ μὴ τῶν γραψάντων ἁμαρτίᾳ παρεισέδυ ὁ Μὲν, δῆλον, ὅτι ὁ ἐπιτεμὼν τὰ Ἡρακλείδου παρέλιπε καὶ ἑτέραν αἰτίαν, δι' ἣν ἐξανέστησαν ἐξ Ἐλυμνίου οἱ τὰς ἐν τῷ Ἄθῳ Κλεωνὰς οἰκίσαντες Χαλκιδεῖς. Ἐλύμνιον δὲ ἔοικεν αὐτὴν τὴν Εὔβοιαν νῆσον λέγειν, δόξαν τοῦτο καὶ τῷ πρὸ ἡμῶν ἐκδότῃ (Ἴδ. Στέφ. περὶ πόλεων, λέξ. Ἐλύμνιον). — Στ. 12, Ἐν Κεφαλληνίᾳ Προμνήσου υἱὸς κ. τ. λ.] Ἔγραψα κἀνταῦθα, ὥσπερ ἐν τοῖς πρόσθεν (σελ. 213), διὰ διπλοῦ τοῦ λ. — Στ. 14, Τάς τε κόρας ... ἐγίνωσκεν.] Σημειοῦ καὶ ἕτερον συγγραφέα, τῷ Γινώσκειν ἐπὶ τοῦ, Γυναικὶ συνεῖναι, χρησάμενον, παρὰ τὸν Πλούταρχον. παρ' ᾧ μόνῳ φησὶν Ἐῤῥίκος ὁ Στέφανος ἐντετυχηκέναι ταύτῃ τῇ σημασίᾳ. χωρὶς εἰ μή τις οὐκ αὐτοῦ Ἡρακλείδου, ἀλλ', ὃ καὶ μᾶλλον εἰκὸς, τοῦ τὸν Ἡρακλείδην ἐπιτεμόντος εἶναι τὴν λέξιν ὑπονοήσειε, παρὰ γὰρ τοῖς ἀρχαιοτέροις τῶν Πτολεμαϊκῶν χρόνων ἡ χρῆσις οὐχ εὕρηται· πολλὴ δὲ παρὰ τοῖς ὕστερον, καὶ μάλιστα τοῖς τῆς παλαιᾶς τε καὶ νέας διαθήκης συγγραφεῦσι, παρ' οἷς οὐ μόνον ὁ ἀνὴρ γινώσκειν λέγεται τὴν γυναῖκα, ἀλλὰ καὶ ἡ γυνὴ τὸν ἄνδρα. — Στ. 16, Εἰς τὴν κοίτην ἀπέκτεινε.] Ἀντὶ τοῦ, Ἐν τῇ κοίτῃ. καὶ τοῦτο ἐκ τῆς τῶν μεταγενεστέρων συνηθείας (ἔπιθι τὰς εἰς τὸν Ἡλιόδωρ. σημ. σελ. 41). — Στ. 18, Ἐπικλεὴς ἐγένετο.] Εἰς τοῦτο δεῖν τρέπειν ἔγνωκα τὴν ἡμαρτημένην γραφὴν, Ἐπὶ κλέος ἐγένετο. ἔστι δὲ τὸ Ἐπικλεὴς ταυτόσημον τῷ Περικλεὴς, καθὰ καὶ τὸ Ἐπιφανὴς τῷ Περιφανής. — Στ. 19, Μαρτυρεῖ .... Ὅμηρος παραβαλεῖν εἰς Κεφαλληνίαν.] Ἴσως γραπτέον, Παραβαλὼν, μετοχικῶς. ὁποτέρως δ' ἂν ἔχοι τὰ τῆς γραφῆς, ἀπροσδιόνυσον παντάπασιν ἐνταῦθα τὸ περὶ Ὁμήρου λεγόμενον, καὶ ἔοικεν ἀλλαχόθεν προσραφῆναι τοῖς Ἡρακλείδου ὑπὸ τοῦ τὰς πολιτείας ἐπιτεμόντος. τὰ αὐτὰ δ' ὡς εἰπεῖν, καθάπερ ἐσημειώσατο καὶ ὁ πρὸ ἡμῶν, φέρεται κἀν τῷ ψευδῶς εἰς Ἡρόδοτον ἀναφερομένῳ Ὁμηρικῷ βίῳ. — Στ. 24, Ὀφιοῦσσα.] Ἔγραψα καὶ πάλιν διὰ διπλοῦ τοῦ σ, διὰ τὰ ἀνωτέρω (σελ. 354) εἰρημένα. καὶ Τῆνος δὲ, καὶ

ἄλλαι πολλαὶ νῆσοι Ὀφιοῦσσαι ἐκλήθησαν, ὑπὸ τῶν πρώτως οἰκισάντων αὐτάς· εἰκὸς γὰρ τοὺς πρῶτον οἰκίζοντας χῶρον ὄφεσι καὶ ἄλλοις παραπλησίοις θηρίοις πολλοῖς περιπίπτειν.

ΣΕΛ. 217, στ. 1, Φώκεαν.] Διὰ διφθόγγου παρ' ἅπασι τοῖς Ἱσορικοῖς καὶ Γεωγράφοις ἡ Φώκαια, καθάπερ ἐσημειώσατο καὶ ὁ πρὸ ἡμῶν, οὔ γε μὴν διὰ τοῦτο μετακινητέαν εἶναι φάσκων τὴν παρ' Ἡρακλείδῃ γραφὴν, ἄλλως τε καὶ ἐπεὶ ἔστιν ἃ τῶν ἀρχαίων νομισμάτων τὴν διὰ τοῦ ε γραφὴν φέρει. — Στ. 2, Φώκην εἰς τὸ ξηρὸν εἶδον ἐκβαίνουσαν.] Ὁ δὲ Στέφανος (περὶ πολ. λέξ. Φώκαια), « Διὰ τὸ πολλὰς ἀκολουθῆσαι φώκας τοῖς » κτίσασι » φησί. σημείωσαι δὲ καὶ τὸ, Εἰς τὸ ξηρὸν (ἀντὶ τοῦ, Εἰς τὴν ξηράν)· ᾧ ἐχρήσατο καὶ Πολύβιος (Κ, ε) καὶ Νίκανδρος (Ἀλεξιφ. 704), κατὰ τοὺς αὐτοὺς σχεδὸν ἀλλήλοις χρόνους ἀκμάσαντες. φέρεται δὲ καὶ παρὰ τῷ Στοβαίῳ (ΙΔ, σελ. 149) γνώμη Σωτίωνος οὕτως ἔχουσα. « Οἱ δελφῖνες μέχρι τοῦ κλύδωνος συνδιανήχονται τοῖς κολυμ» βῶσι πρὸς δὲ τὸ ξηρὸν οὐκ ἐξοκέλλουσιν κ. τ. λ. » — Στ. 6, Εἰς λέβητας ζέοντας.] Λείπει τὸ, Ἐνέβαλλε, ἤ τι τοιοῦτον ἕτερον ῥῆμα, διὰ γραφικὸν ἴσως ἁμάρτημα. — Στ. 7, Εἰς τοὺς κρατῆρας τοῦ πυρός.] Τῆς Αἴτνης δηλονότι. — Στ. 9, Ἐνέπρησε δὲ καὶ τὴν μητέρα καὶ τοὺς φίλους.] Ὁ δῆμος τὴν μητέρα καὶ τοὺς φίλους τοῦ Φαλάριδος, ὃ δὴ καὶ ἕτεροι πρὸ ἡμῶν συνῆκαν. ἔοικε δέ τινα παραλιπεῖν ἐνταῦθα ὁ τὰ Ἡρακλείδου ἐπιτεμών· ἐνδέχεται γὰρ τὴν ἐντελῆ γραφὴν ὑπάρξαι, « Ὅνπερ ὁ δῆμος ἐτιμω» ρήσατο τοῖς αὐτοῖς· ἐνέπρησε δὲ καὶ τὴν μητέρα κ. τ. λ. » ἵν' ᾖ ὁ νοῦς, ὅτι ἐν αὐτῷ τῷ ταύρῳ (ἢ καὶ ἐν τῇ ἰδίᾳ οἰκίᾳ) ἐνέπρησεν ὁ δῆμος τὸν Φάλαριν, καὶ τὴν μητέρα, καὶ τοὺς φίλους αὐτοῦ. παραπλήσιον δὲ τοῦτο τοῖς περὶ Διονυσίου τοῦ τυράννου ἱστορημένοις· κἀκείνῳ γὰρ, ταῖς Λοκρῶν θυγατράσιν ἀκολαστότερον χρησαμένῳ, τὴν ἴσην ἀπέδωκαν οἱ Λοκροὶ, μετὰ τὴν τῆς τυραννίδος κατάλυσιν, τήν τε γυναῖκα καὶ τὰς θυγατέρας αὐτοῦ καταπορνεύσαντες (Αἰλιαν. Ποικ. Ἱς. Θ, η). — Στ. 10, Ἀλκμάνης ..... Ἄλκανδρος.] Ἀλκαμένης γραπτέον εἶναι ὑπέλαβον οἱ πρὸ ἡμῶν ἀντὶ τοῦ Ἀλκμάνης. ὁ δὲ σχολιάσας τὸν Πίνδαρον (Ὀλυμπ. Β, 82, Γ, 68, Πυθ. ς, 4) οὔτε τοῦ Ἀλκμάνου, οὔτε τοῦ Ἀλκάνδρου μνημονεύει, ἀλλ' ἑτέροις ὀνόμασι καλεῖ τοὺς διαδεξαμένους τὸν τύραννον. — Στ. 11, Εὐθένησαν.] Ἐν ταῖς πρὸ τῆς ἡμετέρας ἐκδόσεσιν ἁπάσαις, πλὴν τῆς τελευταίας, ἐγράφετο, Εὐσθένησαν· ἴσως οὐ χεῖρον. τὸ δὲ Εὐθενῶ σημαίνει τὸ, Εὐτυχῶ, Εὐημερῶ, οὐδενὶ ἄλλῳ διαφέρον τοῦ Εὐθηνῶ, πλὴν τῷ ἀττικώτερον εἶναι ἐκείνου, εἰ χρὴ πιστεύειν τοῖς Γραμματικοῖς. ἀντὶ δὲ τῶν ὀνομάτων Εὐθένεια, Εὐθήνεια, ἢ Εὐθηνία, τὸ Εὐετηρία προελέσθαί φασι τοὺς Ἀττικούς. ἔσωσε δὲ καὶ ἡ συνήθεια τὴν Εὐθηνίαν, ἣν καὶ χυδαΐζουσα εἰς τὴν Φτήνιαν, παρέτρεψε, καθὰ καὶ τὸ Εὐθειάζω εἰς τὸ Φτιάζω, ἢ Φτιάνω. — Στ. 13, Κεφάλῳ.] Τὰ κατὰ τὸν Κέφαλον, τοῖς περὶ Ἀκραγαντίνων κακῶς ὑπὸ τῶν πρότερον συνημμένα, εἰς τοὺς Ἰθακησίους μετήνεγκεν ὁ πρὸ ἡμῶν ἐκδότης. — Ὧ ἂν ἐντύχῃ θήλει.] Προσετέθη τὸ, Θήλει, ἐκ τοῦ Ἐτυμολόγου (σελ. 144)· οὕτω γὰρ ἐκεῖνός φησιν, « Ἀρκείσιος, ὁ ἥρως, ὁ » πάππος Ὀδυσσέως...Ἀριστοτέλης δὲ ἐν τῇ Ἰθακησίων πολιτείᾳ, τὸν Κέφα-

» λον, οἰκοῦντα ἐν ταῖς ἀπ' αὐτοῦ κληθείσαις Κεφαληνίαις νήσοις, ἄπαιδα » ἐπὶ πολὺ ὄντα, ἐρόμενον τὸν θεὸν, κελευσθῆναι ᾧ ἂν ἐντύχῃ θήλει συγγε- » νέσθαι· παραγενόμενον δὲ εἰς τὴν πατρίδα, καὶ δὴ ἐντυχόντα ἄρκτῳ, κατὰ » (γρ. κατὰ τὸν) χρησμὸν συγγενέσθαι. τὴν δὲ, ἐγκύμονα γενομένην μετα- » βαλεῖν εἰς γυναῖκα, καὶ τεκεῖν παῖδα Ἀρκείσιον, ἀπὸ Ἄρκτου ». — Στ. 14, Τὸν δὲ περιτυχεῖν ἄρκῳ.] Οὐκ ἔτρεψα εἰς τὸ Ἄρκτῳ τὸ Ἄρκῳ, διὰ τὸ ἐνδέχεσθαι τὸν ἐπιτεμόντα τὰ Ἡρακλείδου ἄνευ τοῦ τ̄ γράψαι, εἴτε τοῦ ὀνόματος ἐκνικήσαντος ἤδη δίχα τοῦ τ̄ γράφεσθαι, εἴτε τὴν τοῦ Ἀρκείσιος πρὸς τὸ Ἄρκος συγγένειαν ἐκδηλοτέραν ποιῆσαι βουλόμενον· ὅτι δὲ ἐλέγετο Ἄρκτος καὶ Ἄρκος, ἐσημειώσατο καὶ ὁ Εὐστάθιος (Ὀδυσσ. Ε, σελ. 223), μαρτυρεῖ δὲ καὶ ἡ συνήθεια οὐκ ἀπὸ τῆς Ἄρκτου, ἀλλ' ἀπὸ τῆς Ἄρκου παραλαβοῦσα τὴν Ἀρκοῦδαν. — Στ. 15, Καὶ πλησιάσαντος γενέσθαι γυναῖκα.] Οὕτω γραπτέον εἶναι, ἀντὶ τοῦ, Καὶ πλησιάσαντα γεννῆσαι γυναῖκα, συνῆκε μὲν καὶ ὁ πρὸ ἡμῶν, καίπερ οὐ καταχωρίσας εἰς τὸ κείμενον, δῆλον δὲ καὶ ἐξ ὧν ἔφθημεν ἐξ Ἀριστοτέλους παραθέμενοι. — Στ. 18, Ὠνεῖται ταῦτα.] Τὸν πρεσβύτην καὶ τὴν πίτταν, ἢ ἣν τοῦ πρεσβύτου, καθὰ δῆλον ἐκ τοῦ Πλουτάρχου (Κεφαλ. Ἑλλ… λδ΄.), ὃς καὶ Πυῤῥίαν ὀνομάζει, τὸν παρὰ τῷ Ἡρακλείδῃ Παρίαν.

ΣΕΛ. 218, στ. 2, Ἐν τῇ ἀποστάσει.] Ἀπόστασις ἐνταῦθα σημαίνει, ὡς ἔδοξέ τισι τῶν πρὸ ἡμῶν, Ἀποθήκην, ἤγουν τόπον ἐπιτήδειον εἰς ἀπόθεσιν καὶ φυλακὴν τῶν εἰσαγομένων πωλήσεως ἕνεκα φορτίων· ἐπεὶ καὶ, Οἰνικαὶ ἀποστάσεις, ἰδίως οὕτω λεγόμεναι, εὕρηνται παρὰ τῷ Σουΐδᾳ (λέξ. Κριός· ἔπιθι καὶ τὰς εἰς Σουΐδαν καὶ Ἡσύχιον διορθώσεις τοῦ Τουπίου, Τομ. Α, σελ. 364). μνημονεύει τῶν Ἀποστάσεων καὶ ὁ τὸν Ἀριστοφάνην (Ἱππ. 997) σχολιάσας. ἦσαν δ' αὗται περὶ τοὺς λιμένας, ἢ δῆλον καὶ ἐκ τοῦ Στράβωνος (σελ. 794) ἐν οἷς φησι, περὶ τῆς κατ' Αἴγυπτον Ἀλεξανδρείας τὸν λόγον ποιούμενος, «Εἶτα τὸ Καισάριον, καὶ τὸ ἐμπορεῖον, καὶ ἀποςάσεις· μετὰ ταῦτα » τὰ νεώρια μέχρι τοῦ ἑπτασταδίου· ταῦτα μὲν τὰ περὶ τὸν μέγαν λιμένα » κ. τ. λ.». Καὶ ἡ Ἐξαίρεσις δὲ ταὐτὸν ἔοικε δηλοῦν τῇ Ἀποστάσει· ἦν δὲ « τόπος τις Ἀθήνησιν, ἔνθα ὑπεξαιρούμενοι τὰ φορτία ἀπετίθεντο.» καθά φησιν ὁ Ἐτυμολόγος (σελ. 347) — ΙΑΣΕΩΝ.] Τὴν Ἴασον, Καρικὴν πόλιν, καὶ τοὺς παρὰ ταύτην Ἰασέας, οὕτως ἐκφέρει καὶ Ἀθήναιος, καί τινα τῶν ἀρχαίων νομισμάτων· Πολύβιος δὲ, Στράβων, καὶ ἄλλοι διὰ διπλοῦ τοῦ σ̄. Στ. 8, Ἰχθυοῦσσα.] Ἔγραψα διὰ διπλοῦ τοῦ σ̄, διὰ τὰ πρόσθεν εἰρημένα (σελ. 354) — Διὰ τὸ κάλλος τῶν .... ἰχθύων.] Ἄμεινον γράφειν, Διὰ τὸ πλῆθος τῶν ἰχθύων, ὡς γράφεται καὶ παρὰ τῷ Ἀθηναίῳ (Α, σελ. 30). καὶ αὐτὸς δὲ Ἡρακλείδης ἀνωτέρω (σελ. 216) Ὀφιοῦσσαν ἔφη κληθῆναι τὴν Ῥόδον, διὰ τὸ ΠΛΗΘΟΣ τῶν ἐνόντων ὄφεων. — Στ. 11, Μετὰ τοῦ πατρός.] Οὕτως ἐν ἀρχαίᾳ τινὶ ἐκδόσει ὀρθῶς, ἀντὶ τοῦ, Κατὰ τοῦ πατρός· Δαίδαλος δ' ὁ πατὴρ ἦν ὁ δείξας τὴν εἰς τὸν Λαβύρινθον εἴσοδον τῷ Θησεῖ. — Στ. 12, Εἰς Λαβύρινθον.] Γράφε ἐνάρθρως, εἰς τὸν Λαβύρινθον. — Στ. 18, Καὶ Θηβαίοις, οὖσι φειδωλοῖς, πολλὰ ὤφειλον.] Ἔπιθι τὰ εἰς τὸν Αἰλιανὸν (Ι, ιδ΄, σελ. 323) σημειωθέντα μοι, περὶ τῶν ἐκ τῆς ἀργίας κακῶν.

*

# ΣΗΜΕΙΩΣΕΙΣ ΕΙΣ ΤΑ ΕΚ ΤΩΝ

# ΝΙΚΟΛΑΟΥ ΤΟΥ ΔΑΜΑΣΚΗΝΟΥ.

ΣΕΛ. 211, στ. 1, Ἀντίπατρος, Νικολάου.] Οὐ μόνον ταῦτα μέχρι τοῦ « Ἐπὶ τὴν ὡς ἀληθῶς πατρῴαν ἑστίαν ἐπανελθόντας φιλοσοφεῖν (σελ. 223, » στ. 12) » ἐκ τοῦ Σουΐδα (λέξ. Ἀντίπατρος, καὶ Νικόλαος) ληφθέντα, ἀλλὰ καὶ τὰ ἑξῆς (σελ. 224, στ. 22) ἀπὸ τοῦ, « Καὶ παρακαλέσας οἷα δὴ φι» λόσοφον » μέχρι τοῦ, « Ἐχρῆτο οὐδὲν χείροσιν ἢ φίλοις (σελ. 228, στ. 18) » ἐκ τῶν Κωνσταντίνου τοῦ Πορφυρογεννήτου περὶ Ἀρετῆς καὶ κακίας ἐπιγραφομένων παρεκβολῶν, κακῶς ὑπέλαβεν ὁ πρῶτος ἐκδοὺς αὐτοῦ Νικολάου εἶναι, τούτῳ μόνῳ χρησάμενος τεκμηρίῳ τῷ ὑπὸ τοῦ Σουΐδα λεχθέντι, ὅτι Νικόλαος ἔγραψε καὶ περὶ τοῦ ἰδίου βίου καὶ τῆς ἑαυτοῦ ἀγωγῆς. εἰκὸς γὰρ τὸν μὲν ὑπὸ Νικολάου γραφέντα βίον ἑαυτοῦ, χρόνου παρανάλωμα γεγονέναι, καθὰ καὶ τὰ πλεῖστα τῶν Νικολάου· τὰ δὲ περὶ αὐτοῦ ἐπὶ τοῦ παρόντος σωζόμενα ταῦτα, ἧπερ ὀρθῶς ἐσημειώσατο ὁ πρὸ ἡμῶν ἐκδότης, τῶν Νικολάου φίλων ἢ μαθητῶν τινι συγγραφῆναι. διὸ καὶ ἡμεῖς οὐκ ὠκνήσαμεν αὐτὰ τῶν λοιπῶν διαστεῖλαι. — Στ. 7, Ὤκνησε δὲ μυρία τούτῳ.] Πρὸς τὸ, Λόγου δεινότητι, ἀναφέρεται τὸ, Τούτῳ. — Στ. 20, Τοῦ Ἰουδαίων.] Τυπογράφων ἀβλεψίᾳ παρελείφθη τὸ δεύτερον ἄρθρον. γράφε τοίνυν ὡς παρὰ τῷ Σουΐδᾳ γράφεται, Τοῦ τῶν Ἰουδαίων.

ΣΕΛ. 222, στ. 1, Καὶ Πλατωνικός.] Γράφεται παρὰ τῷ Σουΐδᾳ, Ἢ Πλατωνικός. ἔτρεψα δὲ τὸν διαζευκτικὸν εἰς τὸν συμπλεκτικόν· τὸ μὲν γὰρ Περιπατητικὸν οὐδὲν κωλύει καὶ Πλατωνικὸν ἅμα γεγονέναι· ὁ δὲ λέγων ἐν τοῖς ἑξῆς Σουΐδας ζηλωτὴν μάλιστα γενέσθαι Ἀριστοτέλους, διὰ τὸ ποικίλον τῆς περὶ τὸν ἄνδρα παιδείας, οὐκ ἂν εἰκότως, οἱονεὶ διστάζων, Περιπατητικὸν ἢ Πλατωνικὸν, ἐνταῦθά γε τὸν Νικόλαον ὀνομάζοι. — Ἐν βιβλίοις ὀγδοήκοντα.] Ὁ δὲ Ἀθήναιος (σελ. 249) ἑκατὸν καὶ τεσσαράκοντα πρὸς ταῖς τέσσαρσι βίβλους συγγεγραφέναι φησὶ τὸν Νικόλαον. — Στ. 4, Πλακοῦντας.] Ἠπόρηται, διὰ τί ὁ μὲν Σουΐδας καὶ ὁ Φώτιος Πλακοῦντας καλοῦσι τοὺς ὑπὸ τοῦ Νικολάου τῷ Καίσαρι πεμπομένους, Φοινικοβαλάνους δὲ, ὅ τε Πλούταρχος καὶ ὁ Ἀθήναιος. καὶ ἔστι φάναι ὅτι παλάθας φοινίκων ἦσαν τὰ πεμπόμενα σχῆμα ἔχουσαι πλακούντων, οἷαι καὶ παρ' ἡμῖν εἰσι νῦν αἱ τῶν ἰσχάδων παλάθαι, προσεμφερῶς τοῖς πλακοῦσιν ὑπὸ τῶν χωρικῶν κατασκευαζόμεναι καὶ οἵας τὸ πάλαι, καθὰ φησὶ Θεόφραστος (περὶ φυτῶν, Δ, γ'), κατεσκεύαζον οἱ περὶ τὴν Θηβαΐδα κατοικοῦντες, τὸν τῆς κοκκυμηλέας καρπὸν ξηραίνοντες καὶ τὸν πυρῆνα ἐξαιροῦντες. — Ἤγουν μελιτούττας.] Περίγραφε τὰς δύο ταύτας λέξεις, ὡς κακὴν κακῶς προστεθεῖσαν ἑρμηνείαν παρά τινος· λείπουσι γὰρ καὶ ἔν τινι τῶν τοῦ Σουΐδα ἀντιγράφων, ᾗ φησιν ὁ Κυσέρος. — Στ. 7, Ἐν τῇ ὕλῃ.]

Παρὰ τῷ Σουίδᾳ κακῶς, Ἐν τῇ ἄλλῃ. διορθωσάμην ἐκ τῶν Παρεκβολῶν Οὐαλεσίου (σελ. 414). — Στ. 14, Τραγῳδίας ἐποίει καὶ κωμῳδίας.] Τραγῳδίας Νικολάου ἐπιγραφομένης, Σωσανίδος, μνημονεύει Εὐστάθιος (Παρεκβ. εἰς Διον τὸν Περιηγ. 980)· κωμῳδίας δὲ λείψανον ἔοικεν εἶναι τὸ παρὰ τῷ Στοβαίῳ (σελ. 148) Περὶ παρασίτων, ὃ, καὶ ἡμεῖς, ἀκολουθήσαντες τῷ πρὸ ἡμῶν ἐκδότῃ, τοῖς λοιποῖς τοῦ Νικολάου λειψάνοις ἐν τοῖς ἑξῆς (σελ. 281) συνετάξαμεν.

ΣΕΛ. 223, στ. 11, Ἐπὶ τὴν ὡς ἀληθῶς πατρῴαν ἑστίαν ἐπανελθόντας φιλοσοφεῖν.] Διωρθωσάμην τὸ τοῦ Σουίδα, Ἀνελθόντας, τρέψας εἰς τὸ, Ἐπανελθόντας, οὕτω γράψαντος καὶ τοῦ πρὸ ἡμῶν. δήλη δὲ ἄλλως ἡ τῆς γραφῆς ὀρθότης καὶ ἐξ ὧν μικρῷ πρόσθεν εἴρηκε.

ΣΕΛ. 224, στ. 18, Πλακουντίων.] Οὕτως ἔγραψα ἀντὶ τοῦ, Πλακούντων, διὰ τὸ ἐπαγόμενον οὐδέτερον ἄρθρον. — Στ. 19, Δεξιουμένου.] Ἐκ τῶν διαφόρων γραφῶν καὶ σημειώσεων Οἰσχελίου ἀντὶ τοῦ, Ἐξισουμένου. — Στ. 20, Ὅσα παλαιᾶς μνήμης ἀναγνωσμάτων ἐχόμενα]. Ἐκ τῶν αὐτῶν, ἀντὶ τοῦ, Ὅσα παλαιὰν μνήμην ἀναγνωσμάτων ἔχομεν.

ΣΕΛ. 225, στ. 9, Ἥκοντα δὲ τὸν Νικόλαον δεόμενοι.] Οὐκ ἔῤῥωται τὰ τῆς συντάξεως, ἴσως διὰ γραφικὸν ἁμάρτημα· ὤφειλε γὰρ εἶναι, Ἥκοντος τοῦ Νικολάου ἐδεήθησαν. — Στ. 24, Πάλιν διαμεθείς.] Ἢ τοῦτο τὸ, Πάλιν, διαγραπτέον, ἢ τὸ ἐχόμενον. — Στ. 26, Ἐξαλλαττόντων.] Ἴσως ἐγέγραπτο, Ἐξαπατώντων.

ΣΕΛ. 226, στ. 10, Ἐπήγετο.] Διωρθωσάμην, τὸ σόλοικον, Ἐπῆγε· χρεία γὰρ ἐνταῦθα τοῦ μέσου, Ἐπήγετο, ὅπερ ἀναλύεται εἰς τὸ, Ἐπῆγε μεθ' ἑαυτοῦ. μακρῷ δ' ἂν ἄμεινον ἑλληνίζοις, εἰ γράφοις, Συνεπήγετο, περιελὼν τὸ ἐχόμενον, Ὁμοῦ. — Στ. 13, Θᾶττον δὲ λαμπρότατα ἐφιλοτιμήθη.] Ὁ μὲν νοῦς πρόδηλος· ἡ δὲ λέξις οὐκ ἔῤῥωται, διὰ τοὺς γράψαντας ἴσως. — Στ. 15, Ἡδονῆς δ' (ὃ τάχα τῷ θαυμαστὸν ἂν εἴη) ἡστινοσοῦν κατεφρόνει.] Οὐκ εἶχον ὅπως ἄλλως διορθωσαίμην τὴν παρ' ἅπασιν ἡμαρτημένην ταύτην γραφὴν, « Ἡδονῆς δὲ τάχα τῷ θαυμαστὸν ᾖ, εἴ τινος οὖν κατεφρόνει ». ὁ νοῦς, Ἡδονῆς δὲ (ὃ τάχα τινὶ θαυμαστὸν ἂν δόξειεν) ὁποιασδήποτε κατεφρόνει.

ΣΕΛ. 227, στ. 3, Καὶ ταῖς πρὸς τοὺς ἰδιώτας κοινωνίαις.] Ἐγράφετο, Ἢ ταῖς πρὸς τοὺς κ. τ. λ. — Στ. 6, Ἀλλ' ὅ, τι ἂν ὁμολογήσειε] Ἐγράφετο, Ἀλλ' ὅ, τι ἂν ὁμολογήσῃ. — Στ. 9, Καὶ διατριβῶν . . . . . . . πόνου δ' ἀλλότριον.] Ἀσαφῆ ταῦτα, πρὸς δὲ, καὶ διορθώσεως ἀνεπίδεκτα, διὰ τὴν τῶν δύο σελίδων ἔλλειψιν. — Στ. 14, Χρήσεται γὰρ αὐτοῖς ἀφύρτως.] Σημείωσαι τὸ Ἀφύρτως ἐπὶ τοῦ, Ἀσυγχύτως, ἐν οὐδενί πω εὑρεθὲν, ἢ ἐν τῷ παρόντι βίῳ τοῦ Νικολάου, σωζόμενον ἐν τῷ ἐπιῤῥηματικῷ Ἄφυρτα τῆς συνηθείας, ἣ καὶ τὸ ἐπίθετον, Ἄφυρτος, ἐφύλαξε. παρὰ τὸ Φύρω, περὶ οὗ ἔπιθι τὰ σημειωθέντα μοι εἰς τὸν Αἰλιανὸν (σελ. 328). — Στ. 16, Εἰς οὐδὲν ἄτοπον ἐχρήσατο, ἀλλ' εἰς κ. τ. λ.] Οὕτω διωρθώσατο Οὐαλέσιος τὴν ἡμαρτημένην γραφὴν, Εἰς οὐδένα τρόπον ἐχρήσατο ἀλλ' εἰς· ἥν γε μὴν ἔχοις ἂν καὶ οὕτω διορθοῦν, « Εἰς οὐδὲν πρότερον ἐχρήσατο ἀλλ', ἢ εἰς » παραβάλλων τῇ ἑξῆς (σελ. 254, στ. 21) φράσει.

ΣΕΛ. 228, στ. 1, Τῶν ἐν Ῥώμῃ εἰς ὧν οὐδαμῶς ᾔει.] Ἐγράφετο

ἀσυναρτήτως, Τῶν ἐν Ῥώμῃ οὐδαμῶς ᾔει, ὡς δῆλον αὐτόθεν εἶναι παραλελεῖφθαί τι τοῖς ἀντιγραφεῦσι. τοῦτο δὲ ὁ μὲν Οὐαλέσιος ἀνεπλήρου οὕτως, Τῶν ἐν Ῥώμῃ, ὧν εἰς τὰς οἰκίας οὐδαμῶς ᾔει· ἡμεῖς δὲ ἱκανὰς εἶναι τὰς δύο μόνας λέξεις, Εἰς ὧν, ὑπειλήφαμεν, ἀναμνησθέντες τὸ τοῦ Σταγειρίτου, « Τὸ δι' ὀλίγων γινόμενον μάτην διὰ πολλῶν γίνεται ». — Στ. 10, Ἀπολείπων. ] Ἔτρεψα τὸν ἀόριστον, Ἀπολιπὼν, εἰς τὸν ἐνεστῶτα. — Στ. 13, Φυομένους. ] Παρείληφα τὴν τοῦ Οὐαλεσίου διόρθωσιν, ἀντὶ τοῦ, Φυομένοις.

ΣΕΛ. 229, στ. 19, Ἐπὶ Ἀρταίου. ] Οὕτω διωρθοῦσθαι παραινεῖ Οὐαλέσιος, ἀντὶ τοῦ, Ἐπὶ Ἀρβάκου· δῆλον δὲ καὶ ἐκ τῶν ἐχομένων. — Στ. 25, Νάναρον. ] Νάναρον γραπτέον εἶναι ἀντὶ τοῦ Νάνυβρον, οἵ τε πρὸ ἡμῶν συνῆκαν, καὶ μαρτυρεῖ τὰ ἐχόμενα.

ΣΕΛ. 230, στ. 8, Εἴτις αὐτῷ Παρσώνδην συλλαβὼν ἄγοι. ] Ἐγράφετο Ἄγῃ· ἴσως ἐξ ἑτέρας γραφῆς, τῆς Ἀγάγῃ. — Στ. 13, Βοῇ τε καὶ ἀλαλητῷ χρῆσθαι. ] Ἐγράφετο κάκιστα, Βοῇ τε ἀλαλήτῳ χρῆσθαι, ὅπερ διωρθωσάμην τῇ προσθήκῃ τοῦ, Καὶ, καὶ τῇ τροπῇ τοῦ ἐπιθέτου εἰς οὐσιαστικόν. Ἀλαλητὸς δέ ἐστιν ὁ θόρυβος, καθὰ ἐῤῥέθη καὶ ἐν ταῖς εἰς τὸν Ἡλιόδωρον σημειώσεσι (σελ. 121). — Ὡς δὴ τὰ θηρία σοβήσων. ] Ἐγράφετο, Σοβήσειν. — Στ. 25, Οἶνόν τε ἥδιστον πίνειν ἐπέχεον. ] Ἔγραψα, Ἐπέχεον, ἀντὶ τοῦ, Ὑπέχεον.

ΣΕΛ. 231, στ. 3, Ὑπ' ἐμοῦ πάλαι ἔπαθες. ] Ἐγράφετο κακῶς, Ὑπὲρ ἐμοῦ κ. τ. λ. — Στ. 13, Καθυπεστιβισμένος. ] Ὑπογεγραμμένος τῷ Στίβι, περὶ οὗ ἔπιθι τὰ εἰς τὸν Ἡλιόδωρον ( σελ. 335 ) σημειωθέντα μοι. — Στ. 19, Τὴν Μύλιττα. ] Παρείληφα ἐξ Ἡροδότου ( Α, ρλά ), δόξαν τοῦτο καὶ τῷ ἐμῷ φίλῳ Κλαυερίῳ, τὸ, Μύλιττα, ἀντὶ τῆς προτέρας γραφῆς, Μόλιν. — Στ. 20, Τὸν τὰς μουσουργοὺς πεπιστευμένον Περὶ τοῦ πλήθους τῶν παρὰ τοῖς βαρβάροις μουσουργῶν, ἔπιθι τὸν Σουΐδαν ( λέξ. Μουσουργοί). — Στ. 22, Κισηρίσας. ] Κισηρίζω, ἢ Κισσηρίζω ( διφορεῖται γὰρ τὰ τῆς γραφῆς ), ἐστὶ τὸ ἐν τῇ συνηθείᾳ διὰ συνθέτου λέξεως λεγόμενον Κισσαροκαθαρίζω, τουτέστι διὰ Κισσήρεως, (ἣν ἡ αὐτὴ συνήθεια Κίσσαρον, ἢ Κισσάριον οὐδετέρως, ἢ Ἐλαφρόπετραν, καλεῖ ) λεαίνω καὶ λαμπρύνω, τὸν ῥύπον ἀποξύων.

ΣΕΛ. 232, στ, 2, Ναναρῳ. ] Ἐγράφετο κἀνταῦθα Νανύβρῳ, εἴτε τῶν ἀντιγραψάντων, εἴτ' αὐτοῦ Νικολάου ἀβλεψίᾳ. — Στ. 19, Πέμπει τινὰ τῶν πιστοτάτων ἄγγαρον. ] Γραπτέον ἴσως τὴν τελευταίαν λέξιν Ἀγγάρων, εἰ καὶ Σουΐδας ( λέξ. Ἄγγαρος ), αὐτὸ τοῦτο παρατιθεὶς τὸ χωρίον, κατ' αἰτιατικὴν, γράφει. περὶ δὲ τῶν παρὰ Πέρσαις ἡμεροδρόμων, τῶν ἰδίως Ἀγγάρων, ἢ Ἀστανδῶν, καλουμένων, ἔπιθι τὸν Ἡρόδοτον ( Η, ϙή ) καὶ τὸν Ξενοφῶντα ( Κύρ. παιδ. Η, ς ), ἡ δὲ λέξις Περσικὴ, πολιτογραφηθεῖσα τοῖς ἀρχαίοις Ἕλλησι· παρ' ἣν οἱ μεταγενέστεροι καὶ ῥῆμα ἐσχημάτισαν τὸ, Ἀγγαρεύω, ᾧ πρῶτος ἔοικε χρήσασθαι Μένανδρος, καὶ χρώμεθα μέχρι δεῦρο ἐν τῇ συνηθείᾳ, ἐπὶ τοῦ ἄκοντά τί τινα καὶ ἀμισθὶ καθυπηρετεῖν βιάζομαι. — Στ. 22, Οὐδαμοῦ ἔφη. ] Ἐγράφετο ἡμαρτημένως μετὰ τοῦ

συνδέσμου, Καὶ οὐδαμοῦ ἔφη. — Στ. 29, Λαϐόμενον.] Ἐγράφετο σολοίκως, Λαϐόμενος.

ΣΕΛ. 233, στ. 2, Πεπονθέναι γὰρ ἂν . . . . . εἰ μὴ βασιλεὺς ὁ δεσπότης αὐτοῦ ὑπερέσχε τὴν δεξιάν.] Προσέθηκα τὸν, Ἂν, τρέψας καὶ τὸ, Ὑπέρσχοι, εἰς τὸ, Ὑπερέσχε. — Στ. 6, Ἑκατὸν καὶ πεντήκοντα.] Τοσαύτας ἀριθμεῖ καὶ ὁ τὰ Περσικὰ συγγράψας Κτησίας (παρ' Ἀθήν. ΙΒ, σελ. 530) τὰς μουσουργοὺς τοῦ Ναννάρου, ὃν ἐκεῖνος Ἄνναρον ὀνομάζει. — Στ. 14, Ἀρα καὶ βούλει.] Ἴσως γραπτέον, Ἆρα γε βούλει. — Στ. 26, Ἔνθα ἦν ὁ βασιλεὺς, δείκνυσιν αὐτῷ ὁ ἄγγαρος.] Προσέθηκα δὶς τὸ ἄρθρον. — Στ. 27, Ἐν ἀγνοίᾳ γενόμενος.] Ἐκ διορθώσεως τοῦ Οὐαλεσίου, ἀντὶ τοῦ, Ἐν ἀνοίᾳ γενόμενος. — Στ. 30, Ἤτοι ἀνάγκη.] Ἐγράφετο, Ἤτοι ἀνάγκη. — Στ. 31, Ἔτλην . . . ζῶν.] Γραπτέον, Ζῆν, ἀντὶ τοῦ Ζῶν· πρὸς γὰρ ἀπαρέμφατον φιλεῖ φέρεσθαι τὸ Τλῆμι, οἷον (Ἀριστοφάν. Πλοῦτ. 280),

. . . . . . . Φράσαι δ' οὔπω τέτληκας ἡμῖν.

Στ. 33, Ἔπειτα δὲ Νάναρον.] Ἄμεινον γράφειν, Ἔπειτα καὶ Νάναρον, ἢ, Ἔπειτα δὲ καὶ Νάναρον, διὰ τὸ προηγησάμενον, Ἅμα.

ΣΕΛ. 234, στ. 5, Καὶ ὁ βασιλεὺς ἀφίκετο.] Προσέθηκα τὸ ἄρθρον. — Στ. 13, Τέλος.] Σημείωσαι, ὃ καὶ πρὸ ἡμῶν ἐσημειώσατο ὁ Οὐαλέσιος, τὸ Τέλος, ἐνταῦθά τε κἀν τοῖς ἑξῆς, ἐπὶ τῆς ψήφου τεταγμένον ταύτην ἡ συνήθεια, Τέλος τῆς κρίσεως, ἢ, Ἀπόφασιν τοῦ κριτοῦ, λέγει. — Στ. 17, Καὶ ἀργυροῦ νομίσματος κ. τ. λ.] Ἴσως γραπτέον, Καὶ Παρσώνδῃ ἀργυροῦ νομίσματος· εἰκὸς γὰρ παραλελεῖφθαι τοῖς ἀντιγραφεῦσι τὸ ὄνομα τοῦ Παρσώνδου, ἢ δῆλόν ἐστι καὶ ἐκ τῶν ἐχομένων, « Παρσώνδῃ δὲ, ποινὴν ὧν ἔδρασεν, » ἑκατὸν τάλαντα ἀργυρίου ».

ΣΕΛ. 235, στ. 6, Καὶ εὗρε, καὶ ἠμύνατο.] Ἠμύνατο δὲ καὶ αὐτὸν τὸν βασιλέα Ἀρταῖον Παρσώνδης· περὶ ὧν ἀναγνώτω ὁ βουλόμενος Διόδωρον τὸν Σικελιώτην (Β, λγ'). — Στ. 9, Ἐπεὶ πλησίον γίνεται ὁ ἀνήρ]. Προσέθηκα τὸ ἄρθρον. — Στ. 18, Ὁ δὲ οἷα δὴ θαῤῥύνας αὐτόν.] Ἴσως ἐξαλειπτέαι αἱ δύο λέξεις, Οἷα δή. — Στ. 32, Τοῦτ' οὖν μεθέντι.] Ἄμεινον γράφειν κατ' αἰτιατικὴν, Μεθέντα.

ΣΕΛ. 236, στ 6, Σύ τε πάντων . . . . καὶ εἴης μακαρία] Ἔτρεψα τὸν, Δὲ, εἰς τὸν Τὲ, καὶ τὸ, Ἧς, εἰς τὸ, Εἴης — Στ. 11, Πεῖραν λάϐοις . . . . . τὸ ξίφος ᾔτει.] Περιττῶς καὶ συγκεχυμένως ἐγράφετο ταῦτα ὧδε, « Πεῖραν » λάϐοις, ἀλλὰ γάρ μοι παρήνεσας τοιοῦτον γενέσθαι. Ταῦτα γράψας ὑπὸ » τῷ προσκεφαλαίῳ τίθησιν· εἰς ᾅδου ἀπιὼν ἀνδρείως· σὺ γάρ μοι παρήνε» σας τοιοῦτον γενέσθαι. καὶ τὸ ξίφος ᾔτει ». διωρθωσάμεθα, ὡς ἐνεδέχετο ἀρκούντως, πρὸς τὸ εὐσύνετον. — Στ 18, Καὶ τὴν βασιλείαν ἔχειν.] Προσέθηκα τὸ ἄρθρον. — Στ. 23, Ἐϐασίλευεν.] Εἰς τοῦτο ἔτρεψα τὸ, Ἐϐασίλευσεν. — Στ. 24, Οἱ δὲ ἄνδρες ἤδη κατέλιπον τὰς γυναῖκας ὑπὸ ζηλοτυπίας κ. τ. λ.] Οὐ συνᾴδει τὰ λεγόμενα τοῖς παρὰ τῷ Ἀπολλοδώρῳ (Α, θ) μεμυθολογημένοις περὶ τῶν Λημνίων γυναικῶν. ἐνδέχεται τοίνυν ἐξ ἑτέρων μυθογράφων αὐτὰ παραλαϐεῖν τὸν Νικόλαον, ὡς ὑπείληφε καὶ ὁ πρὸ ἡμῶν ἐκδότης (ἐπεὶ μήθ' Ὅμηρος οἶδε τὸν εἰς τοὺς Λημνίους ὑπὸ τῶν γυ-

γαικῶν τολμηθέντα φόνον)· ἐνδέχεται δὲ καὶ τὴν γραφὴν ἡμαρτῆσθαι τοῖς ὕστερον, ὡδί πως ἔχουσαν τέως, Τοὺς δὲ ἄνδρας ἤδη κατέκτειναν (ἢ Κατέλυσαν) αἱ γυναῖκες ὑπὸ ζηλοτυπίας.

ΣΕΛ. 237, στ. 15, Κωλυούσης. ] Ἀντὶ τῆς ἡμετέρας ταύτης διορθώσεως ἐγράφετο, Καλούσης, ὃ κακῶς διωρθοῦτο Οὐαλέσιος γράφων, Ἀνακαλούσης. — Στ. 26, Ὁ βασιλεύσας πρῶτος τῶν Τρώων. ] Ἐγράφετο, Ὁ βασιλεὺς πρῶτος τῶν Τρώων, ἀπεναντίως τῇ τῶν Ἑλληνιζόντων χρήσει. — Στ. 31, Ἤσχυνεν. ] Ἐπὶ τῆς παρανόμου μίξεως τὸ Ἤσχυνεν, καθὰ καὶ τὸ ἐν τῇ συνηθείᾳ, Ἐντροπίασεν· ὃ δὴ καὶ ἐν τοῖς πρόσθεν (σελ. 312) σεσημείωται.

ΣΕΛ. 238, στ. 6, Τὰ κτήματα. ] Τὰ κτήνη ἐκδεκτέον ἐνταῦθα, καθὰ καὶ ἐν τῇ συνηθείᾳ· — Στ. 9, Πολλὰς δὲ στρατείας. ] Ἀνθυπέβαλον τῷ, Στρατιὰς, τὸ, Στρατείας, περὶ οὗ ἔπιθι τὰ εἰς τὸν Ἡλιόδωρον (Μέρ. Β, σελ. 296) εἰρημένα. — Στ. 11, Κράβον. ] Κράμβον γράφει ταύτην ὁ Σουΐδας (λεξ. Μόξος)· ἣν ὁ πρὸ ἐμοῦ ἐκδότης τὴν αὐτὴν εἰκάζει εἶναι τῇ παρὰ τῷ Στράβωνι (σελ. 666) καλουμένῃ Κραμβούσῃ, πόλει Λυκίας. — Στ. 17, Τιμὴν ἔταξε. ] Ἐπὶ τοῦ Ηὔξατο, τουτέστιν ὑπέσχετο, ἐνταῦθα τὸ Ἔταξεν· καθὰ καὶ ἐν τῇ συνηθείᾳ φαμὲν, « Ἔταξε νὰ πέμπῃ κατ' ἔτος δύο λαμπάδας » εἰς τὸν ἅγιον Γεώργιον ». ἡ αὐτὴ δὲ συνήθεια καὶ Τάγμα, καὶ Τάξιμον, λέγειν τὴν Εὐχήν. ὅθεν καὶ ὁ Ἡσύχιος « Εὐχὰς, τάγματα » φησίν, ὃ μὴ συνέντες οἱ κριτικοὶ, ἄλλος ἄλλως διορθοῦν ἐπεχείρησαν (ἔπιθι τὰς εἰς τὸν Ἡσύχ. σημ. Τομ. Α, σελ. 1537, καὶ τὰς Εὐνίου εἰς τὸν Ὅμηρον Ἰλιάδ. Β, 525, σημ.). ἔστι δὲ καὶ ἀρχαιοτέραν χρῆσιν τοῦ Τάγματος παραθέσθαι ἐξ Ἀριστοτέλους (Οἰκονομ. Β, σελ. 594), ἐν οἷς περὶ Διονυσίου τοῦ Σικελίας τυράννου φησὶν, ὅτι τῶν γυναικῶν « ἐκέλευσε τὴν βουλομένην χρυσοφορεῖν » τάγμα τι ἀνατιθέναι ἐν τῷ ἱερῷ ». οὐ μόνον δὲ ἐπὶ τῶν ἱερῶν τὸ Τάγμα καὶ τὸ Τάσσω, ἀλλὰ καὶ ἐπὶ πάσης ἁπλῶς ἐπαγγελίας καὶ ὑποσχέσεως, οἷον (Ἐρωτοκρίτ. σελ. 30),

Τριάντα πέμπει πᾶσα ἀργὰ καὶ τάσσει τως καὶ δῶρα.

Στ. 19, Καμβλίτας. ] Τοῦτον Κάμβλητα ὁ Ἀθήναιος (σελ 415), παρὰ τὴν Κάμβλης εὐθεῖαν, ὀνομάζει· Κάμβητα δὲ ὁ Αἰλιανὸς (Α, κζ), παρὰ τὴν Κάμβης. — Στ. 21, Ἐπιθύσαντα καταφαγεῖν. ] Οὐκ ὤκνησα τρέψαι τὸ, Ἐπιθυμήσαντα, εἰς τὸ, Ἐπιθύσαντα, ἀνθ' οὗ ὁ Ἀθήναιος (σελ 415) τῷ, Κατακρεουργήσαντα, ἐχρήσατο. — Στ. 30, Ἀμυθαονιδῶν. ] Οὕτως ἔγραψα ἀντὶ τοῦ, Ἀμαθαονιδῶν· δῆλον δὲ οὐ μόνον ἐκ τῆς Λατινικῆς μεταφράσεως, ἀλλὰ καὶ ἐκ τῆς μυθολογίας· Ἀμυθάων γὰρ ἐκαλεῖτο ὁ τοῦ γένους ἀρχηγός. — Τὸ παλαιὸν. ] Οὕτω γραπτέον, καὶ οὐχ ὡς ἐγράφετο τοῖς πρὸ ἡμῶν, ἐν τρισὶ λέξεσι, Τὸ πάλαι ὄν.

ΣΕΛ. 239, στ. 2, Αἰακίδῃσι. ] Ἐκ τοῦ Σουΐδα. (λεξ. Ἀλκή) ἡ γραφή, ἀντὶ τοῦ, Αἰακίδαισι. — Στ. 3, Ἀμυθαονίδαις ] Καὶ αὖθις κακῶς ἐγράφετο Ἀμαθαονίδαις, ᾗ δῆλον κἀκ τοῦ Σουΐδα (λεξ. Ἀλκή). — Πλοῦτον δὲ περ Ἀτρείδῃσι. ] Οὕτω καὶ Σουΐδας, ἀντὶ τῆς ἡμαρτημένης γραφῆς, Πλοῦτον δὲ παρ' Ἀτρείδῃσι. — Στ. 8, Ἐπὶ τῇ ἴσῃ καὶ ὁμοίᾳ συνεπήγετο. ] Ἔλιπεν ἐν τοῖς ἀντιγράφοις ἡ τελευταία λέξις, ἀνθ' ἧς ὁ πρῶτος ἐκδοὺς τὸν Νικόλαον,

ἀναπληρῶν διορθοῦτο, Ἤγε μεθ' ἑαυτοῦ. ταύτης τῆς διορθώσεως, καίπερ οὐδὲν πλέον δηλοῦσα ἡ ἡμετέρα, πολλῷ προέχει βραχύτητι, ἧς μάλιστα καταστοχάζεσθαι χρὴ τοὺς τὰς γραφικὰς ἁμαρτίας ἐπανορθοῦντας. — Στ. 16, Τῶν δὲ υἱῶν. ] Παρὰ τῷ Σουΐδᾳ (λεξ. Λυκάων) γράφεται, Τῶν δὲ υἱῶν αὐτοῦ. — Στ. 20, Ἱερείου. ] Ἐκ τοῦ Σουΐδα (Αὐτ.), ἀντὶ τῆς ἡμαρτημένης γραφῆς, Ἱεροῦ. — Στ. 21, Ῥαγέντων. ] Παρὰ τῷ Σουΐδα (Αὐτ.), Ἐκραγέντων. — Στ. 23, Ὅτι ὁ Ἱππομένης. ] Παράθες τοῖς ἀνωτέρω (σελ. 249) σημειωθεῖσι περὶ Ἱππομένους τὰ παρόντα.

ΣΕΛ. 240, στ. 2, Δείσασα μή μιν κατείπῃ. ] Ἐκ τοῦ Σουΐδα (λέξ. Ἀταλάντη) τὸ, Κατείπῃ, ἀντὶ τῆς ἡμαρτημένης γραφῆς, Κατείπει. — Στ. 3, Προσδιαβάλλει ] Διωρθωσάμην τὸ ἡμαρτημένως ἐνταῦθά τε καὶ παρὰ τῷ Σουΐδᾳ (Αὐτ.) γραφόμενον, Προσδιαβάλλει. — Στ, 7, Ἐχθρὸν ὄντα ἐκείνῳ. ] Ἐκ τοῦ Σουΐδα (Αὐτ.) τὸ Ἐκείνῳ, ἀντὶ τοῦ, Κἀκείνῳ. — Στ. 11, Τὸν θεὸν ἐρέσθαι. ] Προσέθηκα τὸ ἄρθρον· ὡρισμένον γὰρ θεὸν λέγειν βούλεται, τὸν Ἀπόλλωνα. — Στ. 18, Καὶ τὴν τότε κριθεῖσαν. ] Ἴσως γραπτέον, Καὶ τὴν τότε κρίσιν αὐτοῦ, τοῦ Λυκούργου δηλαδὴ, κρίναντος ἑαυτὸν διεργάσασθαι. — Στ. 27, Καὶ στιβεύειν ἐν ὄρεσι. ] Ἔτρεψα τὸ, Στιβεύων, εἰς τὸ, Στιβεύειν, τοῦτο βουλομένης τῆς τοῦ λόγου συντάξεως, καὶ παραινέσαντος τοῦ προτέρου ἐκδότου.

ΣΕΛ. 241, Στ. 2, Οἱδέ γέ τοι. ] Οὕτως ὁ Σουΐδας (λεξ. Λυκοῦργος), ἀντὶ τοῦ, Οἱ δή τε. — Στ. 3, Ἐναντίως. ] Ἐκ τοῦ Σουΐδα καὶ αὕτη ἡ γραφὴ, ἀντὶ τοῦ Ἐναντίον. — Στ. 8, Καταλαβὼν ἐσπάραττε. ] Παρὰ δὲ τῷ Σουΐδᾳ γράφεται, Καταβαλὼν ἐσπάραττε.

ΣΕΛ. 242, στ. 5, Ἁλουργῆ. ] Ἐλλειπτικῶς τοῦ ἱμάτια. ὁ δὲ Σουΐδας (λέξ. Μάγνης), Ἁλουργεῖ, κατὰ δοτικὴν ἑνικὴν γράφει, πρὸς τὸ Κόσμῳ, συνάπτων. — Στ. 6, Στροφίῳ ] Ἐγράφετο, ὡς καὶ παρὰ τῷ Σουΐδᾳ, Στρόφῳ, ἀνθ' οὗ παρείληφα τὸ Στροφίῳ, ἑτέρων διορθωσαμένων. — Στ. 7, Τούτου δὲ πολλοὶ μὲν καὶ ἄλλοι. ] Παρὰ δὲ τῷ Σουΐδᾳ, Τούτου μὲν καὶ ἄλλοι πολλοί. Στ, 10, Οἱ δὲ τούτων συγγενεῖς. ] Τῶν γυναικῶν δηλαδή. παρείληφα τὴν ἑτέρων διόρθωσιν ἀντὶ τῆς προτέρας γραφῆς, Οἱ δὲ τούτου συγγενεῖς. — Στ 17, Τέλος δὲ ] Παρὰ δὲ τῷ Σουΐδᾳ, Τέλος δὲ καὶ. — Στ. 19, Σαδυάττης. ] Κακῶς Ἀλυάττην τοῦτον ὀνομάζει Σουΐδας (λεξ. Ἀλυάττης). — Στ. 24, Δασκύλιον. ] Γράφεται καὶ διὰ διφθόγγου, Δασκύλειον. ἔστι δὲ πόλις Βιθυνίας, Δασκέλι τανῦν ὀνομαζόμενον, ὥς φησιν ὁ Μελέτιος — Στ. 30, Σαδυάττεω υἱός. ] Ἄρδυος μὲν οὖν, ἧ φησιν Ἡρόδοτος (Α, ιϛ). — Στ. 31, Εἰς ἄνδρας. ] Διωρθωσάμην ἐκ τοῦ Σουΐδα (λέξ. Ἀλυάττης), ἀντὶ τοῦ, Εἰς ἄνδρα.

ΣΕΛ. 243, στ. 1, Καὶ δικαιότατος. ] Παρὰ δὲ τῷ Σουΐδα (Αὐτ.) γράφεται, Καὶ δικαιότατος, καὶ ἀνδρικώτατος. — Στ. 4, Παρήγγειλε. ] Διωρθωσάμην ἐκ τοῦ Σουΐδα (Αὐτ. καὶ λέξ Κροῖσος), ἀντὶ τοῦ, Περιήγγειλε, — Στ. 11, Ἔμπορον. ] Ἐκ τοῦ Σουΐδα (λέξ. Κροῖσος), ἀντὶ τοῦ, Ἔπαρχον. — Στ. 20, Παμφάης ]. Ὀρθῶς ἐνταῦθα γράφεται, Παμφάης, παροξυτόνως. περὶ οὗ ἔπιθι τὰ εἰρημένα μοι εἰς τὸν Αἰλιανόν (σελ. 307).

ΣΕΛ. 244, στ. 12, Λυδῶν δὶς ἑπτά. ] Ἡρόδοτος (Α, πϛ), Λυδῶν δὶς ἑπτὰ παῖδας, φησί. καὶ ἴσως τοιαύτη ἦν παρὰ τῷ Νικολάῳ ἡ γραφή. —

Ὡς δὲ ἐθεάσαντο Λυδοί. ] Ἄμεινον γράφειν ἐνάρθρως, Οἱ Λυδοί. — Στ. 17, Τῆς πρὸς τοὺς ἀρχομένους φιλίας. ] Διορθωτέον εἶναί φησιν Οὐαλέσιος, τῆς παρὰ τῶν ἀρχομένων φιλίας. — Στ. 30, Ἡ σὴ εὐσέβεια. ] Οὐκ ἔῤῥωται τὸ χωρίον· ὤφειλε γὰρ κἀνταῦθα, ὡς ἐν τοῖς ἐχομένοις, πευστικῶς εἰπεῖν, Ποῦ ἐστιν ἡ σὴ εὐσέβεια; ἢ, Εἰς τί χρήσιμος ἡ σὴ εὐσέβεια; τουτέστι τί σε ὠφέλησε τὸ εὐσεβῆ γεγονέναι, ἐπειδὴ τοιούτῳ ὄντι οὐκ ἀμύνουσιν οἱ θεοί;

ΣΕΛ. 245 στ. 4, Οἴκτου πάντα ἀνέπλησεν. ] Ἔτρεψα τὸ, Ἐνέπλησεν, εἰς τὸ, Ἀνέπλησεν· τὸ μὲν γὰρ ἐπὶ τῆς κυρίας σημασίας τάττει ἡ χρῆσις, οἷον, « Ἐνέπλησε τὸν ἀσκὸν ὕδατος »· τὸ δὲ Ἀναπλήθειν ταῖς τροπικαῖς μᾶλλον ἐννοίαις ἁρμόζει (ἔπιθι τὰ σημειωθέντα ἀνωτέρω, σελ. 350). — Στ. 7, Ἀλλὰ προσδέχου με ταχύ. ] Ἔτρεψα τὸ, Μοι, εἰς τὸ Με. — Στ. 22, Καὶ μὴ συναπόλοιτο. ] Ἐκ διορθώσεως τοῦ Οὐαλεσίου, ἀντὶ τοῦ, Καὶ μὴ συναπόλλυται. — Στ. 29, Ἔντονόν τι φθεγξαμένη. ] Ἐπὶ τῆς σημασίας τοῦ Στιχηρὸν, Ἔμμετρον. τὸ Ἔντονον ἐνταῦθα· ἐφ' ἧς οὔπω κατεχωρίσθη ἐν τοῖς Λεξικοῖς. δῆλον δὲ καὶ ἐξ Ἡροδότου (Α, μζ), « Ἡ Πυθίη ἐν ἑξαμέτρῳ τόνῳ » λέγει τάδε » Τόνον λέγοντες τὴν ποιητικὴν τοῦ λόγου σύνθεσιν. καὶ αὐτὸ δὲ τὸ ῥῆμα Ἐντείνειν ἐπὶ τοῦ Στιχουργεῖν τετάχθαι οὐκ ἔστιν ὅστις ἠγνόηκεν.

ΣΕΛ. 246, στ. 6, Ἀνακαλεῖται πάλιν Σόλωνα. ] Ἴσως ἐγράφετο, Ἀνακαλεῖται τὸν Σόλωνα· πλὴν εἰ μή τι ἐξεῤῥύη τοῦ χωρίου, πρὸς ὃ συνάπτοιτο τὸ Πάλιν. — Στ. 13, Ἐξημμένην. ] Ἴσως Ἐξημμένη· σπάνιος γὰρ ἡ πρὸς αἰτιατικὴν σύνταξις τοῦ, Πρόσειμι. — Στ. 16, Χειμὼν.... ἐξ ἠοῦς, ] Ἢ τοπικῶς ἐκδεκτέον τὸ Ἐξ ἠοῦς, τουτέστιν, ἐκ τῆς Ἀνατολῆς ἤρξατο ὁ χειμὼν ἢ χρονικῶς καὶ ταυτοσήμως, τῷ Ἕωθεν, ἤγουν ἀπὸ πρωΐας, ὡς ἐξεδέξαντο καὶ οἱ μεταφράσαντες Λατινιστί. ἐνδέχεται μέντοι οὐδέτερον τούτων ἀληθὲς εἶναι, ἀλλὰ ἡμαρτῆσθαι τὴν γραφὴν, οὖσαν τὸ πάλαι, Χειμὼν ἐξαίσιος, καθὰ καὶ Πλάτων καὶ Ξενοφῶν καὶ Ἀριστοτέλης καὶ πλεῖστοι ἄλλοι φιλοῦσιν ἐπιθετικῶς συνάπτειν τὸ Ἐξαίσιος τῷ Χειμῶνι. — Στ. 18, Νεφούμενος πάντοθεν. ] Διέγραψα τὴν ἄρνησιν, ἣν πολλάκις οἱ ἀντιγραφεῖς ἀβλεπτοῦντες οὐ μόνον παραλείπουσι, καθά μοι εἴρηται ἐν ταῖς εἰς τὸν Ἱπποκράτην (Περὶ ἀέρ. ὑδ. τόπ. Τόμ. Β, σελ. 45,) σημειώσεσιν, ἀλλὰ κα προστιθέασιν, οὐδὲν δέον, μετὰ τὰς εἰς ον ληγούσας λέξεις. — Στ. 23, Καὶ καταπατουμένοις. ] Προσέθηκα τὸν σύνδεσμον. — Στ. 30, Καὶ ἀναμένει. ] Οὐκ ἀπιθάνως ὁ πρὸ ἡμῶν ἐκδότης γραπτέον εἶναι, Κελεῦσαι ἀναμένειν, ὑπείληφεν. Τόν γε μὴν Ζωροάστρην, Πέρσαι ἀπ' ἐκείνου διεῖπαν.... βεβαιωσάμενοι. ] Οὐκ ἔῤῥωται τὸ χωρίον. Οὐαλέσιος ᾤετο γραπτέον εἶναι, Τὸν γε μὴν Ζωροάστρην αἰδούμενοι Πέρσαι κ. τ. λ.

ΣΕΛ. 247. στ. 12, Ἐπήγετο. ] Διωρθωσάμην τὸ κακῶς γεγραμμένον, Ἀπήγετο. — Στ. 14, Ἐν ᾧ δὲ οὗτοι περὶ ταῦτα ἦσαν κ. τ λ. ] Ὅλον τουτὶ τὸ διήγημα μέχρι τοῦ, « Δίδωσι τῷ Φαυστύλῳ (σελ. 249, στ. 17,) » καὶ τὸ ἐχόμενον, « Ὅτι τοῦ Ῥωμύλου » μέχρι τέλους (σελ. 250, ), εὕρηται ὡς εἰπεῖν ἀπαραλλάκτως παρὰ τῷ Ἁλικαρνασσεῖ Διονυσίῳ (Ῥωμαϊκ. Ἀρχαιολογ. Βιβλ. Α, πβ - πδ, καὶ Βιβλ. Β, λβ - λδ), εἴτε τοῦ Νικολάου ταῦτα παρὰ τοῦ Διονυσίου λαβόντος, ὡς οἱ πλείους ὑπέλαβον, εἴθ' ὃ καὶ πιθανώτερον ἔμοι γε φαίνεται, τῶν ἀντιγραφέων τὰς ἐκ τοῦ Διονυσίου ταῖς ἐκ τοῦ

Νικολάου

Νικολάου παρεκβολαῖς ἐγκαταμιξάντων. οὐδὲ γὰρ εἰκὸς, οὕτως ὑπόγυιον Διονυσίου συγγράψαντος (κατὰ γὰρ τοὺς αὐτοὺς, ἢ γοῦν οὐ πολλῷ διεστηκότας ἀλλήλων, ἤκμασαν ἀμφότεροι χρόνους) τὸν Νικόλαον αὐταῖς λέξεσι τὰ ἐκείνου εἰς τὴν ἰδίαν μετενεγκεῖν ἱστορίαν, ἄνδρα τοῦ καθήκοντος προνοούμενον, ἄλλως τε καὶ Διονυσίου οὐ χεῖρον συγγράφειν οἷόν τε ὄντα. — Φαυστύλος.] Ἐνταῦθα καὶ δι' ὅλου τοῦ διηγήματος, ἀντὶ τοῦ Φαίστυλος ἔγραψα, καθὰ φέρεται παρὰ τῷ Διονυσίῳ, Φαυστύλος. ἔστι γὰρ Ῥωμαϊκὸν τὸ ὄνομα Faustulus ὑποκοριστικοῦ τύπου, ὡς ἄν τις ἐξελληνίσαι βουλόμενος εἴποι, Εὐτυχύλος, παρὰ τὸ Faustus, ὅ ἐστιν Εὐτυχής. — Στ. 15, Ἀμόλιον.] Ἐγράφετο κακῶς, Αἰμύλιον, ὃ μετεκόσμησα εἰς τὸ Ἀμόλιον, καθὰ γράφεται καὶ ἐν τοῖς ἑξῆς. ὁ δὲ Διονύσιος, Ἀμούλιον, γράφει. — Στ. 21, Φερόμενον.] Ἑτέρων διορθωσάντων παρὰ τῷ Διονυσίῳ, παρείληφα τὴν γραφὴν, ἀντὶ τοῦ, Λεγόμενον.

ΣΕΛ. 148, στ. 1, Εἰ μὴ λέξει τὰς ἀληθείας.] Ἐγράφετο, Τῆς ἀληθείας· ὅθεν ὁρμηθεὶς ὁ Οὐαλέσιος διωρθοῦτο, Τὰ τῆς ἀληθείας. προειλόμην μέντοι ἀποκαταστῆσαι τὴν παρὰ τῷ Διονυσίῳ τῷ Ἁλικαρνασσεῖ φερομένην γραφὴν, Τὰς ἀληθείας· καὶ γὰρ οὐ μόνον τὸ ἑνικὸν, Λέγειν τὴν ἀλήθειαν, ἀλλὰ καὶ τὸ πληθυντικὸν, Λέγειν τὰς ἀληθείας, δόκιμόν ἐστιν, ὃ καὶ Σουΐδας (λέξ. Ἀλήθεια) ἐπεσημειώσατο. ἡ δὲ χρῆσις, ἣν οὐδ' ἡ νῦν συνήθεια ἀπέστραπται, παρὰ Μενάνδρῳ μάλιστα καὶ Φιλήμονι τοῖς Κωμικοῖς. — Στ. 27, Ἐπιστρέψας κατήγορος γίνεται.] Ἀντὶ τοῦ Ἐπιστρέψας, φέρεται ἔν τισι τῶν ἀντιγράφων Διονυσίου, Ἐπιστρέψας, οὐκ ὀρθῶς. οὐχ' ἧττον δ' ἡμάρτηται καὶ ἡ μετὰ τὸ, Ἐπιστρέψας στίξις· ὁ γὰρ νοῦς, Ἐπιστραφεὶς ἐκ τῆς ὁδοῦ, ἣν ἐστέλλετο, ἢ, Μεταβαλὼν τὴν γνώμην, κατήγορος γίνεται κ. τ. λ.

ΣΕΛ. 249, στ. 10, Νομέτωρ.] Ἐγράφετο ἐνταῦθα Νεμέτωρ. παρὰ δὲ τῷ Διονυσίῳ δι' ὅλου, Νομίτωρ. — Στ. 30, Καινίνη καὶ ἄλλαι.] Ἐγράφετο κακῶς Κησίνη. παρὰ δὲ τῷ Διονυσίῳ φέρεται, Καινίνη, καὶ Ἄντεμνα, καὶ Κρουστομερία, ὡς εἶναι τὰς πάσας πόλεις τρεῖς. — Στ. 31, Πρόφασιν μὲν. . . . τὸ μὴ λαβεῖν. Προσέθηκα τὸν, Μὲν, ἐκ τοῦ Διονυσίου. λείπει δὲ παρ' ἐκείνῳ τὸ ἀπαγορευτικὸν, Μή. ὁποτέρως δὲ φράσαις (ὃ καὶ θαυμαστὸν ἄν τῳ δόξειεν ) ὁ αὐτὸς ἔσται τῶν λεγομένων νοῦς· τὸ μὲν γὰρ σημαίνει, Πρόφασιν ποιούμεναι τοῦθ' ὅτι βούλονται δίκας λαβεῖν· ἡ δὲ μετ' ἀπαγορεύσεως γραφὴ, Πρόφασιν ποιούμεναι τοῦθ' ὅτι δίκας οὐκ ἔλαβον.

ΣΕΛ. 250, στ. 5, Χρήμασι πλείοσι δυναμένους.] Οὐκ ἀπιθάνως εἰκάζουσί τινες τὴν ἀρχαίαν γραφὴν ὑπάρξαι, Χρήμασι πλεῖον δυναμένους. — Τῶν πλησιοχώρων. ] Προσέθηκα τὸ ἄρθρον ἐκ τοῦ Διονυσίου. — Στ. 13, Εἰ καθ' ἓν αἱ τρεῖς.] Καὶ τοῦτο ἐκ τοῦ Διονυσίου, ἀντὶ τοῦ, Εἰ καθ' ἕνα τρεῖς. ἔπιθι καὶ τὰς εἰς τὸν Ἡλιόδωρον σημειώσεις ( σελ. 74 ). — Στ. 17, Ἐνάγειν. Ἐξεστρατευμένων.] Ἡ γραφὴ ἐκ τοῦ Διονυσίου, ἀντὶ τῆς, « Ἐξάγειν. Ἐκστρατευομένων ». Ἐξάγειν μεν γὰρ τὸν πόλεμον ταὐτὸ δύναται τῷ τὴν στρατείαν ἤδη ποιεῖσθαι ἐπὶ τοὺς πολεμίους· Ἐνάγειν δέ τις λέγεται τὸν μήπω παρόντα πόλεμον, ἀναῤῥιπίζων αὐτὸν καὶ κηρύττειν προτρέπων. — Στ. 25, Μαχόμενος.] Οὕτω Διονύσιος, ἀντὶ τοῦ, Μαχόμενον. ] — Στ. 29, Γενόμενος κ. τ. λ.] Ἐκ τοῦ Διονυσίου, ἀντὶ τῆς ἡμαρτημένης γραφῆς, Γενομένης. — Στ. 33 Περιοίκων.] Τὴν μὲν γραφὴν, Ἀποίκων, ἐνταῦθά τε

καὶ παρὰ τῷ Διονυσίῳ, ἡμαρτῆσθαι καὶ οἱ πρὸ ἡμῶν εὖ μάλα συνῆκαν· κακῷ γε μὴν τὸ κακὸν ἰώμενοι, οἱ μὲν, Ἁλόντων, ἕτεροι δὲ, Ἀποθανόντων, ἄλλοι δὲ, Ἀποκτανθέντων, γραπτέον εἶναι ὑπειλήφασι. τῇ δὲ, Περιοίκων (ὡς ἡμεῖς διορθούμεθα), λέξει, τοὺς τῆς Καινίνης κατοίκους καὶ τοὺς συμμάχους αὐτῶν δηλοῖ, τοὺς ὑπὸ Ῥωμαίων καταπολεμηθέντας. — Ἀκροθίνια λαφύρων θεοῖς.] Ἐκ τοῦ Διονυσίου ἡ γραφὴ, ἀντὶ τοῦ, Ἀκροθίνια θεοῖς λαφύρων.

ΣΕΛ. 251, στ. 11, Διὰ δὲ τὸ μᾶλλον ἔτι ἔνδηλος γίνεσθαι.] Προσέθηκα τὸν, Δὲ, διαστίξας καὶ τὴν φράσιν τῶν προηγουμένων διὰ τὸ σαφέστερον, παρείληφα δὲ καὶ τὴν τοῦ πρὸ ἡμῶν ἐκδότου διόρθωσιν, Μᾶλλον ἔτι, ἀντὶ τοῦ, Μᾶλλόν τι. ἴσως καὶ ἀντὶ τοῦ, Ἔνδηλος γραπτέον Ἔκδηλος.—Στ. 12, Ὧν δὴ πρότερον οὐδὲ ὀνόματα ἠπίσταντο οἱ ἄνθρωποι, οὐδέ τινος ὑπήκοοι ἐγένοντο διὰ μνήμης, ἡμερωσάμενος, ὁπόσοι κ. τ. λ.] Ἔτρεψα τὸ, Δὲ, εἰς τὸ Δὴ, μετετόπισα δὲ, παραινέσαντος Οὐαλεσίου, καὶ τὸ, Ἡμερωσάμενος, ὅπερ ἀμέσως ἐγράφετο μετὰ τὸ, Ἄνθρωποι — Στ. 18, Περὶ δὴ τούτου . . . . ὡς ἂν εὐδοκιμεῖν ἐν καλοῖς ἔργοις ] Συγκέχυται τὰ τῆς συντάξεως. οὐκ ὀρθὸν δὲ οὐδὲ τὸ, Ὡς ἂν εὐδοκιμεῖν, ὅπερ Οὐαλέσιος εἰς τὸ, Ὡς ὂν εὐδοκιμεῖν, τρέπειν παρῄνει, ἡμῖν δὲ δοκεῖ γραπτέον εἶναι, Ὡς ἂν εὐδοκιμοῖεν.

ΣΕΛ. 252, στ. 6, Οἱ καταστάντες δ' ἐπίτροποι.] Προσέθηκα τὸ ἄρθρον. Στ. 10, Καὶ τοῖς ἀνδράσι πολὺς ἐγγίνεται θόρυβος. κ. τ. λ. ] Τὰ μὲν τῆς συντάξεως ἀνακόλουθα· ἥ γε μὴν γραφὴ οὐκ ἔοικεν ἡμαρτῆσθαι, καίπερ ἄλλως δόξαν Οὐαλεσίῳ, ὃς διωρθοῦτο, Καὶ, ὅπου τοῖς ἀνδράσι πολὺς ἐγγίνεται θόρυβος, ἐν πολλῷ ὁμίλῳ δημηγορήσας. κατὰ χώραν τοίνυν ἐῶν τὴν γραφὴν, τοιοῦτον εἶναι τῶν λεγομένων ὑπολαμβάνω τὸν νοῦν· Καῖσαρ ἐθαυμάσθη ὑπὸ Ῥωμαίων, φύσεως ἀκρότητα δηλώσας ἐν ἡλικίᾳ τοιαύτῃ· καὶ δημηγοροῦντος αὐτοῦ, θόρυβος ἐγγίνεται τοῖς ἀνδράσι, τουτέστιν ἐπεκρότησαν τοῖς παρὰ τοῦ νέου Καίσαρος δημηγορηθεῖσιν οἱ ἄνδρες ἤδη τὴν ἡλικίαν ὄντες. — Στ. 20, Ἔξω τοῦ ἄστεος προῄει.] Ἔτρεψα τὸ Προσῄει εἰς τὸ Προῄει.

ΣΕΛ 253, στ. 4, Διά τε εὐπρέπειαν καὶ λαμπρότητα εὐγενείας.] Ἐγράφετο ταυτολόγως, Εὐγένειαν, ὃ τρεπτέον εἶναι εἰς τὸ, Εὐπρέπειαν, ὑπηγόρευσάν μοι τα ἐχόμενα, «Εὐπρεπείᾳ καὶ λαμπρότητι γένους». — Στ. 10, Ὅτε παῖς ἦν, ἐφοίτα.] Ἦν, ἀντὶ τοῦ, Ὢν, ἐκ διορθώσεως τοῦ Οὐαλεσίου. — Στ. 12, Νόμῳ τε μόνον ἀνὴρ ἦν.] Καὶ τοῦτο ἐξ ἐκείνου, ἀντὶ τοῦ, Νόμων τε. . . . . — Στ. 16, Ἅτε δὴ πολλὰς γυναῖκας κ. τ. λ.] Ἐγράφετο ἀδιανοήτως, Ἀντηδὲ, ὃ τρέπω εἰς τὸ, Ἅτε δὴ, οὐ ταύτην εἶναι πεπεισμένος, ἀλλ' οὐκ ἔχων ἐπὶ τοῦ παρόντο ὅπως ἄλλως ἐξεύροιμι τὴν ἀρχαίαν γραφήν. — Στ. 20, Ἅτε εἰς τοὔμπροσθεν τῆς ἡλικίας προϊών.] Ἔγραψα, Προϊὼν, ἀντὶ τοῦ, Προσιών. — Στ. 29, Κεχειρωμένου μὲν τοὺς ἐν τῇ Εὐρώπῃ πολέμους.] Γραπτέον ἔοικε, Πολεμίους, ἀντὶ τοῦ, Πολέμους.

ΣΕΛ. 254, στ. 6, Τῆς στρατείας παρελύετο.] Ἐγράφετο, Τῆς τρατιᾶς· περὶ οὗ ἔπιθι τὰ εἰς τὸν Ἡλιόδωρον (σελ. 296). — Στ. 16, Οὐδέν πω πρότερον αἰτήσας.] Εἰς τοῦτο δεῖν ἔγνων τρέπειν τὸ, Οὐδέ πω πρότερον αἰτήσας. — Στ. 27, Στρατηγικοῖς.] Οὐκ ἀπιθάνως Οὐαλέσιος, Στρατιωτικοῖς, γραπτέον εἶναι ὑπολαμβάνει, ἐκ τοῦ τῷ Σουετονίῳ γραφέντος Βίου Αὐγούστου. — Στ. 33, Συνὼν δὲ ὁ παῖς αὐτῷ καὶ ἐν τοῖς θεάτροις καὶ κ. τ. λ.] Ἠκολούθηκα

τῇ διορθώσει τοῦ πρώτως ἐκδόντος, ἀντὶ τοῦ, «Καὶ ἐν τοῖς θεάτροις, συνὼν » δὲ ὁ παῖς αὐτῷ, καὶ ».

ΣΕΛ. 255, στ. 2, Μικρὸν ὅσρν ἤδη.] Διέγραψα τὸν κακῶς παρεμβληθέντα διαζευκτικόν, Ἤ, μεταξὺ τοῦ Μικρὸν, καὶ τοῦ Ὅσον. τὸ ἑξῆς, Καὶ τεθαῤῥηκὼς ἤδη μικρὸν ὅσον. — Στ. 13, Τούτου ἐπέτρεψεν ἐκείνῳ.] Οὕτω διορθοῦν παρῄνει ὁ Οὐαλέσιος, ἀντὶ τοῦ, Τούτῳ ἐπέτρεψεν ἐκείνου.

ΣΕΛ. 256, στ. 1, Διενοεῖτο ἐπαμῦναι τῷ πατρί.] Εἰς τὸ, Ἐπαμῦναι, θαῤῥῶν μετεποίησα τὸ Ἐπεῖναι, ὅπερ ὁ Οὐαλέσιος ὀρθῶς μὲν συνῆκεν ἀδιανόητον ὄν, οὐκ ὀρθῶς δ', ἐμοὶ δοκεῖν, εἰς τὸ, Ἐπεξιέναι, τρέπειν, παρῄνει. — Στ. 20, Τὴν ἐπιμέλειαν ἅμα καὶ σύντασιν, ὡς πρῶτος.] Ἀντὶ τοῦ, Σύνεσιν, οὐκ ὤκνησα γράψαι, Σύντασιν, τουτέστι τὴν τῆς πορείας σπουδήν, τοῦτο μὲν διὰ τὸ προηγησάμενον, « Συνέτεινε τὴν πορείαν, καὶ ἀπίστῳ τάχει χρησάμενος », τοῦτο δὲ, διὰ τὸ ἐπαγόμενον, « Ὡς πρῶτος τῶν ἐκ Ῥώμης ἐξεληλυθότων ἧκεν »· ἄλλως τε καὶ συνᾴδει ταῦτα τοῖς εἰρημένοις τῷ Σουετονίῳ, ἐν τῷ Αὐγούστου βίῳ, Super itineris indusram, ὅπερ οὐδέν ἐστιν ἀλλ' ἢ Τῆς πορείας σύντασις. τὸ δὲ, Ὡς πρῶτος, ἀντὶ τοῦ, Ὅτι πρῶτος, ἐκδεκτέον, πλὴν εἰ μή τις γράφειν προαιροῖτο, Ὃς πρῶτος, καθὰ παραινεῖ Οὐαλέσιος.

ΣΕΛ. 257, στ. 1, Εἰς τὴν Καρχηδόνα ] Τὴν κατ' Ἰβηρίαν Καρχηδόνα, οὐ τὴν Λιβυκὴν λέγει. — Στ. 5, Περὶ ὧν ἐνέτυχεν. Ἄλλοι τε ἡγεμόνες κ. τ. λ.] Οὕτω διωρθωσάμην τὸ ἀδιανοήτως γραφόμενον, Περὶ ὧν ἔτυχεν· ἄλλων τε ἡγεμόνες. ὁ νοῦς, Περὶ ὧν ἐνέτυχεν, ἤγουν ἐχρημάτισεν αὐτοῖς ὁ Καῖσαρ κ. τ. λ. εἴρηκε γὰρ ἀνωτέρω, ὡς ὁ Καῖσαρ ἧκεν εἰς Καρχηδόνα ἐντευξόμενος τοῖς χρήζουσιν, ὁ δὲ πρώτως ἐκδοὺς διωρθοῦτο, Οἱ δὲ περὶ ὧν ἔτυχεν ἄλλων. — Στ. 6, Προσφεύγουσι.] Ἐκ διορθώσεως τοῦ πρώτως ἐκδόντος, ἀντὶ τοῦ, Προσφέρουσι. — Στ. 11, Ὀνομάζοντας.] Εἰς τοῦτο δεῖν ἔγνων τρέψαι τὸ παρ' ἅπασι Νομίζοντας. — Στ. 23, Ἐν τῇ μετὰ ταύτην.] Ἐκ διορθώσεως τοῦ πρώτως ἐκδόντος, ἀντὶ τοῦ, Ἐν τῇ μετὰ ταῦτα. — Στ. 25, Ἐν ἔργοις.] Ἐναργῶς γραπτέον εἶναι ὁ πρώτως ἐκδοὺς ὑπείληφεν. — Στ. 31, Υἱοῦται.] Σημειοῦ τὴν λέξιν οὐ τοῦ ἀρχαίου κόμματος οὖσαν, ἧς ἡ χρῆσις πολλὴ καὶ παρὰ τῷ Αἰλιανῷ, καθά φησι Σουΐδας (λέξ. Υἱῶσαι).

ΣΕΛ. 258, στ. 30, Ἀποκρινόμενον.] Ἴσως, Ἀποκρινάμενον.

ΣΕΛ. 259, στ. 6, Διῆγεν.] Εἰς τοῦτο ἔτρεψα τὸ, Διήγετο.

ΣΕΛ. 260, στ. 1, Νικόλαος δὲ ὁ Δαμασκηνὸς κ. τ. λ.] Ἐνταῦθά τε κἀν τοῖς ἐχομένοις ὅσα παρελήφθη ἐξ Ἰωσήπου, διωρθωσάμεθα ἐξ αὐτοῦ τοῦ Ἰωσήπου, ἢ τῶν παρ' ἐκείνῳ διαφόρων γραφῶν, καθὰ καὶ τὰ ἐκ τοῦ Στεφάνου τε καὶ τοῦ Ἀθηναίου, ἐκ τῶν αὐτῶν. — Στ. 12, Τετάρτῃ ] Ἐν ἄλλοις γράφεται, Πέμπτῃ.

ΣΕΛ. 262, στ. 13, Βωταχίδαι.] Διὰ τοῦ π ὁ Παυσανίας (Η, 8), Πωταχίδας, ὀνομάζει τούτους. — Στ. 27, Ἐπικληθείσης.] Ἐν ἄλλοις γράφεται, Ἐπίκλησις· ὅθεν προήχθησάν τινες διορθοῦσθαι, γράφοντες, Ἐπίκλησιν. — Στ. 28, Ἐννάτῳ.] Ἐν ἄλλοις, Πέμπτῳ.

ΣΕΛ. 263, στ. 5, Μυσῶν τ' ἀγχεμάχων.] Ἐκ τῆς Ἰλιάδος ῥαψῳδίας Ν, 5. — Στ. 7, Τοῦ τῶν βασιλέως κ. τ. λ.] Ἔστι καὶ παρ' Ἡροδότῳ (Ε, 16) ἡ ἱστορία, παραλλάσσουσά γε μὴν τῆς παρούσης, ἣν ἔοικεν ὁ Νικόλαος

Ω 2

ἐκ Ξάνθου τοῦ τὰ Λυδιακὰ γράψαντος ἠρανίσθαι. — Στ. 24, Ἑβδόμῃ καὶ εἰκοστῇ.] Διωρθωσάμεθα ἐκ τοῦ Ἀθηναίου, ἀντὶ τοῦ, Ἑβδόμῃ καὶ ἑκατοστῇ, τῶν πρὸ ἡμῶν.

ΣΕΛ. 264, στ. 2, Μινυάδα.] Μιλυάδα ταύτην ὀνομάζουσι Στράβων τε καὶ Πλίνιος. — Στ. 15, Γλαυκόν.] Γλαυκὸν, οὐ, Γλυκὺ, γραπτέον εἶναι εἴκασε καὶ ὁ πρὸ ἐμοῦ ἐκδότης ἐκ τῆς Λατίνης τοῦ Γροτίου μεταφράσεως, καὶ ἔγραψε παρὰ τῷ Ἀθηναίῳ, ἐξ ἀντιγράφων ἀναλεξάμενος, ὁ τοῦ Ἀθηναίου σοφὸς ἐκδότης· τὸ δὲ περὶ τοῦ γλαυκοῦ ὕδατος ἱστορούμενον οὐ καινόν· πολλὰς γὰρ τοιαύτας οὐ μόνον ἀναβλύσεις οὐκ ὄντων, ἀλλὰ καὶ τῶν ὄντων μεταβολὰς ὑδάτων ὑπὸ σεισμῶν γῆς συμβαίνειν ἴσασιν οἱ τῆς φυσικῆς ἱστορίας ἐπιστήμονες, οἷον καὶ ἔναγχος, σεισθείσης τῆς Ἰταλίας, πηγῆς φασι, περὶ τὴν πόλιν Κάσινον, τὴν νῦν Ἅγιον Γερμανὸν (San Cermano), καλουμένην, εἰς θειώδες ἐκ ποτίμου τὸ ὕδωρ μεταβληθῆναι (ἴδ. τὰς τῶν Παρισίων ἐφημερίδας 24 καὶ 25 Αὐγούστου 1805). — Στ. 22, Κάλχαις.] Κάλχην ἐνταῦθα τὸ φυτὸν λέγει, τὸ παρ' ἄλλοις καλούμενον Βούφθαλμον, ἢ Χρυσάνθεμον. Κάλχην δ' ὁμωνύμως ἐκάλουν καὶ τῆς πορφύρας τὸν κόχλον, ἤ φησιν ὁ σχολιάσας τὸν Σοφοκλέα (Ἀντιγ. 20), ἐξ οὗ τὸ παρὰ τῷ τραγικῷ τούτῳ, Καλχαίνεται, ἀντὶ τοῦ, Πορφύρεται. ἐλέγετο δὲ καὶ μεταθέσει τῶν στοιχείων Κάχλη καὶ Χάλκη· περὶ ὧν ἔπιθι τὸν Σαλμάσιον (Περὶ ὁμωνύμ. ὑλ. ἰατρ. σελ. 29).

ΣΕΛ. 266, στ. 15, Μόνοι μετέχωσιν.] Ἐξ ἑτέρας γραφῆς τοῦ Ἰωσήπου, ἀντὶ τοῦ Μόνοι μετέλθωσιν. — Στ. 17, Τοῖς αὐτῶν ἔθεσι.] Ἐξ ἀμείνους ἑτέρας γραφῆς, ἀντὶ τοῦ, Τοῖς αὐτοῖς ἔθεσι.

ΣΕΛ. 267, στ. 2, Ἀρκεσίνην, Μινώαν, Αἰγιάλην.] Διὰ τοῦ μ̅ ὁ Σουΐδας (λεξ. Σιμμίας) Ἀρκεσίμην, τὴν Ἀρκεσίνην. ἕτεροι δὲ Μελανίαν ἀντὶ τῆς Ἀρκεσίνης καλοῦσι τὴν μίαν τῶν ἐν Ἀμοργῷ τριῶν πόλεων· τὴν δ' Αἰγιάλην, Αἰγιαλὸν ὁ αὐτὸς Σουΐδας ὀνομάζει. — Στ. 4, Νάξιος.] Οὕτω πάλαι διορθωσάμενος παρὰ τῷ Στεφάνῳ, ἀντὶ τῆς προτέρας γραφῆς, Ἄξιος, ἐνέτυχον ἔπειτα τῇ Λατίνῃ μεταφράσει τῶν Νικολαΐκῶν λειψάνων τοῦ Οὐαλεσίου, φερούσῃ Naxius, ὅ ἐστι, Νάξιος, καὶ οὐκ, Ἄξιος, καίπερ οὐδὲν ὅλως φήσαντες ἐν ταῖς σημειώσεσι περὶ τῆς ἡμαρτημένης γραφῆς, ἣν ἀπερισκέπτως ἐδέξαντο οὐ μόνον οἱ τὸν Στέφανον μεθερμηνεύσαντες, ἀλλὰ καὶ ὁ ἡμέτερος Μελέτιος ὁ Γεωγράφος (σελ. 490) « Ἀπὸ Καρκησίου, ἀνδρὸς ἀξιολόγου » φήσας. — Στ. 8, Παρωρεάτας.] Ὡσαύτως καὶ Ἡρόδοτος (Δ, ρμη, Η, ογ) Παρωρεάτας, καὶ Ἰωνικῶς, Παρωρεήτας ὀνομάζει τούτους.

ΣΕΛ. 268, στ. 22, Ὁ γὰρ Ἡρώδης πολλοῖς τοῖς ἀναλώμασι. . . . . πολυτελὲς τῇ δαπάνῃ] Προσέθηκα τοὺς ἑπτακαίδεκα τούτους στίχους (παραλειφθέντας τῷ Οὐαλεσίῳ) ἐκ τοῦ Ἰωσήπου, καθὰ καὶ ὁ πρὸ ἐμοῦ ἐκδότης, ὡς ἂν εὐδηλότερον γένοιτο τὸ ἱστορούμενον. ἐκ τοῦ αὐτοῦ δὲ Ἰωσήπου διωρθωσάμην, καὶ τῶν παρ' Οὐαλεσίῳ τὰ πλεῖστα. — Στ. 23, Χορηγίας.] Προσέθηκα τὸ καὶ ἐν αὐτῷ τῷ Ἰωσήπῳ παραλειφθὲν, Χορηγίας, τοῦ νοῦ πάντως ἀπαιτοῦντος τὴν λέξιν, ἄλλως τε καὶ ὑπαγορευομένην ὑπὸ τῶν ἐχομένων, « Εἰς ἅπαν ἐπαρκέσαι ταῖς χορηγίαις ».

ΣΕΛ. 270, στ. 17, Καὶ ὄφιν πηχῶν δέκα.] Σημείωσαι τὸ Πηχῶν τοῦ παρακμάζοντος ἑλληνισμοῦ, συναιρεθὲν ὡς τὸ Ἀληθῶν, εἴτε αὐτοῦ Στράβω-

νος οὕτω γράψαντος (ὡς εὕρηται νῦν παρ' αὐτῷ γεγραμμένον, σελ. 719), εἴτε καὶ παρὰ τοῦ Νικολάου παραλαβόντος τὴν γραφήν. ἦν δὲ ὁ Στράβων σύγχρονος σχεδὸν τῷ Νικολάῳ. — Στ. 18, Συνῆν δὲ ὥς φασι.] Ἄμεινον γράφειν, Ὥς φησι, τουτέστιν ὁ Νικόλαος· εἰκὸς γὰρ τὸν Στράβωνα, τοῖς Νικολάου ῥήμασιν ἔτι χρῆσθαι. — Στ. 23, Ἄλασθαι.] Εἰς τοῦτο, ἢ γοῦν εἰς τὸ Ἀλέσθαι, τρεπτέον τὸ, Ἄλλεσθαι. — Στ. 26, ΖΑΡΜΑΝΟΣ.] Ὁ δὲ Δίων Ζάρμαρον τοῦτον καλεῖ. — Στ. 29, ΑΠΑΘΑΝΑΤΙΣΑΣ.] Ὀρθῶς οὕτω παρὰ τῷ Οὐαλεσίῳ, ἀντὶ τῆς παρὰ τῷ Στράβωνι ἡμαρτημένης γραφῆς, Ἀποθανατίσας.

ΣΕΛ. 271, στ. 3, Τοὺς δὲ ἀκουσίως.] Διὰ χειμῶνα δηλονότι ἀναγκασθέντας προσχεῖν αὐτοῖς, ὡς ἐξηγεῖται ὁ πρὸ ἐμοῦ. ἀλλὰ μήποτε γραφικῶς ἡμάρτηται τὸ χωρίον· τὸν γὰρ τοὺς ναυαγοὺς δεχόμενον εἰκός ἐστι καὶ τοὺς ὑπὸ χειμῶνος ἐξωσθέντας εἰς τὴν αὐτοῦ δέχεσθαι, ἢ γοῦν μὴ κολάζειν. Θύνους δὲ λέγει τοὺς τὴν Θυνιάδα λεγομένην ἀκτὴν τὴν πρὸς Ἀπολλωνίᾳ καὶ Σαλμυδησσῷ κατέχοντας. — Στ. 4, Ἀρίτονοι.] Ἀριμασποὶ, γραπτέον εἶναι εἰκάζει ὁ πρὸ ἐμοῦ· ἴσως γε μὴν ἡ ἀρχαία γραφὴ ἦν, Ἀῤῥητῖνοι, ἀπὸ τοῦ Ἀῤῥητίου, Τυῤῥηνικῆς πόλεως (Στράβ. Ε, σελ. 226, καὶ Στέφ. Βυζάντ. λέξ. Ἀῤῥήτιον), τῆς νῦν ὑπὸ τῶν Ἰταλῶν καλουμένης Arezzo, ἧς τὰ κεράμεα τῶν ἀγγείων διεβεβόητο τὸ πάλαι, διὰ τοῦ πηλοῦ τὴν χρηστότητα, καὶ τῆς σκευασίας τὴν τέχνην (ἴδ. Πλίνιον Βιβλ. ΛΕ, ιβ, καὶ τοῦ Μαρτιάλου τὰ ἐπιγράμματα Α, νδ, καὶ ΙΔ, ϙη). — Στ. 5, Τῶν χρηστηρίων.] Χρηστήρια, τὰ πρὸς θεωρίαν ἢ θυσίαν σκεύη ὠνόμαζον· ἔπειτα δὲ καταχρηστικῶς, καὶ ἐπὶ τῶν κατ' οἰκίαν σκευῶν ἔταξαν τὸ ὄνομα, ὥς φησι Πολυδεύκης. — Στ. 6, Δαρδανεῖς.] Τὰ αὐτὰ περὶ τούτων ἱστορεῖ καὶ ὁ Αἰλιανὸς (Δ, α). — Στ. 13, Κοινὰ ἔχοντες τά τε κτήματα κ. τ. λ.] Πλὴν ξίφους καὶ ποτηρίου, καθά φησι Στράβων (Ζ, σελ. 300). Σαρδολίβυας δὲ οὐδὲν ὅλως κεκτῆσθαι πλὴν κύλικος καὶ μαχαίρας ἐρεῖ ἐν τοῖς ἑξῆς (σελ. 276). ὁ Νικόλαος.

ΣΕΛ. 272, στ. 1, Τὰ τῶν Ἑλλήνων νόμιμα.] Ταύτην ἀνθυποβαλεῖν τὴν γραφὴν οὐκ ὤκνησα τῇ προτέρᾳ, Τὰ τῶν ἄλλων νόμιμα. — Στ. 3, Μυσῶν τ' ἀγχεμάχων.] Ἐκ τῆς Ἰλιάδος (Ν, 5). — Στ. 13, Μέχρι Ἀθηνῶν καὶ Κιλικίας.] Οὐδεὶς πω, ὅσα γε ἐμὲ εἰδέναι, ἐξηγήσατο τί βούλεται λέγειν ὁ Νικόλαος διὰ τοῦ « Μέχρι Ἀθηνῶν καὶ Κιλικίας »· οὐδὲν γὰρ κοινὸν Ἀθήναις καὶ Κιλικίᾳ. ἔοικε δὲ τὴν ἐφ' ἑκάτερα τοῦ Τανάϊδος ἐκστρατείαν αἰνίττεσθαι, καὶ τῆς μὲν ἐπὶ τὴν Εὐρώπην ὅρον γεγονέναι λέγειν τὰς Ἀθήνας, ἧς ὁ Σικελιώτης Διόδωρος τὴν Θράκην φησί· Κιλικίαν δὲ τῆς ἐπὶ τὴν Ἀσίαν, ἧς ἐκεῖνος τὴν προσεχῆ Συρίαν ἔταξεν. ἵνα δὲ καταδηλότερον γένηται τὸ λεγόμενον, οὐ περιττὸν καὶ τὰς λέξεις αὐτὰς παραθεῖναι τοῦ Σικελιώτου (Β, μς') « Στρατεύσασαν δὲ [τὴν τῶν Ἀμαζόνων βασίλισσαν] εἰς τὴν πέραν » τοῦ Τανάϊδος ποταμοῦ χώραν, καταπολεμῆσαι πάντα τὰ ἔθνη μέχρι τῆς » Θράκης. . . . . στρατεῦσαι δὲ καὶ ἐπὶ θάτερα μέρη, καὶ πολλὴν τῆς Ἀσίας » κατακτήσασθαι, καὶ διατεῖναι τῇ δυνάμει μέχρι τῆς Συρίας ». μνημονεύει δὲ τῆς μέχρι Ἀθηνῶν ἐλάσεως τῶν Ἀμαζόνων (ἔτεσιν ὁμοῦ τι χιλίοις πρὸς τοῖς διακοσίοις γενομένης πρὸ τοῦ Χριστοῦ) καὶ Ἰσοκράτης (Παναθηναϊκ.) καὶ ἕτεροι πλεῖστοι. — Σ. 15, Ὅτι τότε παρῴκουν.] Διέστιξα τοῦτο

τοῦ χωρίου τὸ μέρος τῶν προηγησαμένων, ὡς ἂν μὴ ἐκεῖνα αἰτιολογεῖν ὑποληφθείη ὁ σύνδεσμος. — Στ. 16, Ἐξυφήνωσιν.] Οὕτως ὁ τελευταῖος ἐκδότης τοῦ Στοβαίου, ἀντὶ τοῦ Ἐξυφάνωσιν. — Στ. 19, Ἔχουσι δὲ καὶ μέτρον τι ζώνης.] Οὐ μόνον δὲ Ἴβηρσιν, ἀλλὰ καὶ Κελτοῖς ἔθος εἶναι τοῦτο ἔοικε λέγειν Ἔφορος παρὰ τῷ Στράβωνι (σελ. 199). καὶ παρὰ Λακεδαιμονίοις δὲ, καὶ παρὰ Ῥωμαίοις, ζημιοῦσθαι τοὺς πολυσάρκους παραδεδώκασιν ἕτεροι (Ἀθήν. σελ. 550, Αἰλ. Ποικ. ἱστ. ΙΔ, ζ. Αὔλ. Γέλλ. Νυκτ. Ἀττ. Ζ, κϐ).

ΣΕΛ. 273, στ. 1, Μεθ' ὅπλων ἀπαντῶντες.] Μνημονεύει τῆς ἀλόγου ταύτης θρασύτητος καὶ Ἀριστοτέλης (Ἠθ. Εὐδημ. Γ, α). — Στ. 2, Ὑπομένουσιν ἕως κατακλύζωνται.] Τὰ αὐτὰ καὶ Αἰλιανὸς (Ποικ. ἱστ. ΙΒ, κγ) περὶ τῆς μωρίας ταύτης, ἣν εἰκότως ὡς πλάσμα ἐκσυρίττει Ποσειδώνιος (παρὰ Στράϐ. Ζ, σελ. 293). — Στ. 13, Πραῦσιοι.] Ἔθνος Ἰνδικὸν, οὓς Πρασίους ὀνομάζει Στράβων. — Στ. 14, Οἰκήσαντες καὶ ἐν Κύπρῳ.] Ἐγράφετο κακῶς μετὰ δύο συνδέσμων, Οἰκήσαντές τε καί. — Στ. 24, Χρέος.] Χρέος οὐ μόνον τὸ ὄφλημα, ἀλλὰ καὶ τὸ δάνειον, ὡς ἐνταῦθα (ἔπιθι τὸν Ἡσύχιον λέξ. Χρέα, καὶ Χρέος).

ΣΕΛ. 274, ΣΑΥΝΙΤΑΙ.] Ἐξ ἑτέρων διορθώσεως, ἀντὶ τοῦ Σουνῖται. Σαυνίτας δ' ὠνόμαζον οἱ Ἕλληνες τοὺς παρὰ Ῥωμαίοις Σαμνίτας, μέρος νῦν ὄντας τῶν ὑπὸ τῷ τῆς Νεαπόλεως βασιλεῖ τελούντων ἰταλικῶν ἐθνῶν. Σαννίτας δὲ ὁ Στράβων (Ε, σελ. 250) αὐτοὺς καλεῖ· ὃς καὶ παραπλήσια τοῖς τοῦ Νικολάου ἱστορεῖ περὶ αὐτῶν λέγων. « Φασὶ δὲ νόμον εἶναι τοῖς Σαννίταις » καλὸν καὶ προτρεπτικὸν πρὸς ἀρετήν· οὐ γὰρ ἔξεστι διδόναι τὰς θυγατέρας » οἷς ἂν ἐθέλωσιν, ἀλλὰ κρίνεσθαι κατ' ἔτος, δέκα μὲν παρθένους, δέκα δὲ » τῶν νέων, τοὺς ἀρίστους καὶ τὰς ἀρίστας. τούτων (γρ. τούτων οὖν) τῷ » πρώτῳ τὴν πρώτην δίδοσθαι, τῷ δευτέρῳ τὴν δευτέραν, καὶ ἑξῆς οὕτως. » ἐὰν δ' ὁ λαβὼν τὸ γέρας μεταβαλλόμενος γένηται πονηρὸς, ἀτιμάζουσι » καὶ ἀφαιροῦνται τὴν δοθεῖσαν ». — Στ. 4, Λιβύρνιοι.] Ἐξ ἑτέρων διορθώσεως, ἀντὶ τοῦ Λιμύρνιοι. ἴσως δ' ὀρθώτερον γραπτέον ἐστὶ, Λιβυρνοὶ, ἢ γοῦν, Λιβυρναῖοι. εἰσὶ δ' ἔθνος Ἰλλυρικὸν, κατέχοντες τὰ πλεῖστα τῆς νῦν ὀνομαζομένης Κροατίας. — Στ. 7, Ἀφ' ἧς δ' ἂν ἀπολάβῃ τὸ παιδίον, ἕκαστος υἱὸν ὑπολαμβάνει.] Ἐγράφετο, πρὸ τῆς ἡμετέρας ταύτης διορθώσεως, Ἀφ' ἧς δ' ἂν ὑπολάβῃ τὸ παιδίον, ἕκαστος υἱὸν ἀπολαμβάνει. παραπλήσιον ἱστόρηκεν Ἡρόδοτος. (Δ, ρπ) περὶ τῶν περὶ τὴν Τριτωνίδα λίμνην οἰκούντων Λιβύων. — Στ. 11, Παρθένον δὲ οὐ πρότερον κ. τ. λ.] Ἔπιθι τὰ Γαλατιστὶ σημειωθέντα μοι εἰς τὸ Περὶ Ἀέρων, ὑδάτων, τόπων, τοῦ Ἱπποκράτους (Τομ. Β, σελ. 260). — Στ. 13, Κερκέται.] Κολχικὸν ἔθνος, τὰ πρὸς δύσιν τε καὶ τὸν Πόντον οἰκοῦντες τοῦ Καυκάσου· ἐξ ὧν ἐοίκασιν εἶναι, ἢ γοῦν παρωνομάσθαι οἱ νῦν Κιρκάσιοι, ἢ Τζερκέζοι, καλούμενοι, καίπερ τὰ ἐπὶ θάτερα κατέχοντες οὗτοι τῶν Καυκασίων ὀρῶν. διορθούσθω δὲ ἐν παρέργῳ καὶ ὁ Ζηνόβιος (Παροιμ. Ε, κε) λέγων ὧδε περὶ αὐτῶν τε καὶ τῶν Ἰσσηδόνων, « Παρὰ τοῖς ΚΕΚΕΡΤΑΙΟΙΣ οἱ ἐργάται τὰ φορτία βαστάζουσιν, ἄχρις » οὗ τις αὐτὰ ὠνήσεται. ΟΙ ΣΙΔΩΝΕΣ τοὺς γονεῖς ἐσθίουσι χωρὶς τῆς κε» φαλῆς· τὴν δὲ κεφαλὴν χρυσοῦσι ». γραπτέον γὰρ, « Παρὰ τοῖς ΚΕΡΚΕ» ΤΑΙΣ οἱ ἐργάται. . . . . . ὠνήσεται. ΙΣΣΗΔΟΝΕΣ τοὺς γονεῖς κ. τ. λ. »,

εἴγε καὶ Ἡρόδοτος (Δ, κστ) τῶν Σκυθῶν τοὺς κατεσθίοντας τῶν ἀποθανόντων γονέων τὰ σώματα, Ἰσσηδόνας ὀνομάζει. εἰσὶ δ' οὗτοι, ἤ φησιν ὁ περὶ τῆς Ἡροδότου γεωγραφίας Ἀγγλιστὶ συγγράψας (The Geographical system of Herodotus p. 133) Ῥεννέλλος, οἱ νῦν ὀνομαζόμενοι Οἴγυρες, ἢ Ὕγηρες, ἢ Ἔλυθες, τῷ τῶν καλουμένων Καλμούκων φύλῳ συγγενεῖς. — Στ. 16, Μόσυνοι.] Οὕτω καὶ Μέλας, καὶ Πλίνιος· Ξενοφῶν δὲ, Ἀπολλώνιος, Στράβων, καὶ Διόδωρος ὁ Σικελιώτης, Μοσυνοίκους αὐτοὺς ὀνομάζουσι, διὰ τὸ οἰκεῖν ἐν μοσύνοις, ὅ ἐστι πύργοις. — Στ. 17, Ἐὰν δέ τις δόξῃ κ. τ. λ.] Ἴσως γραπτέον, Ἐὰν δέ τι δόξῃ, ἢ καὶ Ἀπολλώνιος (Ἀργοναυτ. Β, 1030) εἴρηκε, περὶ τοῦ Μοσυνοίκων βασιλέως τὸν λόγον ποιούμενος,

Σχέτλιος· ἢν γάρ που ΤΙ θεμιστεύων ἀλίτηται,
Λιμῷ μιν κεῖν' ἦμαρ ἐνικλείσαντες ἔχουσι·

ἅπερ οὕτως ἐξέφρασεν ὁ Μέλας (Γεωγρ. Α, ιθ), Atque ubi culpam, prave QUID imperando, meruere, inedia diei totius afficiunt. — Στ. 19, Μέρος κοινῇ ἐξελόντες τοῖς ἀφικνουμένοις ξένοις.] Εἰς ὃν οὐκ ἐχρῆν τόπον, ἀβλεψίᾳ τῶν γραψάντων, μετατοπισθῆναι ἔοικεν ὅλον τουτὶ τὸ χωρίον· καὶ γὰρ τοῖς Φρυξὶ μᾶλλον ἁρμόζει τὰ λεγόμενα, ἢ τοῖς Μοσύνοις, οὓς Στράβων, Μέλας, καὶ ἄλλοι, ἀγριωτάτους τῶν τὰ Μοσχικὰ κατεχόντων ὄρη, καὶ τοῖς ξένοις ἐχθίστους γεγονέναι παραδεδώκασι.

ΣΕΛ. 275, στ. 6, Καλοῦνται μητρόθεν.] Τὰ αὐτὰ λέγει καὶ Ἡρόδοτος (Α, ρογ) καὶ Πλούταρχος (Γυναικ. ἀρετ.). διὸ καὶ ὁ χαριέστατος Ἀριστοφάνης (Ἀχαρν. 614), παίζων, Ὁ Κοισύρας, εἶπε, τὸν Μεγακλέα μητρόθεν καλῶν οὕτως, ὡς ἀγνώστου τοῖς Ἕλλησιν ὄντος τοῦ τοιούτου ἔθους. οὗτοι γὰρ τοσοῦτον ἀπεῖχον τοῦ μητρόθεν καλεῖσθαι, ὥστε καὶ τὰς μητέρας (οὐκ εὖ γε τοῦτο ποιοῦντες) οὐδέν τι μέγα εἰς γένεσιν συμβάλλεσθαι τῶν τικτομένων ἐπὶ σκηνῆς διατεινομένων τῶν τραγῳδοποιῶν (Αἰσχύλ. Εὐμεν. 655, Εὐριπίδ. Ὀρέστ. 552) ἀπεδέχοντο· ὁ γοῦν Εὐριπίδης (παρὰ Στοβ. ΟΖ, σελ. 455) παράγει τινὰ λέγοντα πρὸς τὴν μητέρα,

Στέργω δὲ τὸν φύσαντα τῶν πάντων βροτῶν
Μάλισθ'. ὁρίζω τοῦτο· καὶ σὺ μὴ φθόνει.
Κείνου γὰρ ἐξέβλαστον· οὐδ' ἂν εἷς ἀνὴρ
Γυναικὸς αὐδήσειεν, ἀλλὰ τοῦ πατρός.

ὅπου, ἀντὶ τοῦ ἐν τῷ τελευταίῳ στίχῳ, Αὐδήσειεν, γραπτέον, Αὐχήσειεν τουτέστιν, οὐδεὶς ἂν καυχήσαιτο ἐκ γυναικὸς εἶναι, καλῶν ἑαυτὸν ἀπὸ τοῦ τῆς μητρὸς ὀνόματος. — Στ. 8, Δοῦλος γίνεται.] Τοῦτο Ἡρακλείδης (σελ. 212) τοὺς ψευδομαρτυρήσαντας πάσχειν ἱστόρηκε παρὰ τοῖς Λυκίοις. — Στ. 12, Θεοῖς παρασπονδίοις.] Ἴσως οὐκ ἔρρωται τὸ χωρίον· ἔχει γάρ τι καὶ τῇ χρήσει ὑπεναντίον, εἴ γε ὁ Παράσπονδος (παρ' ὃ ὁ Παρασπόνδιος) οὐ τὸν παρὰ ταῖς σπονδαῖς ἑστῶτα, ἀλλὰ τὸν τὰς σπονδὰς παραβαίνοντα σημαίνει.

Στ. 19, Διαδεξόμενος.] Ἔτρεψα εἰς τὸν μέλλοντα τὸν σόλοικον ἀόριστον, Διαδεξάμενος. — Τὸν κάλλιστον ἐκ πάντων.] Τὸν μέγιστον καὶ ἰσχυρώτατον, Ἡρόδοτος (Γ, κ) λέγει. σημείωσαι δὲ τὸ, Κάλλιστον ἐκ πάντων, ἵνα τὰς πρὸς συγκριτικὸν, ἢ ὑπερθετικὸν, φερομένας γενικὰς, μὴ Συγκριτικὰς, ἢ Ὑπερθετικὰς, ἀλλὰ προθέσεως ἐλλειπτικὰς, ἁπαξαπάσας καλῇς. — Στ. 24, Ἐν Βυάσοις Λίβυσιν.] Ἀγνοῶ τίνας λέγει Βυάσους.

ΣΕΛ. 276, στ. 1, Μασουλιεῖς.] Ἐξ ἑτέρων διορθώσεως, ἀντὶ τοῦ Βασουλιεῖς. εἰσὶ δ' οἱ τῷ μὲν Πολυβίῳ Μασσυλεῖς (ἄλλ. Μασσουλεῖς), τῷ δὲ Περιηγητῇ Διονυσίῳ Μασυλῆες καλούμενοι. — Στ. 4, Μετὰ δύσιν Πλειάδος.] Ἔπιθι τὰ Γαλατιστὶ σημειωθέντα μοι εἰς τὸ Περὶ ἀέρων, ὑδάτων, τόπων, τοῦ Ἱπποκράτους (Β, σελ. 198). — Στ. 7, Ἰαλχλευεῖς.] Ἴσως ἡμάρτηται καὶ ἐνταῦθα ἡ γραφὴ, ἀντὶ τοῦ Μάχλυες. εἰσὶ δ' οὗτοι Λιβυκὸν ἔθνος τῶν Λωτοφάγων, περὶ ὧν ἔπιθι τὸν Ἡρόδοτον (Δ, ροη). — Στ. 10, Σαρδολίβυες.] Σαρδολίβυες, διὰ τοῦ ᾶ, ἐξεφράσθησαν οὗτοι τῷ Λατίνῳ μεταφραστῇ, ἀντὶ τοῦ, Σορδολίβυες· καὶ ἔστιν ἡ τοιαύτη γραφὴ οὐκ ἀπίθανος, εἴτις ἐκδέχοιτο τοὺς ἐν Σαρδῷ τὴν νῆσον (τὴν νῦν Σαρδινίαν) μετοικισθέντας Λίβυας, ὧν τὸν Ἡγεμόνα, Σάρδον καλούμενον, ἀφ' ἑαυτοῦ καὶ τὴν νῆσον ὀνομάσαι φησὶ Παυσανίας (Φωκικ. ιζ). ἐνδέχεται μέντοι καὶ Σαλδολίβυες γεγραφέναι τὸν Νικόλαον παρὰ τὰς Σάλδας πόλιν ἐπὶ τῆς Λιβυκῆς παραλίας, τανῦν ὀνομαζομένην Τεδλὲς, οὐ μακρὰν ἀπέχουσαν τῆς πόλεως Ἀλγερίας, τῆς κατοικουμένης ὑπὸ λῃστῶν μακρῷ τῶν παρ' Ὁμήρῳ Σιντίων ἀπηνεστέρων. — Ἔξω κύλικος καὶ μαχαίρας.] Ἔπιθι ἃ πρόσθεν (σελ. 373) ἐσημειωσάμεθα περὶ τῶν Γαλακτοφάγων Σκυθῶν. — Στ. 16, Ἀτάραντες.] Οὕτω γραπτέον εἶναι διατείνονται ἐνταῦθα ἀντὶ τοῦ, Ἀφάραντες, καὶ παρ' Ἡροδότῳ (Δ, ρπδ.) ἀντὶ τοῦ Ἄτλαντες. ὅπως ποτε δ' ἂν ἔχοι τὰ τῆς γραφῆς, δῆλον ἐκ τοῦ Νικολάου, ὅτι τὸ παρ' Ἡροδότῳ « Τῷ ἡλίῳ ὑπερβάλλοντι καταρῶνται » ἐπὶ τῆς ἀνατολῆς τοῦ ἡλίου ἐκδεκτέον, καὶ οὐκ ἐπὶ τῆς μεσουρανήσεως, καθάπερ ἐξεδέξατο ὁ Οὐόσσιος ἐν ταῖς εἰς τὸν Μέλαν (Α, η, 39) σημειώσεσιν· ὃ γὰρ, Ὑπερβάλλοντι, εἴρηκεν Ἡρόδοτος, τοῦτο διὰ τοῦ, Ἀνίσχοντι, ἐξέφρασεν ὁ Νικόλαος. ἀπίθανον δὲ τὸ περὶ τῶν Ἀταράντων ἱστορούμενον Νικολάῳ τε καὶ Ἡροδότῳ τοῦθ', ὅτι ὀνομάτων ἠμοίρουν οἱ καθ' ἕκαστον· τῇ αὐτῇ γὰρ ἐκείνῃ γλώσσῃ ᾗ τῷ ἡλίῳ κατηρῶντο, καὶ ὀνόματα εἶχον ἑαυτοῖς θέσθαι· ἄλλως τε καὶ τῷ φωνὴν ἱέντι πρῶτον ἀνθρώπῳ πρωτίστου τε καὶ χρειωδεστάτου πάντων ἔργου τῆς τῶν κυρίων ὀνομάτων θέσεως οὔσης, ὧν ἄνευ οὔτ' ἂν ἐπὶ τὰ προσηγορικὰ προχωρῆσαι, οὔθ' ὅλως γλῶσσαν ἐξευρεῖν τε καὶ τελειῶσαι δύναιτο.

ΣΕΛ. 277, στ. 1, Κόφινον ἐπιβάλλουσιν αὐτῷ.] Ἀστεία ἡ παρὰ *Βοιωτοῖς* κοφίνωσις αὕτη. εἴη δ' ἂν καὶ μιμήσεως ἀξία, ὅτ' ἂν ἐγγένηται νέους νόμους εἰσηγήσασθαι τῇ Ἑλλάδι· ἐγγενήσεται δὲ οὐκ εἰς μακράν. — Στ. 4, Ἀσσύριοι.] Τὰ αὐτὰ ἱστορεῖ καὶ Ἡρόδοτος (Α, ρϙς), καὶ Αἰλιανὸς (Δ, α). Στ. 9, Πραΰτητα.] Ἅπαντες οἱ πρὸ ἡμῶν γράφουσι, Βαθύτητα, καθὰ κεῖται καὶ παρὰ τῷ Στοβαίῳ· οἱ δὲ εἰς τὴν Λατίνην φωνὴν μεταφράσαντες ἀμφότεροι, ὅ,τε Γεσνῆρος καὶ ὁ Κράγιος Gravitatem, ἡρμήνευσαν, ὥσπερ ἂν εἰ ἐγέγραπτο, Βαρύτητα. οὐδετέρᾳ γε μὴν τῶν γραφῶν πεισθεὶς

οὐκ ὤκνησα τρέπειν εἰς τὸ Πραΰτητα. — Στ. 15, Μάθημά τι. ] Τὸ παρ' ἅπασι γραφόμενον, Μαθήματα, ἔτρεψα εἰς τὰς δύο ταύτας λέξεις, Μάθημά τι, καθάπερ ἐξεδέξατο καὶ ὁ Κράγιος, Disciplinam aliquam ἐκφράσας. ὡσαύτως δὲ καὶ ἐν τοῖς πρόσθεν (σελ. 273) εἴρηκεν ὁ Νικόλαος, « Ὥσπερ » ἄλλου ΤΙΝΟΣ ἀδικήματος, οὕτω καὶ ἀσωτίας καὶ ἀργίας ». — Στ. 17, Δανείου ἢ παρακαταθήκης. ] Παράθες τούτοις τὰ ἐκ τῆς Αἰλιανοῦ Ποικίλης ἱστορίας (Δ, α). — Στ. 23, Ἰνδοὶ συγκατακαίουσιν, κ. τ. λ. ] Ἔπιθι τοῦ Αἰλιανοῦ τὴν Ποικίλην ἱστορίαν (Ζ, ιη). — Στ. 24, Ἀγὼν μέγιστος γίνεται κ. τ. λ. ] Τοιοῦτον ἀγῶνα τῶν δύο τοῦ Κητέως γυναικῶν ἱστόρηκε Διόδωρος ὁ Σικελιώτης (ΙΘ, λδ). — Στ. 26, Ἢ τὰς εἰς πόλεμον εὐθέτους. ] « Τοιγαροῦν ἐσώζοντο μὲν πολεμοῦντες, ἀπώλλυντο δὲ ἄρξαντες, διὰ τὸ μὴ » ἐπίστασθαι σχολάζειν, μηδὲ ἠσκηκέναι μηδεμίαν ἄσκησιν ἑτέραν κυριωτέ» ραν τῆς πολεμικῆς », καθά φησιν ὁ σοφώτατος τῶν τοιούτων ἐπιγνώμων Ἀριστοτέλης (Πολιτ. Β, θ').

ΣΕΛ. 278, στ. 7, Καὶ ἀστῶν καὶ ξένων. ] Οὐ συνᾴδει ταῦτα τοῖς μικρῷ πρόσθεν εἰρημένοις· πῶς γὰρ εἶχον αἱ Σπαρτιάτιδες κύεσθαι ἐκ τῶν ξένων, οἷς οὐκ ἐξῆν ἐμβιοῦν ἐν Σπάρτῃ; ἄλλως τε οὐχ εὑρήσεις τὸ περὶ τῆς ἐκ τῶν ξένων κυήσεως λεγόμενον τοῦτον οὔτε παρὰ τῷ Ξενοφῶντι, οὔτε παρὰ τῷ Πλουτάρχῳ. — Στ. 9, Νομίσματι δὲ χρῶνται σκυτίνῳ. ] Ὅτι οὐ μόνον σιδηρῷ ἐχρῶντο νομίσματι (Πλούταρχ. Λυκούργ, §. 9) Λακεδαιμόνιοι, ἀλλὰ καὶ σκυτίνῳ, ἀποχρώντως ἐπιστώσατο ὁ Κράγιος (Λακεδαιμον. Πολιτ. Γ, σελ. 197) μάρτυρα παρασχόμενος τὸν Σένεκαν — Στ. 15, Περί τινα βωμόν. ] Τὸν τῆς Ἀρτέμιδος τῆς ἐπικαλουμένης Ὀρθίας (Πλούταρχ. Λυκούργ. §. 18, καὶ Ἡσύχ, λέξ. Ὀρθία). — Στ. 17, Δειλῷ. ] Εἰς τοῦτο ἔτρεψα τὸ, Δειλῶν. — Στ. 19, Κρίσις δὲ τῆς Γεροντίας ἐπὶ τῷ τέρματι τοῦ βίου προτίθεται τοῖς εὖ ἢ κακῶς ζήσασιν. ] Ὁ νοῦς, Κρίνονται οἱ ἐπὶ τῷ τέλει ὄντες τοῦ βίου, ἐφ' ᾧ ὁ βέλτιον τῶν ἄλλων βεβιωκὼς ἆθλον ἀρετῆς κομιεῖται τὴν ἀρχὴν τὴν καλουμένην Γεροντίαν, τουτέστιν, ὡς ἄν, εἴ τις τῶν ὀκτὼ πρὸς τοῖς εἴκοσι Γερόντων τελευτήσειε τὸν βίον, εἰς τοῦ τελευτήσαντος τὴν χώραν αὐτὸς ἀντεισέλθοι. ἐγράφετο πρότερον, Κρίσις δὲ ταῖς γεροντίαις ἐπὶ τῷ τέρματι τοῦ βίου προστίθεται τοῖς τε εὖ ἢ κακῶς ζῶσιν. καὶ τὸ μὲν, Ζῶσιν, ἔτρεψα εἰς τὸ, Ζήσασιν, ὡς φέρεται παρ' αὐτῷ τῷ Στοβαίῳ· διέγραψα δὲ καὶ τὸν συμπλεκτικὸν, Τε, τοῦτο τῆς συντάξεως ἀπαιτούσης, χωρὶς εἰ μή τις γράφειν προαιροῖτο, Τοῖς τε εὖ καὶ κακῶς. ἀναγνωστέον πρὸς τούτοις ὑπείληφα καὶ Τῆς Γεροντίας, ἀντὶ τοῦ Ταῖς γεροντίαις, οὕτω πρὸ ἡμῶν καὶ τοῦ ἔναγχος ἐκδόντος τὸν Ξενοφῶντα, διορθουμένου τὸν Νικόλαον ἐκ τοῦ Ξενοφῶντος αὐτοῦ (Λακεδ. Πολιτ. κεφ. α), ὅς φησιν, « Ἐπὶ γὰρ τῷ » τέρματι τοῦ βίου τὴν κρίσιν τῆς Γεροντίας προσθεὶς (γρ. προθεὶς), ἐποίησε » μηδὲ ἐν τῷ γήρᾳ ἀμελεῖσθαι τὴν καλοκαγαθίαν ». καθίστατο δὲ Γέρων ἀντὶ τοῦ τελευτήσαντος Γέροντος, ᾗ φασι Πλούταρχος (Λυκούργ. §. 26) ὁ ἄριςος ἀρετῇ κριθεὶς τῶν ὑπὲρ ἑξήκοντα ἔτη γεγονότων. σημείωσαι δὲ ὅτι, καὶ τὸ παρὰ τῷ Νικολάῳ Προστίθεται, εἰς τὸ Προτίθεται, μετεῤῥύθμισα, καθὰ καὶ τὸ παρὰ τῷ Ξενοφῶντι Προσθεὶς, εἰς τὸ, Προθεὶς, ἕτεροι πρὸ ἡμῶν

τρέπειν παρήνεσαν. προσσημειοῦ δὲ καὶ τοῦτο ὅτι Γέροντας μέχρι δεῦρο καλεῖ ἡ συνήθεια τοὺς προεστῶτας τοῦ δήμου, καὶ τὰ κοινὰ διοικοῦντας, καὶ Γεροντίαν τὴν τούτων ἀρχὴν, φυλάξασα τὴν ἀρχαίαν κλῆσιν· ἐπὶ δὲ τῆς ἡλικίας ἁπλῶς, ἔτρεψε τὸ Γέρων εἰς τὸ Γέρος, καθὰ καὶ πολλὰ ἕτερα τῶν εἰς ων, οἷον Ἄρχος, Δράκος, Χάρος κ. τ. λ. παρὰ τῶν Ἄρχων, Δράκων, Χάρων. εὕρηται δὲ καὶ ἡ τοῦ Χειμὸς (ἀντὶ τοῦ Χειμὼν) αἰτιατικὴ ἐν τῷ « Χειμὸν » καὶ καλοκαῖριν ». τὴν δὲ τοιαύτην εἴτε διφορίαν, εἴτε ἀπὸ κλίσεως εἰς κλίσιν μετάπτωσιν οὐδὲ ἡ ἀρχαία φωνὴ ἠγνόηκεν, Ἐπιλήσμων, καὶ Ἐπίλησμος, Κευθμὼν καὶ Κευθμὸς, Πίων, καὶ Πῖος κ. τ. λ. λέγουσα. — Στ. 21, Ὅταν δὲ στρατεύωνται. . . . . ἐστεφανωμένοι. ] Τούτοις παράθες τὰ ἱστορηθέντα Ξενοφῶντι (Λακεδ. πολιτ. κεφ. ιγ). — Στ. 22, Ἀγήτορας Διός.] Οὕτως ἐπωνομάζετο παρὰ τοῖς Λάκωσιν ὁ Ζεύς. Μεγαλοπολῖται δὲ Ἀγήτορα τὸν Ἑρμῆν ἐπεκάλουν, ἤ φησι Παυσανίας (Η, λα). — Στ. 27, Ὑπανίστανται δὲ βασιλεῖ κ. τ. λ. ] Ἔπιθι τὸν Ξενοφῶντα (Αὐτ. κεφ. ιε), καὶ ἃ πρόσθεν ἐσημειωσάμεθα εἰς τὸν Ἡρακλείδην (σελ. 351). — Στ. 28, Ὀμνύει τε. ] Ἐκ τοῦ Στοβαίου τε καὶ τοῦ Κραγίου ἡ γραφὴ, ἀντὶ τοῦ παρὰ τοῖς λοιποῖς, Ὀμνύει δέ. — Στ. 29, Βασιλεύσειν. ] Διωρθωσάμην ἐκ τοῦ Ξενοφῶντος (Λακεδ. Πολιτ. ιε) ἀντὶ τοῦ παρ' ἅπασι τοῖς πρὸ ἐμοῦ, Βασιλεύειν.

ΣΕΛ. 279, στ. 4, Τοῖσι δ' ἐνὶ Κνωσσός. ] Ἐκ τῆς Ὀδυσσείας (Τ, 178, 179), ὅπου τὸ τοῦ πρώτου στίχου τέλος γράφεται, Ἔνθα τε Μίνως. — Στ. 12, Δώρων. ] Ἐξ ἑτέρων διορθώσεως (Ἴδ. Στοβ. σελ. 294), ἀντὶ τοῦ, Δῶρα. τὸ ἑξῆς, Τιμιώτατα τῶν δώρων ἐστὶν αὐτοῖς τὰ ὅπλα. — Στ. 13, Αὐταριᾶται. ] Ἰλλυρικὸν ἔθνος οἱ Αὐταριᾶται, περὶ ὧν ἔπιθι τὸν Στράβωνα (Ζ, σελ. 317). ᾤκουν δὲ ἐν τῇ νῦν καλουμένῃ Δαλματίᾳ. — Στ. 19, Καυσιανοί.... μακαρίζουσι. ] Τὰ αὐτὰ ἱστόρηκεν Ἡρόδοτος (Ε, δ, μετὰ τῶν τοῦ Οὐαλκενήρου σημ.) περὶ τῶν Τραυσῶν, ἔθνους Θρακικοῦ· « ΤΡΑΥΣΟΙ δὲ τὰ μὲν » ἄλλα πάντα κατὰ ταῦτα τοῖσι ἄλλοισι Θρηξὶ ἐπιτελέουσι· κατὰ δὲ τὸν » γινόμενόν σφι καὶ ἀπογινόμενον, ποιοῦσι τοιάδε. τὸν μὲν γινόμενον περιϊ» ζόμενοι οἱ προσήκοντες ὀλοφύρονται, ὅσα μιν δεῖ, ἐπεί τε ἐγένετο, ἀνα» πλῆσαι κακὰ, ἀνηγεόμενοι τὰ ἀνθρωπήϊα πάντα πάθεα· τὸν δ' ἀπογενό» μενον, παίζοντές τε καὶ ἡδόμενοι γῇ κρύπτουσι, ἐπιλέγοντες ὅσων κακῶν » ἐξαπαλλαχθεὶς, ἔστι ἐν πάσῃ εὐδαιμονίῃ ». μήποτε οὖν καὶ παρὰ τῷ Νικολάῳ ἀντὶ τοῦ, ΚΑΥΣΙΑΝΟΙ, γραπτέον, ΤΡΑΥΣΙΑΝΟΙ. ἡμάρτηται γὰρ καὶ παρ' ἄλλοις ἡ τοῦ ὀνόματος γραφή· αὐτίκα παρὰ τῷ Ζηνοβίῳ (Παροιμ. Ε, κε) οὕτω φέρεται ἡ ἱστορία. « ΚΑΙΣΙΑΙ ἐπὶ γεννωμένοις δακρύουσιν. » ἐπεὶ (γρ. ἐπὶ) δὲ ἀποθνήσκουσι χαίρουσι »· ὅπου γραπτέον ἔοικεν εἶναι, ΤΡΑΥΣΟΙ, ἢ ΤΡΑΥΣΙΟΙ, ἢ ΤΡΑΥΣΙΑΝΟΙ. ᾤκουν δὲ οἱ Τραυσοὶ οὗτοι οὐ μακρὰν τῆς κατὰ τὴν Θρᾴκην Τραϊανουπόλεως, ὡς ἐκ τοῦ Τίτου Λιβίου ὀρθῶς εἴκασεν ὁ Γαλλιστὶ μεθερμηνεύσας τὸν Ἡρόδοτον σοφὸς Λαρχέρος (Τομ. Η, σελ. 579). — Στ. 21, Κίοι. ] Εἰ μὲν τοὺς ἀπὸ τῆς νήσου Κέω λέγειν, ὧν καὶ Ἡρακλείδης (σελ. 210) ἐμνημόνευσε, γραπτέον Κεῖοι· εἰ δὲ τοὺς ἀπὸ τῆς κατὰ τὴν Βιθυνίαν Κίου, γραπτέον Κιανοί. — Στ. 24, Ἐξοδιάζουσιν.]

Τὸ Διασπείρειν καὶ διασκεδάζειν ἐνταῦθα σημαίνει τὸ Ἐξοδιάζειν. ὅθεν ἡ συνήθεια τοῦτό τε καὶ τὸ συγγενὲς, Ἐξοδεύειν ἐπὶ τοῦ Δαπανᾷν τέταχε, καθὰ καὶ τὴν Ἐξοδίαν, καὶ τὴν Ἔξοδον, καὶ τὸν Ἐξοδιασμὸν, καὶ τὸ Ἐξοδίασμα, ἐπὶ τῆς Δαπάνης, καὶ τὸν Ἐξοδιαστὴν, οὐ μόνον ἐπὶ τοῦ Δαπανῶντος, ἀλλὰ καὶ ἐπὶ τοῦ Φιλοδαπάνου, ἔσθ' ὅτε δὲ καὶ ἐπὶ τοῦ Ἀσώτου. ἡ δὲ χρῆσις ἀπ' αὐτῶν τῶν Πτολεμαϊκῶν χρόνων· εὕρηται γὰρ ὁ Ἐξοδιασμὸς ἀντὶ τῆς Δαπάνης παρὰ τοῖς Ἑβδομήκοντα (Δ Βασιλ. ΙΒ, ιϛ). ἔπειτα δὲ καὶ Πολύβιος (ΚΓ, ϛ) καὶ Ἀρτεμίδωρος (Ὀνειροκριτ. Α, νζ'), καὶ ἕτεροι ἐχρήσαντο τῇ λέξει.

